X ῆρον, τὸν ὀρφανὸν, ἢ ἐστερημένον ἢ ἔρημον καὶ χρείαν ἔ
χοντα τινός. ¶Χειροπλάζουσα, διὰ χειρὸς ἔχουσα.
X ηρωσταί, οἱ μακρόθεν κατὰ γένος προσήκοντές εἰσι, καὶ
οἱ χηρεύοντες τοῦ οἴκου τῶν ἀγχιστέων κληρονομούντων.
X ηρῶσαι, ἐρημῶσαι. ¶Χηρώσας, χήραν ἐάσας.
X ήρωσε, ἔξανδρον ἐποίησεν. ¶Χηρωσταί, οἱ μακρόθεν
συγγενεῖς. ¶Χήτει, στερήσει, ἐνδείᾳ, σπάνει.
X ητεῖ ἐνευνέων. ἐνδείᾳ τῶν ἐγκοιμησομένων ἤγουν συμβο
λαίων. ¶Χητεία, χρεία. ¶Χῆτος, ἔνδεια, στέρη
σις. ¶Χθαμαλός. ταπεινὸς ἴσος. ὁμαλός. κοῖλος.
X θαμαλώτερος, κατὰ σύγκρισιν. ¶Χθὲς, χθιζόν,
ἐχθές. ¶Χθεσφρονῶν, κακηλογιῶν. ¶Χθιζὰ,
τὰ χθὲς καὶ πρώην. ¶Χθιζὰ καὶ πρωϊζὰ, χθὲς καὶ
πρωΐ. ¶Χθιζοί, χθεσινοί. ¶Χθιζὸς, χθεσινός.
X θόα, στόμα. ¶Χθοΐμος καὶ χθόνιος, γήϊνος ἐπίγειος
X θόνιος ζεύς, ὁ ἅδης. ¶Χθόνια, ὑπόγεια, κεκρυμμένα
βαρέα, φοβερὰ μεγάλα. ¶Χθονίην, νεκρικήν.
X θόνια λουτρὰ τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐκόμιζον
γὰρ τοῖς τάφοις λουτρά. ¶Χθονίεις, χθονίοις.
X θονίαν λώβαν. ἀντὶ τοῦ μεγάλην ὕβριν. ἢ τὴν χθονὸς
λώβην. ¶Χθόνιον μέγα. ¶Χθονίους, ἵνα εἴδῃς.
αὐτόχθονας καὶ οὐκ ἐπήλυδας. ¶Χθονίων, ἐπιγείων.
X θονόπαιδας ὥραν, καθ᾽ ὃ ἐκ γῆς αἱ ὧραι τὰ φυόμενα
ὡς ἡμέρα ἡλίου καθ᾽ ἱστορίαν. ¶Χθονὸς, γῆς.
X θὼν, ἡ γῆ ἀπὸ τοῦ χύσεως. ¶Χιάζειν, σιφνιάζειν.
X ῖαι, ὑποδήματος ἀνδρείου εἶδος. ¶Χιαρὸν, χλια
ρὸν, θερμόν. ¶Χιασὶ πλεῖν. ὡς τῶν χίων κατε
αότων καὶ περιπλεομένων. ¶Χιδνή, φρικτή.
X ιδαλέον, τυφλὸν, ἄπαμον τι φρικός. ¶Χίδαδον, τὸ
παιδίον. ¶Χίδυ, ἀντὶ τοῦ κρεῖττον. ¶Χιδλᾶν,
χιμάζεσθαι, λειλιᾶν. ¶Χιδρά, στάχυες νεογενεῖς.
ἢ τὰ ἐκ ὀσπρίων ἄλευρα. ἢ σῖτος νέος φρυττόμενος. ἢ

Χ αράκια, ὑποστηρίγματα. ¶ Χαρακίζειν: ἀποτέμνειν μὲ
περιορίζειν, διαιρεῖν. ¶ Χαρακτηρίζει σημαίνει τοὺς χα
ρακτῆρας. χαρακτηριστικὸν σημεῖον δηλοῦν τοὺς χαρα
κτῆρας. ¶ Χαρακτὴρ, ὁμοίωσις. ¶ Χαράκις, τὸ
θύμαλλος. ¶ Χαραμὸς, ὁ ἐπὶ γῆς διάστασις οἷον χα
ραμός. ¶ Χάρακα, χαράκωμα. περίφραγμα.
Χ άραξι φραγμοῖς ὀξέσι ξύλοις, οἱ δὲ καλάμοις. οἱ δὲ
σταυροῖς. ¶ Χάραξ, τὴν ἄμπελον, παροιμία ὅταν ὑπὸ
τοῦ σωζομένου τὸ σῶζον ἀπατηθῇ. ¶ Χαράξαι κόψαι,
κυλάναι, τυπῶσαι. ¶ Χαρὴ, χαρά. ¶ Χαρείη,
τερφθείη. ¶ Χαρεία, βουνός. ¶ Χαρείδαι, γένος
ἐξ οὗ οἱ ἱερεῖς τοῦ κραναοῦ. ¶ Χαρίεν, καλὸν ἀγαθόν.
ἀστεῖον. ὡραῖον. ¶ Χαρίεντα καλὰ κεχαριτωμένα.
Χ αρίζεσθαι, τὸ διδόναι τὰ κεχαρισμένα. ¶ Χαρίεια, φίλ
τρα. ¶ Χάριξον. ἐπισκεύαζον. ¶ Χάρις, δωρεά,
χαρὰ, καὶ θῦμα ἐκ τριῶν ποπάνων συγκείμενον. τινὲς
δὲ πλακούντων εἶδη. ἐπὶ ἀρτοχαρίτας καλεῖσθαι, καὶ
ἀμοιβὴ κατὰ εὐδρασίαν. ¶ Χάρισμα, δῶρον.
Χ αριστήρια, χαριστικὰ δῶρα. ¶ Χαρίσιον, εἶδος πλα
κούντων. οἱ δὲ ἄρτον ἀπὸ τῶν λομμάτων. ¶ Χαρί
σασθαι, παρασχεῖν. λέγονται γὰρ αἱ γυναῖκες χαρίζεσθαι
αἱ πρὸς συνουσίαν ἑαυτὰς ἐκδιδοῦσαι. ¶ Χάρμα
ὀδύνη χαρά. ¶ Χάρματος, χαρᾶς. ¶ Χάρμη, ἡ
μετὰ χαρᾶς μάχη. ¶ Χάρμης, μάχης. ¶ Χα
ρὰ, ὀργὴ, ἢ ὀργίλος. ¶ Χαρμονὴ, χαρὰ συλλογή.
Χ αρμόσυνα, ἑορτὴ ἀθήνησι καὶ χαρμόσυνα.
Χ αρμοσύνη, ὀνομασία. ¶ Χαρμόφρων, ὁ ἑρμῆς.
Χ αρόνη, χαρῖνος ἄμπελος. ¶ Χαροπὸς, περίχαρος.
γλαυκός. ξανθὸς φοβερός. ¶ Χαρτὸς. χαρᾶς ἄξιος.
ἢ βακτηρία. ¶ Χάρυβδις, χάσμα θαλάσσης, ὁ κα
ταπίνει. ¶ Χάρυβδις, ὠμόβροτος. ὁ ἀναπινομένη
θάλασσα. ¶ Χάρων, ὁ λέων, ἀπὸ τοῦ χαροπότητος
Χ αροπὸν, ξανθὸν, γλαυκὸν, φοβερὸν, περιφοβοῦν. ¶ Χαρώ
νιον, θύρα μία τοῦ νομοφυλακίου δι᾽ ἧς οἱ κατάδικοι
τὴν ἐπὶ θανάτου ἐξάγονται. ¶ Χαρὰ, ὀργίλον, ἢ ὀργή.
Χ ασίς, διάκρισις χώρησις. ¶ Χάσιος, ἀπαθὴς. χρηστός.
Χ άσκοντες, ἀνοίγοντες. ¶ Χασκωρεῖν, περιβλέπειν.
Χ άσμα, στόμα, ἢ χάσμα γῆς. ¶ Χάσμα θηρὸς, ὄψις
θηρὸς, ἢ θαλάσσης πρόσωπον. ¶ Χασμᾶται, ἀνοί
γεται. ¶ Χασσάμενος, ἀναχωρήσας. ¶ Χάσσα
σθαι, ἀναχωρῆσαι, χωρῆσαι. ¶ Χαστὰ, χωρήσει, ἀνα
χωρήσει. ¶ Χασιὰ, τὸν ἀπὸ δήμου χαστιεῖς ἐκ δήμου.
Χ αστιεῖς, ὄνομα δήμου. ¶ Χαστηρία, τῇ ἀνεγερούσῃ.
Χ ατέων χρείαν ἔχων. ¶ Χατέοντα, δεόμενον χρῄ
ζοντα. ¶ Χατέοντί τῳ, καὶ περ χρῄζοντι.
Χ ατεύει, χατίζει ἐπιθυμεῖ. ¶ Χατεύουσα. χρῄζουσα, δεο
μένη. ¶ Χατὶς, ἐπιθυμία, χρῆσις. ¶ Χαυλιόδον
τα, τὸν ἐπικεχαλασμένους ἔχοντα τοὺς ὀδόντας ἔξω τῶν
ἄλλων ὀδόντων καὶ τοῦ στόματος, οἱ δὲ ἀμφόδοντας.
Χ αυλίξω, ἀλαζόνα. ¶ Χαυνάκων, χαυνοποιῶν, οἱ δὲ
χαυνολόγων. ¶ Χαυνιάζει: πλανᾷ. ¶ Χαυνῶσαι
τὸ φυσῆσαι. ¶ Χαυνῶντες. ἄρτοι ἐλαίῳ ἀναφυραθέντες.
Χ έδροπα, ὄσπριόν τι. οἱ δὲ πανσπερμίαν. ¶ Χέδροψ.
πᾶν ὄσπριον σπέρμα. ¶ Χεῖ,* ἐπὶ τῶν χειλῶν δρα
χμῶν ἔστιν ἔδρατον. ¶ Χειὰ, ὁ κατάδυσις τῶν ὄφε
ων καὶ δρακόντων. ¶ Χειὶ, ὁμοίως. ¶ Χειδροπῶν
ὀσπρίων: ¶ Χιλεύει στραβὸν. σπουδαστεῖ στραβὸν, τρέ
φει. ¶ Χειλιάκρων, χειλαὶ, αἱ συμπλώσεις τῶν
βλεφάρων. ¶ Χιλιάστυδες, αἱ φυλαί. ¶ Χιλός,
τροφὴ, βρῶσις χόρτος, καὶ πᾶν ἄλλο χόρτασμα.
Χ ειλοῦται, μεγαλύνεται, αὔξεται. ¶ Χειλοῦσθαι. πα
χύνεσθαι, σιτίζεσθαι. ¶ Χειλῶνες, τῶν ἁλιευομένων
ἰχθύων τινές. ¶ Χειμὰν, χειμῶνα. ¶ Χειμάδιον, ἱμά
τιον χειμερινόν. ¶ Χειμάδιον, εἰς τὸ χειμάζειν.
Χ ειμάμυνα, ὃν ὅμηρος ἀλεξάνεμον λέγει. ¶ Χείμαρροι
οἱ ἐν τῷ χειμῶνι γινόμενοι ῥέοντες. καὶ οἱ ποταμοὶ ἐπὶ
ῥύακες. ¶ Χειμὰς, χειμών. ¶ Χειμασία, ζάλη.
ταραχή. ¶ Χείμαστρον, χειμερινὸν ἱμάτιον.
Χ είμεθλον, τὸ ἐν χειμῶνι γενόμενον ἕλκος. ¶ Χειμε
ρὰς, χειμερινάς. ¶ Χειμερεύοντας, διαχειμάσοντας.
Χ ειμερῶ, ῥιγῶ. ¶ Χειμόβοτος, χειμερινὴ ὥρα.
Χ ειμὼν, ἡ ὥρα καὶ κίνδυνος, ταραχή. ζάλη. διωγμός.
Χ ειμῶντα, ῥιγοῦντα. ¶ Χεὶρ, ἡ δράξ, καὶ τὸ μέλος καὶ
μέρος ¶ Χειράδες, αἱ μετὰ λίθων ἐπὶ ὅπλων βολαί.
Χ ειραδίαι, τῶν χειμάρρων αἱ λιθάδες ἀθροίσεις.
Χ ειράδας, τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἔνιοι δὲ φοινίκας.
Χ εῖρε, τὰς χεῖρας δυϊκῶς. ¶ Χειραγωγῶ, τῇ χειρὶ
ἄγω. ¶ Χειρίον, ὑποχείριον, τιθασόν. ¶ Χειρίζειν,
διοικεῖν. ¶ Χείριον, ὑποχείριον χειροήθη. ¶ Χειμ
βρὼν, ζυγὴ, ἢ ἑταιρεία. ¶ Χείριος, χρήσιμος ὑπο
χείριος. ¶ Χειρίων, ἐλάττων, χείρων. ¶ Χείρι
στα, δεινὰ, κάκιστα. ¶ Χειροβοσκὸν, τὸ μὴ διὰ χειρῶν
ζῶντα. ¶ Χειροβρῶτι δεσμῷ, τοῖς πυκτικοῖς ἱμᾶσι
διὰ τὸ τὰς σάρκας διακόπτειν καὶ ἀναλίσκειν.
Χ ειροβλήματα, δράγματα, οἱ δὲ χειρόβλητα.
Χ ειρογάστορες, οἱ διὰ τῶν χειρῶν ζῶντες. ¶ Χειρογονία
ἡ περσεφόνη. ¶ Χειρόγραφον, συμβόλαιον γραμμα
τεῖον. ¶ Χειρόδοτον, ἀχρημάτιστον δένδρον. ¶ Χειρο
έργτης, χειρουργός. ¶ Χειροήθεις, πρᾶοι, ἥμεροι.
Χ ειροήθης, πρᾶον ἥμερον. ¶ Χειροθετεῖ, χεῖρας ἐπιτί
θησι. ¶ Χειρόκμητα, χειροποίητα ἔργα ὑπὸ χειρῶν
γεγενημένα. ¶ Χειρομάντεις, οἱ ἀπὸ χειρῶν μαντευ
όμενοι. ¶ Χειρόμακτρον. ἢ χειρόμακτρον μανδήλιον
Χ εῖρον, κάκιστον, ἔλαττον. ¶ Χείρονα, ὅμοια.
Χ ειρωνάκτας, χειροτέχνας. ¶ Χειρονόμος, ὀρχηστής.
Χ είρονος, ἐλάττονος. ¶ Χειροπονία, ἑορτὴ ἐν ᾗ πεχρῆ
ται θύουσιν. ¶ Χειροπόδης, ῥαγοπόδης: ¶ Χειρο
τερής ἐλάττων. ¶ Χειρότροφον, χέρνιβα. ¶ Χειρο
τονεῖν, καθιστᾶν ψηφίζειν. ¶ Χειροτονία, ἐκλογή.
Χ ειρουργεῖ, χερσὶν ἐργάζεται. ¶ Χείρων, κρόνου καὶ
φιλύρας υἱός. ¶ Χειρωνάκτας, χειροτέχνας.
Χ ειρῶναξ, λαὸς ὁ χειροτέχνης: ¶ Χειρωσάμενοι, κα
ταγωνισάμενοι. ¶ Χειρώσασθαι, ὑποτάξαι. φονεῦ
σαι. ¶ Χειρωθῆν, ἁλῶναι καταγωνίσασθαι.
Χ ιτὼν, ἔνδυμα περιβόλαιον. ¶ Χείσεται, χωρήσει.
Χ ελεὺς χελώνη. ¶ Χελεὺς, κιθάρα. ¶ Χελεύς,
χελιδὼν. χελιδονίας, καὶ ἰχθὺς ποιός. ¶ Χελιδών.
τὸ κοῖλον ἐπὶ ὁπλῆς τῶν ἵππων καὶ τοῦ ἀνθρώπου τὸ
ἄνωθεν ἀγκῶνος τὸ κατὰ τὰς καμπάς: ¶ Χελι
δονισταὶ. οἱ τῇ χελιδόνι ἀγείροντες. ¶ Χελιδόνι. τοὺς
βαρβάρους χελιδόσιν ἀπεικάζουσι διὰ τὴν ἀσύνθετον
λαλιάν. ¶ Χελιδόνιον, φάρμακον. ¶ Χελιδὼ

ὅθεν ἔφη ἅπαντι ἀπεχθὸν εἶν. ¶Χαλεπήνας, ἀγανα
κτήσας. ¶Χαλεπὸν, δύστροπον, σκληρὸν, δεινόν.
Χαλεπήνη, εἰς χαλεπότητα ἀπάγη. ¶Χαλεπεῖ, ἐρε
θίζει, ἀπειλεῖ, φοβεῖ. ἀγανακτεῖ, κακίζει, βλάπτει, εἰς
χαλεπότητα ἄγει. ¶Χαλεπτὴν, χαλεπότης.
Χαλεπῶς, δυσκόλως. ¶Χαλέσαι, ὄνυξι. ¶Χαλε
ψάμενος, χολωθείς. ¶Χαλέρυτρον, τὸ ῥύμμα τὸ ἀπὸ
τοῦ νίτρου γενόμενον, ὃ τινὲς νίτρωμα λέγουσι. ¶Χαλία,
ἡσυχία. ¶Χαλίδιον, πινάκιον. ¶Χάλικες, οἱ εἰς
τὰς οἰκοδομὰς μικροὶ λίθοι. ¶Χαλίκρατον, ἐν
κράτον. ἄκρατον. ¶Χάλιμος, φαρμακός. ¶Χαλι
μάδες, αἰσχυντοὶ καὶ θρασεῖαι. ¶Χαλὶς, ὁ ἄκρα
τος οἶνος. καὶ ὁ μεμηνὼς ἢ κεχαλασμένος τὰς φρένας.
Χαλιστὸν, σκαιὸν ἢ ἀπαιδὲς καὶ ἄδικον. ¶Χαλίφρονας,
παράφρονας, μαινομένας, βέλτιον δὲ τὰς καταφερεῖς
καὶ κεχαλασμένας πρὸς συνουσίαν ὑφ' ἡδονῆς.
Χαλιφροσύνη, ἡ ἐπὶ ψυχῆς ἄνεσις. ¶Χαλίφρων,
κεχαλασμένας ἔχων τὰς φρένας. ἤγουν ἀσύνετος.
Χάλκεα, τὰ ὅπλα συνήθως ἐστὶ τὰ ἐκ σιδήρου. χάλκε'
ἐπίσσωτρα τὰ ἔξωθεν τῶν τροχῶν οἱ κανθοί. ¶Χαλκέγ
χεον, πολεμιστῶν. ¶Χαλκεῖα, ὑπομνήματα τῶν
τεχνῶν εὑρέσεως. ¶Χάλκε' ἐπίσσωτρα ὁμοίως.
Χάλκεον, ὀχυρόν. σκληρόν. ἄλλοι ὕπνον ἢ θάνατον,
Χάλκεος, ἰσχυρός. ¶Χάλκεος κέραμος. εἱρκτή. πίθος
καὶ ὄρος. ¶Χαλκεόφωνον, ἰσχυρόφωνον. ¶Χαλ
κεὺς, πᾶς τεχνίτης, ἢ ὁ ἀργυροκόπος ἢ ὁ χρυσοχόος.
Χαλκεῶνα. χαλκεῖον ἐν ᾧ τοὺς κοττάβους ἐποιοῦντο,
Χάλκη, πορφύρα. ¶Χαλκηδὼν, πόλις. ¶Χαλκῆ
μυῖα, εἶδος παιδιᾶς. ¶Χαλκήρεα, χαλκῷ ἀρηρότα.
Χαλκηρέας, χαλκῷ ἡρμοσμένοις. ¶Χαλκήρη, χαλ
κῷ ἡρμοσμένα. ¶Χαλκόστομα, χαλκία κύμβαλα.
Χαλκίδαι, γένος. ¶Χαλκιδικὴ. δῆλος. ¶Χαλ
κιδικὴ, σκυθική, τὰ μέταλλα τοῦ σιδήρου, ἐκεῖ πρῶτον εὑ
ρεθέντα. ¶Χαλκιδίζειν, ἀπὸ τῶν κατ' εὔβοιαν χαλκι
δέων. τίθεται δὲ καὶ ἐπὶ τῶν παιδεραστούντων. ἐπὶ ἐπλεό
ναζον γὰρ ἀστοῖς οἱ παιδικοὶ ἔρωτες. ¶Χαλκιδικὸν
δῶμα, διότι εἰς χαλκίδα ἐγένετο ἡ ἔκδοσις.
Χαλκιδικὸς λιμὴν, οἱ μὲν τὴν κυκλωπίαν κώμην, οἱ
δὲ κύκλωπος λίμνην. ¶Χαλκιδικὸς, εἶδος ἀλε
κτρυόνος. ¶Χαλκίνακος, χαλκίοικος. ¶Χαλκίν
δα, τὸ εἰς χαλκὸν κυβεύειν. ¶Χαλκίον, τὸ χαλκοῦν.
Χαλκίον, μακρὸν τὴν ἐλαιηρὰν ἐπίχυσιν. ¶Χαλκὶς
εἶδος ὀρνέου καὶ ἰχθύος. ἢ πόλις τῆς βοιωτίας. ¶Χαλ
κοβάρεια, ἰσχυρά, ἡ ἐκ τοῦ χαλκοῦ βαρεῖα. ¶Χαλκο
βαρὴς, ὁ ἐκ τοῦ σιδήρου βαρούμενος. ¶Χαλκοβατὲς,
τὸ ἰσχυρῶς βεβηκός. ¶Χαλκόβατον, ἰσχυρῶς βεβηκότα.
Χαλκογλώχινος, χαλκῆν ἐπιδορατίδα ἐχούσης,
Χαλκιοίκη ταύτης ἱερὸν ἐν σπάρτῃ. ¶Χαλκοδρομω
τὴρ, χαλκόδρομος, ἐπὶ ὁπλίτου λέγεται δὲ καὶ χαλκο
δρομήτωρ. ¶Χαλκοκορυσταὶ, χαλκῷ καθωπλισμέ
νοι. ¶Χαλκοκνήμιδες, οἷς σιδηρᾶ ὄχρεα, ἢ χαλκαῖ
αἱ κνῆμαι. ¶Χαλκοκορυστὸν, χαλκῷ ὡπλισμένον
Χαλκόκρας, τὸ χαλκόκροτον νόμισμα. ¶Χαλκόκρο
τος, ἡ ῥέα διὰ τὰ κύμβαλα. ¶Χαλκολογεῖν, νομί
σματα συλλέγειν. ¶Χαλκόλοφον, ἱππιοχαίτην,
τὸ ἐπανάστημα ἐπὶ περικεφαλαίας, ἢ δὲ ἱππείων τρι

χῶν κεκόσμηται. ¶Χαλκὸς, ὁ σίδηρος καὶ νόμος ἀκό
νητος. ¶Χαλκοπαρείης, χαλκᾶς παρειὰς ἐχούσης.
Χαλκόποδας, ἰσχυρόποδας. ¶Χαλκοῦν, πινάκιον,
ἀθηναῖοι εἶχον ἕκαστος πινάκιον πύξινον ἐπιγεγραμμέ
νον τὸ ὄνομα τὸ αὐτοῦ καὶ τοῦ δήμου παρόθεν. ¶Χαλ
κοτύποις, χαλκοπλήκτοις. ¶Χαλκοῦς, ὅπερ ὑπὸ
τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου ἔλεγον. ¶Χαλκοχιτώνων
χαλκοθωράκων, ἢ ἰσχυροθωράκων. ¶Χαλκόδον
τας στόλους. χαλκοῦς ὀδόντας ἔχοντας. ὀδόντας δὲ ἔλε
γον τὰ ἔμβολα ἃ τινὲς ἐμβόλια. ¶Χαλκόνητος,
ἠγορασμένος. ¶Χαλκοτῆρα, κέραμός τις.
Χάλυβοι, ἔθνος ἐπὶ σκυθίας, ὅπου σίδηρος γίνεται.
Χαλυβδική, ἐπὶ σκυθίας, ὅπου σιδήρου μέταλλα.
Χαλιβώνιος, εἶδος οἴνου ἀπὸ τόπου τινὸς ἐπὶ συρίας.
Χελωνέοντα, λύραις. ¶Χελώνη κιθάρα, ἀπὸ τῆς ὀστρά
κων χελώνης ἡ κιθάρα γίνεται. ¶Χαλῶσα, χάσκουσα.
Χαμάδυτοι, κοχλίαι. Χάμαζε, χαμαί, χαμάδις χα
μάδις, τὰ αὐτά. ¶Χαμαιλὶς, χαμαὶ κλίνας κατα
βάλλειν. ¶Χαμαιευνάδες, οἱ σύες ἀπὸ τοῦ παρακολου
θοῦντος αὐτοῖς. πολλὰ γὰρ τῶν ἄλλων τετραπόδων ὀρ
θὰ κοιμᾶται καὶ ἑστῶτα. ἀπιόντων δὲ ὅτι βόθρους ὀρύσ
σει, ἢ οἱ χαμαὶ κοιτάζονται. ¶Χαμῶνας, σίκρα, ἢ τὰ ἐκ στέ
ατος πεπτόμενα. ¶Χαμαίξυλα, ταπεινὰ ξύλινα.
Χαμαίζηλοι εὐτελεῖς. ¶Χαμαιλέων, ζῶον ᾠοτόκον
καὶ πεζόν. ¶Χαμαιπετεῖ, ταπεινῷ ἢ χαμαὶ κειμένῳ.
Χαμαιπετῶς, ὅς τε μὴ εἰς τοὔδαφος ῥίψαι. ¶Χαμερ
ρεπῶς, χαμαιζήλως, ἡ εἰς τὰ γεῖα ῥέπειν. ¶Χα
μαιτύπη, πόρνη ἄδοξος. ¶Χαμαιτυπείων, τῶν πλου
κοίνων συνουσιῶν, ἤτοι πορνείων. ¶Χαμερπής. γε
ωργὸς, ὁ ἐν τῇ γῇ κοιμώμενος. ¶Χαμετυρίς, ἡ πόρ
νη. ¶Χαμευνά, ταπεινά. ¶Χαμευνεῖ χαμαικοι
τεῖ. ¶Χαμεύνη. στιβάς, καὶ ἡ ταπεινὴ κλινίς. καὶ χα
μεύνος ὁ χαμαὶ κοιμώμενος. ¶Χαμεύνιον, κλινίδι
ον πενιχρόν. ¶Χαμηλὸν, χαμαίζηλον. ¶Χαμόθεν
ἐκ τῶν χαμαί. ¶Χαμοκοῖτος, ὁ εἰς τὴν γῆν κοιμώ
μενος. ¶Χαμὸν, καμπύλον. ¶Χανὰ, κόσμιος.
Χ *αναβὶς, ἄλως. ¶Χάναι, ἀνοῖξαι στόμα. ¶Χανα
άμ, σκέλος. ¶Χανακὲς, ἐπιεικές. ¶Χανάκτιον,
τὸ μικρὸν δωρεαῖς. ¶Χαμᾶσθαι, χασμᾶσθαι.
Χανδάνειν. χωρεῖν. δέχεσθαι. ¶Χανδὸν, πολὺ καὶ ὅσον
δυνατὸν καὶ ἀθρόως ἀπὸ τοῦ κεχηνέναι πλατύ. ¶Χαν
δὸν πιεῖν κεχηνότως καὶ ἀθρόως πιεῖν ὅλῳ στόματι.
Χανεῖ, φυλάσσει, ἀνοίγει, ἀπαγγελεῖ. ¶Χανοῦς, τὸ
ὑπὸ τὴν ἅμαξαν ἐπιτιθέμενον πλέγμα. ¶Χάνοι, χά
σμα ποιήσοι. ¶Χάνοι εὐρεῖα χθών, εὐρὺ χάσμα ποι
ήσειεν ἡ γῆ. ¶Χάνοιμι, εἴποιμι. ¶Χανών, στόμα,
ἀνοίγων στόμα. ¶Χανεῖν, βοᾶν. ¶Χανύσαι, βία καλεῖ.
Χάος, χώρησις, καὶ τὸ κενὸν ἀπὸ τοῦ κεχύσθαι, ὁ σκό
τος. ¶Χαρὰ, ἡδονὴ, ἀγαλλίασις, εὐφροσύνη.
Χαράβδη, λόμη τις. ¶Χαράδρα, χείμαρρος ποτα
μὸς, κατάγει δὲ αὕτη παντοῖα ἐν τῷ ῥεύματι, καὶ
κατασύρει. ¶Χαράδραι, αἱ χαράξεις τοῦ ἐδάφους,
καὶ οἱ κοῖλοι τόποι ἀπὸ τῶν καταφερομένων ὀμβρίων
ὑδάτων. ¶Χαραδριὸς, εἶδος ὀρνέου.
Χάρακες, τάφροι, καὶ ἀκανθώδη φυτά. καὶ οἱ κάλαμοι,
Χαρακίαι. οἱ ἐν τοῖς χάραξι διατρίβοντες.

Φ υροῖ, μολύνει, ῥυποῖ. ¶ Φύρακες, ἐλαφροί.
Φ ύρσαι, μολύνω. ¶ Φυρτήτης, δίοσ. ¶ Φυρτίζεσθαι τὸ παίζειν συνεσφραμμένοις φυροῖς τοῖς ἱματίοις.
Φ υρτοῖσιν, εἰκαίοις, συμπεφυραμένοις, οἱ δὲ ἀλφιτα οἴνῳ διαλυμένα, συμπεφυρμένοις. ¶ Φὺς, γεννηθεὶς, βλαστήσας. ¶ Φύσα, φαρέτρα καὶ ἰχθὺς ποιὸς ἐν τῷ νείλῳ γενόμενος. οἱ δὲ τὸ πνεῦμα καὶ ὁ ἀὴρ, ὁ ἀσκός.
Φ ῦσα, πέπρησται, ἐξήρτηται. ¶ Φυσακτὴρ, ἀργυρὸς πρίος τις πεπανκώδης. ¶ Φυσαλλίδας, φυσητήρια, αὐλοί.
Φ ύσας, γεννήσας, ὃ διὰ ἀσκοῖς πληρώσας. ¶ Φύσασθαι, γεννῆσαι. ¶ Φυσητὸς, συρμὸς, φύσει δὲ σκληρόν.
Φ ύσει, βλαστήσει, ἀληθῶς φύει. ¶ Φυσητὴρ, ὁ τῶν κηπολῶν ἰχθύων αὐλός. ¶ Φύσιγγος, εἶδος σκορόδου, ἄλλοι δὲ σκορόδου κεφαλίδας, καὶ οἱ περίβολοι τῶν ὀρνίθων. καὶ τὰ ἐν ταῖς κνήμαις ἐγκαύματα. ¶ Φυσίζοος, πρὸς τὸ ζῆν φύουσα. ¶ Φυσικῶ, πιότητι.
Φ υσίωσις ἐπαρθείς, ὑψηλοφροσύνη. ¶ Φυσιολογεῖ, περὶ φύσεως διαλέγεται. ¶ Φυσιολογία, λόγοι φύσεως ἐξαγγελτικοί. ¶ Φυσίον, τὸ κανθήλιον. ¶ Φυσιούμεθα, ἐπαιρόμεθα, τυφούμεθα. ¶ Φυσιόων, φυσῶν, ἀσθμαίνων, πνευστιῶν. ¶ Φύσις, γένος, οὐσία, προαίρεσις. ¶ Φυσίφρονες, πεφυσημένοι τὰς φρένας μάταιοι. ¶ Φυσκῶν, πάσχων παχύς. ¶ Φύσκη, κοιλία καὶ τὸ παχὺ ἔντερον. ¶ Φύστη μᾶζα ἀτελὴς.
Φ υταλιᾶς, κήπου, ἢ ταῖς γονίμαις καὶ φυτευτικαῖς.
Φ υταλίδαι, γένος παρὰ ἀθηναίοις. ¶ Φυταλίζειν, φυτεύειν, πληθύνειν. ¶ Φυταλιᾶς. κήπου δενδροφόρου γῆς. ¶ Φυταλίμοις, φυτευτικοῖς γονίμοις.
Φ υτάλμιος ζεὺς, συγγενὴς, ἢ ζωογόνος. ¶ Φυτεύει, κατασκευάζει, γεννᾷ. ¶ Φυτηκόμος. σύνδενδρος τόπος.
Φ ύτιος, ἥλιος, ὁ ζεύς. ¶ Φύτλη. γέννα, γένεσις, γένος.
Φ ύτορες. γεννήτορες. ¶ Φυζόμενοι, φεύγοντες. ¶ Φύτου. φύματος. ¶ Φύζα, φύσις οἱ δὲ φυτεία.
Φ ῦ. χειρί. ἐμπεφυκότως λέξοιε * τῇ χειρί. ¶ Φύονται, γεννῶνται. ¶ Φυῶς. φύσει. ¶ Φῶ. εἶπα.
Φ ώγειν, φρύγειν. ¶ Φῶγες, φωΐδες, τὰ ὑπὸ πυρὸς ἐν σώματι γινόμενα ἐκ φυσήματος. οἱ δὲ τὰς φλυκταίνας. ¶ Φώκη, ζῶον θαλάσσιον. ¶ Φωκαῒς ὄνομα ἔθνους καὶ τὸ κάκιστον χρυσίον. ¶ Φωκίων, ὄρνις ποιός. ¶ Φῶκος. κῆτος θαλάσσιον ὅμοιον δελφῖνι.
Φ ωλάδες, ἐμφωλεύουσαι. ¶ Φωλάδην, ἐμφωλεύουσαν.
Φ ωλάζει, ἐμφωλεύει. ¶ Φωλαΐδες, ὀστράκινα, τινὰ βρωμώδη. ¶ Φωλεὸν, διδασκαλεῖον, ὅπου τὰ θηρία κοιμᾶται ὅπου χορεύουσι καὶ διδάσκουσιν, οἱ δὲ σπήλαιον.
Φ ωλεύει, οἰκουρεῖ, κρύπτει. ¶ Φωλητηρίοις, φωλητήρια καὶ φωλεαὶ τῶν θηρίων καὶ ζώων οἶκοι. ¶ Φωλοτὴρ, ὁ ἐν τῷ αὐτῷ τόπῳ καθεζόμενος ἀεί. ¶ Φωλίς, ἰχθὺς ποιός. ¶ Φῶμεν. εἴπωμεν. ¶ Φωνασκεῖ φωνὴν ἀποτελεῖ. ἢ φωνὰς ἐπιτελεῖ. ¶ Φωνεῖ, λέγει. ¶ Φωνὴ, ἡ τοῦ ἀνθρώπου. ¶ Φωνήεις, λαλῆσαι δυνάμενος. ¶ Φωνήσας, εἰπὼν, λέξας.
Φ ωνεῖ λαλεῖ, λέγει. ¶ Φῶντα, λάμποντα. ¶ Φῶρ καὶ φῶρας. κλέπτας λῃστὰς κατασκόπους. ¶ Φωρὰ, κλοπή. ¶ Φωρᾷ, ζητεῖ. ¶ Φωραθεὶς, εὑρεθεὶς φανείς.
Φ ωραθῆναι, γνωσθῆναι. λεχθῆναι. ¶ Φωρᾶν. τὸ τὰ κλεμμένα ζητεῖν, καὶ φωρεύειν. φώραν δὲ τὴν ἔρευναν.

Φ ωράσαντες, εὑρόντες τὰ καλά. ¶ Φωράσας, ἐλέγξας. ¶ Φωραθῆναι, ἐλεγχθῆναι. ¶ Φωριαμὸς, κιβωτός, καὶ φωριάμων. ¶ Φωρεῖον, κλέμμα, καὶ θρόνου εἶδος. ¶ Φώριος. εἶδος μελίσσης. ¶ Φῶρος, κατάσκοπος. ¶ Φωρυτὸν, συρφετὸν, ὁ φρυγάνων σωρὸς ὁ βόρβορος καὶ ἀκαθαρσία. καὶ χόρτος ἐπὶ γῆς.
Φ ῶς, τὸ ὁρώμενον τὸ παρὰ τοῦ θεοῦ δημιουργηθὲν, καὶ τὸ πῦρ καὶ ὁ χαρά. ὀξυτόνως δὲ ὁ ἄνθρωπος. ¶ Φῶσαι φῶξαι, φρύξαι, θάλψαι. ¶ Φώσκει, διαφαίνει.
Φ ωστὴρ, θυρίς. ¶ Φωσφορία, ἑορτή. ¶ Φωσφόρος, φωτοδότης. λαμπρὸς ἀστήρ. ¶ Φώσσων, τὸ λινοῦν ἄρμενον. ¶ Φῶτα, ἄνθρωπον, ὄμματα καὶ θυρίδας.
Φ ωταγωγὸς, ὁ τὸ φῶς φέρων. ¶ Φῶτας, ἄνδρας ἀνθρώπους. ¶ Φῶτας ἐννέα, ἄνδρας ἐννέα.
Φ ῶτε, ἄνδρε δυϊκῶς. ¶ Φωτὶ, ἀνδρί. ¶ Φῶτες, ἄνθρωποι ἄνδρες. ¶ Φωτεύει. γεννᾷ. ¶ Φωτία, λαμπρία καὶ ὄμματα. ¶ Φώτιγξ, αὐγὴ, σύριγξ. φλόγιος αὐλὸς ὡς εἶδος σάλπιγγος. ¶ Φώτιον, προσφιλὲς ἰδού.
Φ ωτισμὸς, αὐγὴ, τηλαυγές. καταυγάζω. ¶ Φωτολόγιον, τυφλὸν νεκρόν. ¶ Φωτῶν, ἀνδρῶν, φωτὸς, ἀνδρός. ¶ Φωτὸς, ἡμέρας. ¶ Φώψ, φάος.

ΑΡΧΗ ΤΟΥ Χ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Χ ΜΕΤΑ ΤΟΥ Α.

Χ Αβὸν, καμπύλον, στενόν. ¶ Χαβῶνες, σῖθια ὀπτώμενα ὑπὸ ἀλεύρου. ¶ Χαδέειν χωρῆσαι.
Χ άδην, ἐχώρησεν. ¶ Χάζει, προσδεῖται, χαλᾶται.
Χ άζειν, ἀναχωρεῖν, φυλάσσεσθαι. ¶ Χάζεο τῆλε, ἀναχώρει μακράν. ¶ Χάζεσθαι, ὑποχωρεῖν.
Χ άζεται, ἀναχωρεῖ. ¶ Χάζεο, ἀναχώρει.
Χ αζόμενον, ἀναχωροῦντα. ¶ Χαιὰ, ἀγαθή.
Χ αίνας, στίχος. ¶ Χαίνει ἀνοίγει τὸ στόμα.
Χ αιὸς, ἀγαθός. ¶ Χαίρετε, θαρρεῖτε. ¶ Χαίρειν, ἐρρῶσθαι, τὸ χαίρειν ταῖς ἐπιστολαῖς προστίθεται. ἔστι δὲ καὶ ἀπαλλασσομένων προσαγόρευσις. χαίρειν ἐᾶσαι καταφρονεῖν. ¶ Χαίρειν φράσαντες, ἀποταξάμενοι
Χ αιρέτω λῆρον, ἐρρυσθαι τῷ. ¶ Χαιρηδόνα, τὴν χαράν. ¶ Χαιρόσυνος, χαρά. ¶ Χαιρεσθῆναι, ἐκπλαγῆναι. ¶ Χαῖται, αἱ κεχυμέναι τρίχες. ¶ Χαιτάεντος, κομήτου. ¶ Χαίτη, ὁ ἐπὶ τοῦ τραχήλου θρίξ.
Χ αλαβεῖν, φοβεῖν, θορυβεῖν. ¶ Χαλᾷ, χαλάσει, καὶ ἀπόλλυσι. ¶ Χολάδες, τὰ ἔντερα, ὁ λιθόβολις.
Χ αλάδες, λιθώδεις ἐξέντεροι. ¶ Χάλανδρον, κράββατον. ¶ Χάλαζα, σημεῖον θυτικὸν καὶ πάθος περὶ τὰς σῦς. ¶ Χαλεπαίνει, δυσχεραίνει, ἀγανακτεῖ. ¶ Χαλαίρυπος. ὁ τῶν πλυνομένων ἱματίων ῥύπος.
Χ αλάρα, ἄλυσις. ¶ Χαλάμβειοι, ἵπποι ἀπὸ τόπου τῆς λιβύης. ¶ Χαλαργοὺς, τὰ ἄκρα τῶν ποδῶν τῶν ὀνύχων, οἷον ποδαργοὺς, ἢ ταχύποδας. ¶ Χαλαρεῶν, ὡραίων.
Χ αλαστραίων σινῶν, πόλις τῆς μακεδονίας καὶ λίμνη, ἔνθα τὸ χαλαστραῖον νίτρον γίγνεται. ¶ Χαλδαῖοι, γένος μάγων πάντα γινωσκόντων. ¶ Χαλεπὰ τὰ καλὰ, σόλωνά φασι ταῦτα περὶ τὸν περίανδρον πυθόμενον εἰπεῖν. χαλεπὰ τὰ καλὰ, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. ἔνιοι δὲ τὸ χαλεπὸν ἀκούουσιν ἀντὶ τοῦ ἀδυνάτου, ἀδύνατον τὸ

κύματος. ¶ Φρίκες, χάρακες. ¶ Φρίκη, ψύχος ῥῖγος. ¶ Φρικνόν, φριγαλέον, δεινόν, φοβερόν.

Φ ρικῶδες, φρικῶδες, φοβερόν, πάνυ δεινόν. ¶ Φρικωδέστερον, φοβερώτερον. ¶ Φριμάσσεται, σκιρτᾷ, ἐπιχείρεται. ¶ Φρυάττει. βεβριμμένη. ¶ Φρίξ, ἡ ἐπιπολῆς ἀνωμαλία τοῦ κύματος. ἢ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρὸς ὅταν ἄρχηται ἄνεμος πνεῖν. ¶ Φρίξας, ὀλόφρω σηκώματι, αὐτὶ τοῦ αὐχφὶς ἄρτιος. ¶ Φρῖξαν, ἔλιξαν, ὀρθὴν ἔστησαν τὴν θρίκα. ¶ Φριξολόφος, ὀρθοχαίτης. ¶ Φρίσσει, τρέμει, ἐξορθοῦται δέδοικε, τρέμει.

Φ ρίσσει νῶτον, τὰς τρίχας ὀρθοῖ τοῦ νώτου, ἤγουν ἐγείρει.

Φ ρίσσει, φοβεῖται, δέδοικεν. ¶ Φροίμια. προοίμια, προρρήσεις ἀττικοί. ¶ Φρόκλος, περίπολος, ¶ Φρονεῖν, νοεῖν, διανοεῖσθαι. ¶ Φρονέω, φρονῶ, διανοοῦμαι.

Φ ρονέων, φρονῶν. διανοούμενος. ¶ Φρόνημα, βούλημα, θέλημα. ¶ Φρόνιμος, σοφός, διανοητής. ¶ Φρονηματισθείς, ἐπαρθεὶς τῷ φρονήματι. ¶ Φρόνιν, φρόνησιν τὴν καταφρόνησιν, ἐκδοτέον οὖν τὴν λέξιν ὥς τινες.

Φ ρόνις, φρόνησις, βουλή, διάνοια. ¶ Φρόνησις ἀκριβὸς, νοῦς πράττων καλῶς. ¶ Φροντίζει, μεριμνᾷ.

Φ ρόντις, ὄνομα τοῦ κυβερνήτου μενελάου, φρόντιν ὀνητορίδην.

Φ ροντισταί, φιλόσοφοι. ¶ Φροντιστήριον, διατριβή. καὶ τὸ οἴκημα σωκράτους καὶ τὸ σχολίον, καὶ μοναστήριον.

Φ ρονῶ, σωφρονῶ. ¶ Φροῦδα, ἀφανῆ. ἄφαντα, φρογανόδη. ¶ Φροῦδος, πρόοδος ἐστὶ νῦν τὸ οὐκ ἔρχεσθαι διαλῦται. ὁ δὲ ἐληλυθὼν, ἔκδημος, ἀφανής. ¶ Φροῦδον ἄρδην. παντελῶς ἀφανὲς ὂν κεχωρηκὸς ἔρημον.

Φ ρουρὰ, φυλακή, στρατός. ¶ Φρουρεῖ, φυλάττει, ἢ προφυλάττει. ¶ Φρούριον, προφύλαγμα, προφυλακτήριον. ¶ Φρουρὸς, φύλαξ, σωματοφύλαξ.

Φ ρύαγμα, ἔπαρσις, μετεώρισμα, ὑπερηφάνεια.

Φ ρυάσσεται, ἐπεγείρεται, μεγαλοφρονεῖ, πνευστιᾷ φρυάττεται. ἐπαίρεται. ¶ Φρύγανα, ὕλη λεπτὴ καὶ ξηρά.

Φ ρύγετρον, ξυλίδιον ᾧ κινοῦσι τὰς πεφρυγμένας κριθάς. ¶ Φρυγία, ἡ φρύγουσα. ¶ Φρυγίνδα, παιδιᾶς εἶδος διὰ κυάμων. ¶ Φρύγιον, ξύλον ξηρόν.

Φ ρύγιον, ἱστόρησεν περὶ τούτου ἐπίχαρμος ἐν κωμασταῖς ἢ ἡφαίστῳ, ὡς οἰκεῖον ὄρνιθος. ¶ Φρύγιος, ξηρός.

Φ ρυκτὰ, ξηρὰ ἰχθύδια εὐτελῆ. ¶ Φρυκτὸς, μάντις. κλῆρος σύμβουλος πυρσός. ¶ Φρυκτὸς ψηφίς. κλῆρος, ἐχρῶντο δὲ τοῖς κλήροις μαντευόμενοι ἐν ὀλυμπίᾳ. ¶ Φρυκτωρία, πυρκαϊὰ πυρσεία. λαμπάς. καῦσις. ¶ Φρυνίχου πάλαισμα, ἐκφεύγειν τὰ φρυνίχου κακά. ¶ Φρύνος, βάτραχος ὁ παχύς.

Φ ρυνώνδας, πονηρούς. ¶ Φρύξ, ὁ ἀπὸ φρυγίας ἐθνικόν. ¶ Φρουρεῖ. στρατεύεται. ¶ Φρυγὰ, ἡ φυγὴ, τροπὴ εἰς φυγάς. ¶ Φρυῶν. ἢ φρονούντων γυναικῶν.

Φ ῦ, ἔφυ, ἐφύτευσε. ¶ Φυγάς, ἐξορίας.

Φ υαῖς, φύσεσι. ¶ Φυγὴ, φεῦξιν. ¶ Φρυγμὸν, καῦσιν. ¶ Φυγόσκειν. φεύγειν. ¶ Φύει. γεννᾷ.

Φ ύεσθαι, βλαστάνειν. ¶ Φύζα, φυγὴ φόβος, ἀθυμία. δειλία. ¶ Φυζακινὴ, δειλή. ¶ Φυζακινὸς, δειλός. ¶ Φυγὰς, δειλός. ¶ Φυζάνει, φυγεῖν δειλιάζει. ¶ Φύζηλος, δειλὸς φυγάς. ¶ Φυή, φύσις σώματος ἡλικία. ¶ Φύημα, κόπρος. ¶ Φυαῖς φύσεως, καὶ ἡ τοῦ σώματος ὑπόστασις. ¶ Φύκα, χέ

ρια, οὐκ αὔικτα. ¶ Φύκη. εἶδος κομμωτικὸν γυναικεῖον. ¶ Φυκία, θαλάττια βρύα. ¶ Φυκιόεν, φυκία ἔχον, οἱ δὲ πορφύρεον βαθύ. ¶ Φυκιοχαίτην. τὴν φαροχαίτην, ¶ Φυκὸς, τὸ προσβρασσόμενον ἀπὸ τῆς θαλάσσης τῇ γῇ, ὅπερ ἔνιοι καὶ πράσον καλοῦσι, καὶ ἀκρωτήριον λιβύης, ἢ βρύα, ἢ φλακτά. ¶ Φυκτά, φευκτά.

Φ υκτῆρες, φύλακες. ¶ Φυλιστείμ, πίπτον πτῶμα τι, ἤγουν μέθη. ¶ Φυκοῦντα, φυκοῦς ἀκρωτήριον περὶ τὴν ἀρχὴν τῆς λιβύης, καὶ πολίχνιον ὁμώνυμον. ¶ Φυλάδε ἡ ἑκάστη. ¶ Φῦλα, ἔθνη, συγγενικὰ γένη. ¶ Φῦλα θεοῦ ἔθνη θεοῦ. ¶ Φυλακὴ, φρουρὰ εἱρκτή. τήρησις ἐγκλώων. πόλις θεσσαλίας προπαροξυτόνως, ὀξυτόνως δὲ ἀγρυπνία.

Φ ύλαξ, φυλακτήρ. ¶ Φυλακτήρες, φύλακες.

Φ υλακτηρία, παννυχίς, ¶ Φυλαρχία, τιμή τις.

Φ ύλαρχος, φυλῆς ἄρχων, ¶ Φύλαρχον. χορήγιον.

Φ υλὰς, τὰς κατοικίας. ἀπὸ χωρήσεις καὶ τὰ τετράποδα.

Φ υλάσιοι, οἱ ἐκ τοῦ δήμου. καλεῖται δὲ οὕτω καὶ φυλῆς τις.

Φ υλάσσειν, ἐπιτηρεῖν ἄλλοι δῶμα φυλασσέμεναι.

Φ *υλασὸς, ἡ λέξις παρὰ βλαίσῳ σημαίνει δὲ ᾠδήν.

Φ υλέτης, ἐκ τῆς φυλῆς ὁ ὢν ὁμόψυχος.

Φ υλείδης, φυλέως παῖς ὁ μέγης. ¶ Φυλίης, φυλία ἐστὶ εἶδος ἀγριελαίας. ἄλλοι συκῆς. οἱ δὲ εἶδος δένδρου ὅμοιον πρίνῳ. ¶ Φυλὴ, τόπος τῆς ἀττικῆς οὕτω λεγόμενος. ¶ Φυλίη, ἀγριελαία. ¶ Φυλὴ, τάγμα μέρος πόλεως. ¶ Φύλλα, τὰ τῶν δένδρων.

Φ υλλάδες, οἱ ξηροὶ κλάδοι καὶ φύλλα ἔχοντες.

Φ υλλὰς, ξηρὰ δάφνη ἔχουσα φύλλα. ¶ Φύλλα, τὰ τῶν λαχάνων ἃ προστιθέασι τοῖς ὠνουμένοις αἰπλάστα φαῦλα. ¶ Φυλλιᾶν, τὸ παίζειν. ¶ Φυλλιὰς, ἐκ λαχάνων. ὑπότεμμά τι σκευαζόμενον, ἐκαλεῖτο δὲ θεία φυλλιάδες, γένος ἰθαπνῶν. ¶ Φύλλον, πέταλον, ἢ τὰ ἐκ τῆς γῆς ἄνθη. ¶ Φυλλεῖν, ἀδολεσχεῖν.

Φ ύλλοι, ἀλώπεκες. ¶ Φυλλίδες, τὰ τῶν αὐτῶν ἅ τινα φύλλα ἐκάλουν. ¶ Φυλλῖναι, ἀγῶνες, ἐν οἷς μὴ ἐτίθετο ἀργύριον, ἀλλὰ στέφανοι μόνοι καὶ εἶδός τι, κικεών.

Φ υλλὶς, ἡ σκῆμος τὸ πάλαι. ¶ Φυλοβασιλεῖς, ἐκ τῶν φυλῶν αἱρετοί, οἱ τὰς θυσίας ἐπιτελοῦντες. ¶ Φυλοκρινεῖν, τὰς φυλὰς διακρίνειν. ¶ Φυλοκρίνομαι, ἐν τῇ φυλῇ διακρίνομαι. ¶ Φῦλον, ἔθνος. γένος.

Φ ύλοπις, πόλεμος, μάχη: ¶ Φῦμα, ψώρα, ἢ ἕτερον φῦμα. ¶ Φύματα, ψυδράκια ψῶραι. ¶ Φύντων. γεννηθέντων. ¶ Φῦξαι, φυξεῖν. φυγεῖν: ¶ Φύξηλιν, φυγόδα, δειλόν. φυγοπόλεμον. ¶ Φυξήλιδας, δειλούς.

Φ υξήλιον, φυγαδικὸν βίον. ¶ Φυξῆ. φυγῆ.

Φ υξίμηλα, δένδρα τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων. ¶ Φύξις, φυγή. ¶ Φυομένας γεννωμένας: ¶ Φυὸς. φύτευμα, γέννημα. ¶ Φύπαξ, ὅπερ ἡμεῖς βόμβαξ. ¶ Φύραμα, ζύμη, σπέρμα, ἢ ζημία.

Φ υρᾶν, ζυμοῦν, ταράσσειν τὰ ἄλευρα. ¶ Φυρατις, ὁ ἡμεῖς φύραν. ¶ Φυρδήσκια, σκωλήκια. ¶ Φύρδην, ἀτάκτως, συγκεχυμένως. ἀναμίξ.

Φ ύρει, μολύνει μαλάσσει, μιγνύει.

Φ ύρεσθαι, μίγνυσθαι. ¶ Φυρκηλῖται τεχνίτες.

Φ ύρκος. τεῖχος. ¶ Φύρμα, κόπρος, ῥύπος.

Φ υρμᾶται, ῥυπαίνεται.

Φ υρμὸς, μολυσμὸς, ῥύπος, μίασμα.

Φ ολύνει, μολύνει, καταπίμπλησιν. ¶ Φονιαὶ, οὕτω
καλοῦνται, οἱ τόποι ἔνθα τινὲς ἀναιροῦνται. ¶ Φο
νᾶν, τὸ ἐπὶ φόνον μαίνεσθαι. ¶ Φονίας, φονοκτόνης
Φ ονὶς, ἰχθὺς ποιός. ¶ Φόνος, ὁ διὰ σφαγῆς θάνατος, καὶ
αὐτὸ τὸ φονεύειν, ὁ αἷμα. ¶ Φονώντων, περὶ φόνον
θρασυνομένων καὶ λυσσώντων. ¶ Φονῶσα, φόνου
ἐπιθυμοῦσα. ¶ Φοξὸς, λιπόδερμος, ὀξυκέφαλος.
Φ ορὰ, πλημμύρα, σύστημα, καὶ ὁ τῶν μηχανικῶν ὀργά
νων λαβή. ¶ Φοράδες, αἱ θήλειαι ἵπποι. ¶ Φο
ράδην, ὁ φερόμενος βαστάζων. ¶ Φορὰν, τὸ φέρεσθαι,
τὴν ὁρμὴν κίνησιν. ¶ Φορβάδες, νομάδες, φοιτάδες
βοσκήματα. ¶ Φοράδην, πάντα φερόμενον.
Φ ορβάδων, νομάδων, βοσκημάτων. ¶ Φόρβαντα, ἰα
τρικὰ φάρμακα. ¶ Φόρβας ἀττικὸς ἥρως.
Φ ορβέα, ἕλκυστρον, περιστόμιον, καπίστριον. ¶ Φορβειὰ,
ἡ αὐλητικὴ στομὶς, λέγεται δὲ καὶ ὁ χειλωτήρ.
Φ ορβὴ, βορὰ, τροφὴ, βοτάνη, βρῶσις. ¶ Φορβαίαν, περι
στόμιον, καπίστριον. ¶ Φόρβια, φάρμακα, οἱ δὲ φόρ
βα. ¶ Φορμώμενος, τρεφόμενος. ¶ Φόρβον, ἀπὸ
θρεπτήρ. ¶ Φόρβυτα, οὖλα ἤλεοι. ¶ Φορμένη, ἡ
ὑγρασιότης. ¶ Φορέε τιμήν, ἔφορον, ἐβάσταζον ἐφόρουν
Φ ορέονται, οἴσονται. ¶ Φορεῖς, οἱ τὴν μετὰ ἡλικίαν ὕλην
ἐκκομίζοντες πάλιν καὶ οἱ τῶν ἀσπίδων ἱμάντες ἢ
οἱ φέροντες. ¶ Φόρεσθαι, φέρεσθαι. ¶ Φορεύμενα,
φορούμενα. ¶ Φορεύουσι, φοροῦσιν. ¶ Φορῆες, οἱ
βαστάζοντες ἢ φέροντές τι. ¶ Φορητὰ, ἀκτὰ, βαστα
κτὰ, ἃ δυνατόν τις φέρειν. ¶ Φορηφὸς, ἐνεχυρῶν
τας. βαστακτούς. ¶ Φορητὸν ὑπὲρ τοῦ ἀγροῦ σῖτον.
Φ όριμος, λυσιτελής. ¶ Φορίνη, ἡ παρ' ἐνίοις πιτύνη.
Φ όριγγες τὰ ὕλινα. ¶ Φόρκες, χάρακες. ¶ Φορ
κὶς, μονόφθαλμος. ¶ Φορκὸν, λευκὸν. πολιὸν. ῥυ
σόν. ¶ Φόρμιγγι, τῇ κιθάρᾳ. ¶ Φορμίζειν, κιθα
ρίζειν. ¶ Φόρμιγξ, κιθάρα ἡ τοῖς ὤμοις φερομένη.
Φ όρμιγγα, μύρμηκα. ¶ Φορμὶς, σφυρίς. ¶ Φορμίων
ὄνομα στρατηγὸς ἐγένετο κροτωνιατῶν. ¶ Φόρμιον,
πλέγμα ψιαθῶδες, φορμίδιον. ¶ Φορμὸς. ἀγγεῖ
ὃν τὸ πλεκτὸν ψιάθοις ὡς κόφινος. ¶ Φορμορραφού
μενα, ὡς φορμοὶ καταρραπτόμενα. ¶ Φορμοσόκον,
παχύς. ¶ Φόροι, δημόσιοι ἀπαιτήσεις. ¶ Φορο
λογοῦσι, φόροις συνάξαι. ¶ Φορολόγοι, ὑποτε
λεῖς, λειτουργοί. ¶ Φορολόγος, ὁ ἀπαιτῶν τοὺς
φόρους. ¶ Φόρος, ὁ τῶν χρημάτων καταβολὴ, ἢ νόμου
τέλεσμα. ¶ Φοροῦν, ἐγκεόμενον βαρύ.
Φ ορτικὰ, τὰ γελοῖα, καὶ τὰ ὑπὸ βροτείας σκώμματα.
Φ ορτὶς, φορτηγὸς ναῦς πλοῖον. ¶ Φόρτος, φορτίον
Φ ορύκαμα, δένδρον ποιόν. ¶ Φορύνει, φυρᾷ, μολύνει,
συγχεῖ. ¶ Φορύνετο, ἐμολύνετο. ¶ Φορύξαι, συγ
χέαι, φυράσαι. ¶ Φορύξαντες, συγχέαντες, μολύ
ναντες. ¶ Φόρυς, δακτύλιος ὁ κατὰ τὴν ἕδραν.
Φ ορυσσέσθαι, μολύνεσθαι. ¶ Φορυτὸν ἄχυρα φρύγανα :
Φ ορυτὸς, φρύγανα ἄχυρα, τὰ ἀπὸ γῆς αἰρόμενος ὑπὸ ἀνέ
μου χόρτος. ¶ Φορυτώδης, συρφετὸν, βόρβορος,
ἀκαθαρσία. ¶ Φορωνεὺς, ὄνος βασιλικός.
Φ ορστὰ, κιθαριστά. ¶ Φοσαλδεῖ, σαμασκεῖ.
* Φοσαξιδον, ὁ ἐπὶ τὰ χέρας σαμασκία τῶν μελλόντων
μαστιγοῦσθαι. ¶ Φοῖξ, σφύριγξ. ¶ Φοῦσκος, ὀξύ
κέφαλος. ¶ Φοῦαι, ἀλώπεκες. ¶ Φουλίδες,
περὶ ἐννέων χρυσὸς. διδύες. ¶ Φυλλόμενοι, τιλλόμενοι
διδυέες. ¶ Φύρκος ὁ χύρωμα. ¶ Φόως, φῶς, χα
ρὰ σωτηρία. ¶ Φόως ἔρδουσα, τὴν ἀνατολὴν τοῦ
ἡλίου σημαίνουσα.

ΤΟ Φ ΜΕΤΑ ΤΟΥ Ρ.

Φ ράγματα, κατασκιώματα. ¶ Φραγμὸς, θρι
γκὸς, ἢ καὶ ὁ νόμος. ¶ Φράδεν, ἔλεγεν.
¶ Φραδέων, ἑρμηνεύων. ¶ Φραδὴς, συνετοῦ
Φ ραδῇσι, βουλαῖς. ¶ Φραδεύονσιν, λέγουσιν.
Φ ράδμονες, ἔμπειροι, συνετοί. ¶ Φράδε, φράζε, λέγε
Φ ραδμοσύνῃσι, συνέσει. ¶ Φραδμοσύνη, σκέψις, βουλὴ,
νόησις. ¶ Φραδέως, φραστικῶς, φανερῶς.
Φ ράζει, δεικνύει, σημαίνει, λέγει. διηγεῖται, σκέπτεται
διανοεῖται. ¶ Φράζεο, λέγε καὶ τὰ ὅμοια.
Φ ράζεται, φραζόμενος, φράζοιτο ὁμοίως. ¶ Φραγνί
ζειν, σωφρονίζειν. ¶ Φραξάμενος, κλείσας, ὁπλισά
μενος. ¶ Φράσαι, διανοήθητι, σκέψαι. ¶ Φρά
σαντες, εἰπόντας διέξαντας λέξαντας. ¶ Φρασθῶ
λεχθῶ, διαλεχθῶ καὶ τὰ ὅμοια. ¶ Φρασίζωσι, δια
σκεπτόμενον εἰς ζωήν. ¶ Φράσμεσθα, προσέχομεν.
Φ ράσασθαι, φραδῦναι, συνεῖναι. ¶ Φράσις, λέξις
διάλογος, ἑρμηνεία, φράσις δὲ γένος ἀθόνητον.
Φ ρασάμενος, σκεψάμενος, νοήσας, λογισάμενος.
Φ ράσσεται, ἀσφαλίζεται, πληροῦται, αὐτέχεται.
Φ ράσον, εἰπὲ, λέξον. ἑρμήνευσον. ¶ Φρασόμεθα, βου
λευόμεθα, εἴπωμεν. ¶ Φραστῆρες, μηνυταί.
Φ ραστὺς, σκέψις, ἔννοια. βουλὴ, φράσις. ¶ Φράτορας
τοὺς τοῦ αὐτοῦ μετέχοντας φρατρίας, συγγενεῖς.
Φ ράρρσιν. ἑταίροις συμμάχοις. ¶ Φραχθέντες, ἀ
σφαλισάμενοι ἑαυτούς. ¶ Φρέαρ, πηγὴ, λάκκος.
Φ ρέαρ ὀρύττειν, σκιοθηρεῖν, οἱ γὰρ ἀπὸ τῶν μαθημάτων εἰώ
θασι τὰς μεσουρανήσεις λαμβάνειν καὶ σκιοθηρεῖν ἐκ τῶν
φρεάτων. ¶ Φρεάρριοι, δῆμος τῆς λεοντίδος φυλῆς
Φ ρεάτεια, τὰ βαθέα ὀρύγματα. ¶ Φρεατύπανα, ὄρ
γανά τινα παρὰ πολυβίῳ. ¶ Φρείατα, φρέατα.
Φ ρεναπατᾷ. χλευάζει. ¶ Φρενήρεις, φρενήρεις.
Φ ρενὸς, ἔννοια, φρονήσεις. ¶ Φρένας ἴσας, ἴσας φρέ
νας, οἷον ἡρμοσμένας συμφώνους. ¶ Φρενοῦν, φρο
νεῖν, διδάσκειν. ¶ Φρεναπάτησις, βλαψίφρων.
Φ ρένες, μέρος τι τοῦ ἐντοσθίου τὸ ὑπὸ τῷ ἥπατι κείμε
νον, τὸ διάφραγμα τοῦ στήθους. ¶ Φρενήρης, ἀρτίφρων.
Φ ρενοβλάβεια, ὁ τῶν φρενῶν βλάβη. ¶ Φρενὶ, δια
νοίᾳ. ¶ Φρενοκλοπεῖ, ἐξαπατᾷ. ¶ Φρενὸς ἐκστά
σεις, ὅτε ἐξ ἑαυτοῦ μένων. ¶ Φρενοῦν, φρονεῖν, διδάσκειν
νουθετεῖν. ¶ Φρενοῦται, νουθετεῖται. ¶ Φρενώ
σας, παραλογισάμενος ἀπατήσας. ¶ Φρενῶσαι,
νουθετῆσαι. ¶ Φρενοκατόχησιν, παραίνεσις. ¶ Φρεσί,
διανοίαις. ¶ Φρεσὶν ὁρμαίνοντα, διανοούμενον.
Φ ρεώρυχοι, γένος ἀθήνησιν, ἢ οἱ τὰ φρέατα ὀρύσσοντες.
Φ ρημάττεται, φριμάσσεται. ¶ Φρὴν, φρένα, διάνοιαν
γνώμην. ¶ Φρίζει, φοβεῖται. ¶ Φρήτης, ἀδελ
φός. ¶ Φρητία, σῆμα φρέατος. ¶ Φρήτρα καὶ
φρήτρη, φρατρία, συγγένεια, πατρικὸν γένος καὶ στιβά
δες καὶ συσσίτια. ¶ Φρίκη, λεπτοκυμία. ἡ ἀρχὴ τοῦ

Φ λέγμα, τὸ φλέγμα. ¶ Φλεγύαι, ἔθνος ὑβριστικὸν καὶ ἀσε
βές. ¶ Φλέγμας, ἀετός. ξανθὸς ὀξύς. ¶ Φλεγό
μενοι, καιόμενοι, λαμπρυνόμενοι. ¶ Φλεγυρά, ὑβριστικὴ
λαμπρά. ¶ Φλέγειν, βλάπτειν. ¶ Φλεγυροῦ,
βλαβεροῦ. ¶ Φλεδονεῖ, ἀναισθητεῖ, φλυαρεῖ, καὶ
φλεδονεύεσθαι τὰ αὐτά. ¶ Φλεδονώδη, φλύαρα.
ληρώδη. ¶ Φλέδων, φλυαρία καὶ ὁ ἀλαζὼν ὃν ἔνιοι
Φ λεῖ, γέμει, εὐκαρπεῖ, πολυκαρπεῖ. ¶ Φλέβινα, φλυ
αρία. ¶ Φλέξαι, κατακαῦσαι. ¶ Φλέοντας. φλυ
αροῦντας, ἢ φλυαροῦντας. ¶ Φλεώς, βασκανία,
φθορά, καὶ ὁ ἄγριος φλοιός. ¶ Φλέψ, μόλωψ, καὶ
τὸ ἀναλοῦν τῷ σώματι. ¶ Φλέω. Διονύσου ἱερὸν
Φ λιδῶντα, ληροῦντα. ¶ Φλιαφᾷ, φλυαρεῖ, μω
ρολογεῖ. ¶ Φλήναφοι, μωρολόγοι. ¶ Φλήναφος, φλύ
αρος, λῆρος, μωρολόγος. ¶ Φληναφῶντα, φλυαροῦντα
Φ λῆφος, φλύαρος. ¶ Φλιαρά, χλιαρά. ¶ Φλιάς,
τὰς θύρας παραστάδας. ¶ Φλιδᾶν, σήπεσθαι.
Φ λιδάνει, διαπίπτει διαρρεῖ. ¶ Φλιδόωντο, διέπιπτον
το, ἐτέμνοντο. ¶ Φλιδόνες, τὰ ἐν τοῖς ἱματίοις ἀπέ
σματα, καὶ ῥυτίδας τινὲς δὲ σφυγμοί. ¶ Φλιδῶσα
ῥηγνυμένη. ¶ Φλίεθος, καρποφόρος. ¶ Φλιή,
πρόθυρον ὁ παραστὰς τῆς θύρας. ¶ Φλιοῦς, ὁ τῶν καρ
πῶν ἐκχύσεις. ¶ Φλίψεται, ἀποθλιβήσεται.
Φ λίψις, θλίψις. ¶ Φλόα, φλογερόν. ¶ Φλογε
ρόν, θερμόν, λαμπρόν. ¶ Φλόγια, λαμπρά. φλο
γώδη. ¶ Φλογίδες. κρέα ὀπτά. διὰ τὸ φλογίζεσθαι.
Φ λεγμονή, ὄγκος πυρώδης συρρυέντων ἐπὶ τὸ ἀσθενέστερον
μέρος τῶν ὑγρῶν, καὶ τῇ παρὰ φύσιν θερμασίᾳ φλεγόν
των πάσχοντος. ¶ Φλογίδια, αἱ κεγχρίδες δι' ἐλαίου
σκευαζόμεναι. ¶ Φλογίνη, καυστική. ¶ Φλογίσει,
καύσει. ¶ Φλογμός. καῦσος, βρασμός, καύσων,
φλογισμός. ¶ Φλογμῷ, κατακαύσει, καταφλέξει.
Φ λογόδερπνοι, ἄνθρακες. ¶ Φλογώδης, καυστικόν.
Φ λογόλευκον, ἐρυθρόλευκον. ¶ Φλογώματα, τῶν ἄρ
των τὰ ἐπικεκαυμένα. ¶ Φλοιαν τὸν κόρην τὴν
θεὸν οὕτω καλοῦσι λάκωνες. ¶ Φλοιδᾶν, πιεσθῆ.
Φ λοιδούμενος, ταραττόμενος. ¶ Φλοινόν, φλοιόν.
Φ λοιόν, τὸ λέπος τοῦ ξύλου. ¶ Φλοῖσβος, τάραχος,
ἀφρός, ταραχή. ¶ Φλόμος, πόα τις. ἣ καὶ αὐτὴ
ἐπὶ λυχνίας χρῶνται, ἣ αὐτὴ δὲ θρυαλλίς. ¶ Φλονί
δες, λεπίδες. ¶ Φλόξ, ἡ τοῦ πυρός, καὶ ἄνθος τι.
Φ λονάζει, φλυαρεῖ, ληρεῖ. ¶ Φλοῦκτος, εἶδος ῥοφή
ματος. ¶ Φλοῦς, φλοιός, λεπύχανον. λεπυρόν.
Φ λυάκια, τὰ ψυχράκια. ¶ Φλύαξ, μέθυσος, μεθυα
στής, γελοιαστής. ¶ Φλύαρος, φαῦλος, εὐήθης.
Φ λυάσσει, φλυαρεῖ. φλύει. ¶ Φλυδᾶν, διαχεῖσθαι.
Φ λύεις, δῆμος τῆς πτολεμαΐδος φυλῆς. ¶ Φλύζει,
ἀναζεῖ. ¶ Φλύζειν, ἀναζεῖν, φλύζεσθαι. ¶ Φλυα
ρος, θερμός, καὶ μῦν τις. ¶ Φλοκτὰ κακὰ σχέτλια.
Φ λύκταινα, τὸ ἀπὸ πυρὸς φύσημα γενόμενον ἐν τῷ σώ
ματι. ¶ Φλύον. βιβλίον καθαρόν. ¶ Φλύσαι, ἀ
ποβαλεῖν, ἐμέσαι, ζέσαι. ¶ Φλυσσός, στοίβη, οἱ δὲ φλοι
ός. ¶ Φλύσσει, ἐρυγγάνει. ¶ Φλυσσῶσα, μαινομένη.
Φ οβεῖται. φεύγει, κνίζεται. ¶ Φόα, ἐξανθήματα. ἐν
τῷ σώματι. ¶ Φοβεῖ, κνίζει διώκει. ¶ Φοβερόν,
δειλόν, ἔμφοβον. ¶ Φοβδρόν, ἀλητήριον.

Φ οιβόμβρος, διωκόμβρος. ¶ Φόβη, κόμη, χαίτη, θρίξ,
οἱ δὲ ἐκτενισμένη ἀπὸ τοῦ φοίβου, ὅ ἐστι καθαροῦ.
Φ όβησαι, ῥῖψαι. ¶ Φόβος, φυγή. ¶ Φοβήσας, ἔνθεον
ποιήσας. ¶ Φοβηθείς, εἰς φυγὴν τραπείς. ¶ Φοί
βα, ἀγὼν δρόμου. ¶ Φοιβάζει, μαντεύεται.
Φ οιβαζόντων, προλεγόντων. ¶ Φοιβᾶναι, λαμπρῦναι,
μαντεύσασθαι, κοσμῆσαι. καθᾶραι, ἁγνίσαι καὶ φοιβά
σαι ὁμοίως. ¶ Φοιβᾶσθαι, καθαρεῦσθαι.
Φ οιβητεύειν, χρησμῳδεῖν. ¶ Φοιβότεια, καθάρσια.
Φ όβοι, ἀττικοὶ ἐπὶ τῶν δυσειδῶν. οἱ δὲ καθαρούς.
Φ οῖβος, καθαρός, λαμπρός. ἁγνός, ἀμίαντος.
Φ οίνια, ἐρυθρά. ¶ Φοίνια, πυρρά. ¶ Φοίνικι, ἐρυ
θρῷ βάμματι. ¶ Φοινικελίκτην καὶ λόγον ἀλαζόνα
ἀπατηλὸν καὶ κάπηλον. ¶ Φοινικίοις, γράμμασι, σο
φοκλῆς ποιμέσιν, ἐπεὶ δοκεῖ κάδμος αὐτὰ ἐκ φοίνι
κος κεκομικέναι. ¶ Φοινικήϊα, γράμματα, ἀπὸ
φοίνικος τοῦ ἀκταίωνος φασὶν ὀνομασθῆναι αὐτά.
Φ οινήεντα. λεπιδωτὸν ὁ ἀπωσίων φασί, οἱ δὲ φόνιον, ἢ
ἐρυθρὸν τῷ χρώματι, ἢ καταπληκτικόν, ἢ φονευτι
κόν. ¶ Φοινικάδες αἱ ῥάφανοι ὑπὸ βοιωτῶν.
Φ οίνικες, γένος τι ἀθηνησιν. ¶ Φοινίκια, λυδοὶ καὶ ἴω
νες τὰ γράμματα ἀπὸ φοίνικος τινός. ¶ Φοινικέ
λικτον, ἀπατηλόν. ¶ Φοινικόν, πυρρόν.
Φ οινικίδες, αἱ αἱμῶναι ἢ πία, οἱ δὲ τὰ φοινικᾶ ἐνδύ
ματα. ¶ Φοινικιστής. παρὰ ξενοφῶντι ἐν προώπῳ ἀνα
βάσεως, ἀπέκτεινεν ἄνδρα πέρσην μεταφέρων φοινι
κιστὴν βασίλειον. ¶ Φοίνια, κύναρος πυρρά.
Φ οίνικι φαεινόν, φοινικίνῳ χρώματι λελαμπρυσμένον.
Φ οινικολόφοιο, ξανθοῦ λόφου. ¶ Φοίνικος ἔρνος, πε
ριφραστικῶς τὸν φοίνικα. ¶ [Φ]οινίκης, ὅπλον ἐρυ
θρόν. ¶ Φοινικοβάλανα, τὸ τράγημα, καὶ εἶδος ἀμ
πέλου. ¶ Φοινικόεσσα. πυρρὰ τῷ χρώματι, ἐρυθρά.
Φ οινικόλεπον, ἴσον τὸ ἐπινέλοπα, τὸ ὄρνεον, τὸν περὶ τρά
χηλον ἐπίπαν φοινικοῦν, ἡ δὲ λέπο παρέλκει.
Φ οινικοῦν, πυρρόν, κόκκινον αἱματῶδες. ¶ Φοινίκουρος.
ὄρνις ποιός καὶ ὁ ἐρίθακος. ¶ Φοινίκοις μάστιξ διὰ
τὸ τὰ νῶτα φοινίσσειν. ¶ Φοινικόχλοις, ξανθόχλοις.
Φ οῖνιξ, τὸ δένδρον, φοίνικος, νέον ἔρνος, καὶ ὁ καρπὸς καὶ ὁ
πυρρὸς τῷ χρώματι. ¶ Φοινίξαι, αἱμάξαι, βάψαι.
Φ οίνιον, φονόν, δεινὸν ἐρυθρόν. ¶ Φοίνισσα, εἶδος ἀμ
πέλου. ¶ Φοινίσσων, βάπτων. ἐρυθρῶν.
Φ οίνικες, γλύφαι. ¶ Φοινιχθέντων, αἱμαχθέντων,
αἱματωθέντων. ¶ Φοινόν, πυρρόν. ¶ Φοιτᾷ, ἔρχε
ται, βαδίζει, μαίνεται, πρόσεισιν, ἀφικνεῖται, διέρ
χεται, περιγίνεται. ¶ Φοιταλέος, περίκοπος μα
νιώδης. ¶ Φοίτης, ὁ κῆρυξ. παρὰ τὸ φοιτᾶν πανταχοῦ. ¶ Φοιτήσας, παραγενόμενος. ¶ Φοιτητής,
μαθητής. ¶ Φοῖτος, μανία λύσσα. ¶ Φοιτῶν,
ἀναστρεφόμενος. ¶ Φοιτῶντα, ἄνδρα μανίαις λύσ
σαις. λυσσήμασι. τὴν ἐβραίαν μανίαν. φοῖτον ἔλεγον
τουτέστι τὸν μετ' ὁρμῆς μεμηνότα. ¶ Φολέγανδρος,
νῆσος ἐρήμη. ¶ Φολιὰ πόα, χρυσίππος δὲ καὶ τὸ
σέλινον οὕτω καλεῖ. ¶ Φολίδες. αἱ λεπίδες τοῦ ὄφε
ως. ¶ Φολίς, λεπὶς καὶ σύριγξ πολυκάλαμος.
Φ ολκός, στρακός, οἱ δὲ λιπόδερμοι. ¶ Φόλυβοι, κύ
νες. οἱ πυρροὶ ὄντες μέλανα στόματα εἶχον, οἱ δὲ φα
λακρές.

Φ θονερὸς, ζηλωτὴς, ζηλότυπος. ¶ Φθόνος, πάθος ἐπὶ τῇ τῶν πέλας εὐπραγίᾳ. ¶ Φθορὰ, ὄλεθρος.
Φ θόπις, φθίσις. ¶ Φθίνον, ὀλιγοχρόνιον, ὀλίγον.
Φ θείρεται, ὀδύρεται. ¶ Φία, πενία. ¶ Φιαρὸν, λαμπρὸν καθαρόν. ¶ Φιαρύνει, λαμπρύνει.
Φ ιβαλέα. εἶδος σύκων, καὶ ὁ συκὸ ὁμωνύμως. τινὲς δὲ ἰσχάδας. ¶ Φίβλα, πόρπη φικίον. πόρπη.
Φ ίκα, φίκα, σφίγγα. ¶ Φισκαλία, ἀπὸ ἑνὸς τῶν λυκάονος παίδων. ¶ Φιδάκνο, πιθάκιον μικρὸν στενόν.
Φ ιδίτια, συσσίτια. ¶ Φειδίτια. λιθόξοοι. ¶ Φιλόδολος. ἐπιθυμητός. ¶ Φίλυρα, ῥίζα, ὁ ἀχίλλειος καλούμενος. ¶ Φιαρὸν, καθαρὸν λαμπρὸν, ἁγνὸν ἱλαρὸν
Φ ικιῶν. προς θηβῶν. ¶ Φίλα, προσφιλέστατα.
Φ ίλαι, φίλησον. ¶ Φιλαίμων, φιλῶν τὸ αἷμα.
Φ ιλαίτατος, φίλος σφόδρα. ¶ Φιλαίζοι, μεμψίμοιροι
Φ ιλαίτιος, μεμψίμοιρος. ¶ Φιλακριβοῦντες μετ' ἀκριβείας διαχωρίζοντες. φιλακροάμονας. ¶ Φιλαλήθης, ὁ τὴν ἀλήθειαν φιλῶν. ¶ Φιλαλληλίαν, οἱ φιλοῦντες ἀλλήλοις. ¶ Φίλαξ. δρῦς, μέσος ἰλαῖοι.
Φ ιλαπεχθημόνως, φιληκίστως. φιλοῦντα μισεῖσθαι.
Φ ιλαργυρία, φιλοχρηματία. ¶ Φίλατο, ἐφίλησεν ἠγάπησεν. ¶ Φιλαῦρα, τὰ κακὰ τὰ ἄτοπα.
Φ ιλαυτία, τὸ πάντα πρὸς τὰ ἑαυτῷ ἀρέσκοντα πράττειν. ¶ Φίλαυτοι, οἱ ἑαυτοὺς φιλοῦντες. ¶ Φιλεῖ, εἴωθεν, ξενίζει, ἢ κατὰ ψυχὴν ἀσπάζεται. ¶ Φιλέσκον, ἐξ ἐφίλουν. ¶ Φιλεκάδωρον, κηδεμονικόν. ¶ Φιλένρλος ἐλεόμενον. ¶ Φιλεόντων, φιλεῖτωσαν, ὡς τὸ ἔστων ἔστωσαν.
Φ ιλέουσα. φιλοῦσα. ¶ Φιλεργίστατοι, φιλεργοὶ οἱ τὸ ἔργον φιλοῦντες. ¶ Φιλέριδος, οἱ ἀπεχθῶντες ἐρίζειν
Φ ιλέταιρος, πολυφίλης. ¶ Φιλέχθρος, φιλοπραγμων. φιλοπάλαιστρος. ¶ Φίλοχίνος, πταφνάς.
Φ ίληθεν, ἐφιλήθησαν. ¶ Φιλόμης, φιλίας. ¶ Φίλην, φιλίαν, ἢ τὴν προσφιλεστάτην. ¶ Φιλόρετμοι, φιλόκωποι, φιλοναῦται. ¶ Φίλοσαι, ἐξεφίλησαι. ὑπέπεσε.
Φ ιλήσια, φιλοτήσια, προσφιλῆ. ¶ Φιλησίως, κλεπτικῶς: ¶ Φιλήτης κλέπτης λῃστής. ¶ Φιλήτωρ, ἐραστής. ¶ Φιλητῶν, γένος κλεπτῶν. ¶ Φίλια. προσφιλέστατα. ¶ Φιλιάζεσθαι. ἐγχωρίζεσθαι αὐτῷ. ¶ Φιλίδασύ ευγγα. ¶ Φιλιὸς, ὁ ἀπὸ ζεύσπαιος κατ' εὐφημισμένον.
Φ ίλιπποι, μοιχοί. ¶ Φιλιστίδιον, νόμισματι. ¶ Φιλίων, ἀντὶ τοῦ φίλτερος προσφιλέστερος. ἐσχηματίσται δὲ ἀπὸ τοῦ μέτρου. ὡς τὸ καλλίων, ξεῖνον τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα. ¶ Φιλόδικος, φιλοπράγμων.
Φ ιλοδώτῳ, λεπίδας ἔχοντι. ¶ Φιλέθακος ἀργή
Φ ιλοθεάμων. φιλοθεωρητής. ¶ Φιλοθεάμονι, φιλοθεωρητικῆς. ¶ Φιλοθηρσίδης, φιλοθήρσου παῖς.
Φ ίλοιφος, παιγνητής. ¶ Φίλοι, προσφιλέσταται.
Φ ιλοκαλία, φιλοῦσα τὰ ἀπέσχεα. ¶ Φιλοΐστωρ, φιλῶν ἱστορεῖν. ¶ Φιλόκαλος. φιλόκοσμος. ¶ Φιλοκέρτομε. φιλῶν σκώπτειν. ¶ Φιλοκηδὴς, ὁ κηδεμονικός. ¶ Φιλοκνήμιδες, φίλοπλοι. ¶ Φιλοκεινεῖν, διαφέρειν. ¶ Φιλοκτέανος. φιλοκτήμων φιλοχρήματος. ¶ Φιλοκτεανώτατε, φιλοχρηματώτατε.
Φ ιλοκτήμων, φιλοχρήματος. ¶ Φιλολάμπαδος, ἡ ἄρτεμις. ¶ Φιλολόγος, ἀσκητὴς, πολυλάλος.
Φ ιλολόγος. λαλιὸς, λάλος. ¶ Φιλομηδής. φιλόπλως.

φιλῶν τὰ μειδιάματα ἱλαρά. ¶ Φιλομμειδὴς. οἱ μὲν, κύριον ὄνομα. πολλάκις δὲ παρωνυμικῷ τύπῳ κυρίως δηλοῦται ὡς εὐειπίδης ἡρακλείδης. ¶ Φιλομμειδὴς ἐπὶ πεπλασμένῳ λόγῳ. ¶ Φίλον, προσφιλές.
Φ ιλόνεικος, μάχιμος, φίλερις, φιλονεικία γὰρ ἡ μάχη.
Φ ιλοπευστεῖν, ἀκούειν μανθάνειν, ἐρωτᾶν. ¶ Φιλοπευστοῦντα, ἡδέως ἀκούοντα, ἢ ἐρωτῶντα. ¶ Φιλοεργός, φιλεργός. ¶ Φιλοπονία, σπουδαία ἔρις. ¶ Φιλόπονος, φιλεργὸς σπουδαῖος: ¶ Φιλόπυστος, φιλοπράγμων. ¶ Φιλόσοφος, ὁ πάντων πειραθεὶς φιλομαθὴς φιλόστοργος. φιλότεκνος. φιλοσόφους δὲ φασὶ λυδοὶ τοὺς κιθαριστὰς καὶ μουσικούς. οἱ ἀρχαῖοι σοφοὺς καὶ φιλοσόφους καὶ σοφιστὰς ἔλεγον. ¶ Φιλόστροφος, εὐμετάβολος. ¶ Φιλοσύμμαχος, φιλαλλήλων, μάχιμος.
Φ ίλος, ὁ προσφιλής. ¶ Φιλότης, φιλία ἡ συνουσία.
Φ ιλοτησία, πρόποσις ἡ μετὰ τὸ δεῖπνον ὑπὲρ φιλίας
Φ ιλοτήσια ἔργα ἀφροδίσια τὰ συνουσιαστικά. ¶ Φιλοτιμεῖται, μεγάλα φρονεῖ, ἐπαίρεται, πλουτεῖ.
Φ ιλοτιμία, δωρεὰ κενοδοξία. πλοῦτος μεγαλοφροσύνη.
Φ ιλότιμος, ὁ φιλῶν τιμᾶν μεγάλως ἢ θέλων αὐτὸς δοξάζεσθαι. ¶ Φιλοτιμούμενοι, ἀντὶ ψιλῶς τιμῶντες.
Φ ιλοτίμως, φιλοδόξως πλουσίως, μεγαλοψύχως ἀντὶ ψιλῶς. ¶ Φιλοφρονοῦμαι, δεξιῶς καὶ προθύμως εἰς δέχομαι, ἢ ἀποδέχομαι. ¶ Φιλοφροσύνη. προθυμία. διάθεσις, σπουδὴ, ἀγάπη. παρὰ τὸ φίλα ἢ φίλια φρονεῖν. ¶ Φιλοχωρῶν. τὴν χώραν ἀσπαζῶν. ¶ Φιλοψεύστης, ὁ τὸ ψεῦδος φιλῶν. ¶ Φιλόψυχον, εὔψυχον:
Φ ίλτατα. τὰ ὄμματα καὶ προσφιλέστατα. ¶ Φίλτατοι, φιλικώτατοι. ¶ Φίλτρον, φιλία. ¶ Φιλυδρία. φιλεῖ τὸ ὕδωρ. ¶ Φιλύενον, ἀσθενές. ¶ Φιλοφρόν, εὐωδες ἐλαφρόν. ¶ Φιλωνίδης, ὑποκοριστικῶς ἀντὶ τοῦ φιλωνίδης. ¶ Φίλως, ἡδέως. ¶ Φίλως χαῖρε ὁρῶντε, ἡδέως ἂν βλέποντε. ¶ Φιλωψ, κρίνη, ὁ φίλος.
Φ ιλοτερίς, κασιγνήτη. ¶ Φιλώτατα. φίλτατα.
Φ ιλώτατος, φίλταρος. ¶ Φίμα, κημὸς, παρὰ τὸ φιμός: ¶ Φιμοῖ. δεσμεύει ἐμπράττει, ἄγχει, ἐπιστομίζει. ¶ Φιμοῖ. δεσμοῖ. ¶ Φιμοῦν. δεσμεύειν ἐπὶ τὰ ὅμοια. ¶ Φὶν, ἀντὶ τοῦ σ. ἢ αὐτοῖς. ¶ Φίνακα, δρῦν.
Φ ίνεται, συντηρεῖ. ¶ Φίσκος, δημόσιον ταμεῖον πολύχρημον. ¶ Φισκοσυνήγορος, ὁ ταμιείου συνήγορος.
Φ ίτρον, μέτρον, μάταιον, ῥάδιον, καὶ τὸ μέσον τοῦ ῥινίου τὸ κοῖλον, καὶ ὁ κορμὸς τοῦ ξύλου παρὰ τὸ φύεσθαι.
Φ ίτυ, φυτὸν, φύτευμα. ¶ Φίτυμα, τέκνον, γέννημα.
Φ ιτύσατε, ἐγέννησεν. ¶ Φλᾶ, θλᾶ, μαλάττει, συντρίβει. ¶ Φλαδιᾶν, θλαδιᾶν, μαλάττειν, τύπτειν.
Φ λᾶν. μαλάσσειν πλοκαῖς. ¶ Φλανύαρεῖ, φλυαρεῖ, ληρεῖ. ¶ Φλασμὸς, τῦφος. ¶ Φλασμένος. τετυφωμένος. ¶ Φλάσκος, θλάσκος. ¶ Φαυλικῶς, ἀηδῶς.
Φ αῦρα, φαῦλα. κακά. πονηρά. κοῦφα ἀσθενῆ.
Φ λέβαι, νεῦρα τινὰ ἅιματος δεκτικά. ¶ Φίλιππος, στόμα χειρῶν ἢ λαμπάδος. ¶ Φλέγει, καίει, λαμπρύνει.
Φ λέγλα, ὁ νῦν πελλόνο. ¶ Φλέγεται, καίεται, λαμπρύνεται. ¶ Φλέγμα, φλὸξ. καῦσις. παρὰ τὸ φλέγειν. ¶ Φλεγμαίνει, ὀγκοῦται, φυσοῦται.
Φ λέγματι, ὁ φλέγματα ἔχουσα. ¶ Φλεγματώδη, ὑγρασμα ἢ φλογός. ¶ Φλεγμὸς, τὸ αἷμα.

Φ εισὸν, ποταμὸς παφλαγονίας, ὁ ἑρμηνεύεται στόμα κόρης παρὰ δὲ ἕλλησι γάγγης. ¶ Φεῖσαι. ῥῦσαι. σῶσαι.

Φ ελγύνει, ἀσυνετεῖ, ληρεῖ. ¶ Φελλάντας, λίθος σκληρὸς ἀπὸ τόπου. ¶ Φελλεῦον, ἐπιπλέον. ¶ Φελλεὺς, τὸ δυσεργὲς χωρίον. ¶ Φελλίνιοι, ὀροβάκχαι.

Φ ελλίνας, κούφας ἀπὸ τοῦ φελλοῦ. ¶ Φελλὸς, σκληρὸς τόπος καὶ δυσεργὸς, καὶ ὁ ἐπιπολῆς τεφρώδης. ἢ φλοιὸς δένδρου, καὶ ξύλον ἐλαφρόν, τὸ δὲ αὐτὸ καὶ φελλεὺς ἢ τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα. καὶ ἀλαζών.

Φ ενάκας, ἀπατεῶνας. ¶ Φέναξ, χλευαστὴς ἀπατεών, ψεύστης, πλάνος. ¶ Φενεὸς, φονέα πόλις ἀρκαδίας. ¶ Φεννίδα, παιδιὰν σφαίρας. ¶ Φεννίον, ὁ μονικὸς ὀδούς. παμφύλιοι. ¶ Φεννὶς, εἶδος παιδιᾶς μετὰ σφαίρας. ¶ Φεννὸς, θάνατος. ἐνιαυτός.

Φ εραὶ, πόλις θετταλίας. ¶ Φεραία, ἀθήνησι ξενικὴ θεός. οἱ δὲ τὴν ἑκάτην. ¶ Φεραυγὲς, κατάλαμπρον.

Φ έρβειν τρέφειν βόσκειν. ¶ Φέρβεται, τρέφεται.

Φ έρβητας, νομεῖς. ¶ Φερβόμενος, τρεφόμενος.

Φ ερέγγυα, φέρον τὸ βιβλίον, ὃ τῷ βιβλῳ ἐμφερομένοις.

Φ ερέγγυος, ἀξιόπιστος. ἐγγυητὴς καὶ βεβαιωτής. ἔγγυος. βέβαιος. ¶ Φερέγγυον, βέβαιον, δυνατόν.

Φ έρειν, λαμβάνειν. βαστάζειν ὑπομένειν. ¶ Φερεκλέα, τὸν ἄδωνιν. ¶ Φερέοικος, ὁ κοχλίας, ἔνιοι ζῶον ὅμοιον σκώληκι ὑπὸ δενδρῷ ἐν ἐλαίαις γινόμενον. οἱ δὲ ζῶον σφηκὸς μεῖζον. ¶ Φερέσβιος, ὁ τὰ πρὸς τὸν βίον φέρων καὶ σώζων, ὁ ζωοποιός. ¶ Φέρεσκον, ἔφερον.

Φ έρητος, ὄνομα κύριον. ¶ Φέρισι, βέλτιστοι κράτιστοι, ἐξοχώτατε ἀγαθοί. ¶ Φέρμια, ἃς ἔνιοι ἀστίλας τὰς ἐκ σχοίνων πλεκομένας, καὶ ἰσχυρὰ ἀγγεῖα οἷον σπυρίδια. ¶ Φερνὰς, προῖκας, δῶρα νυμφικά, ἀπὸ τοῦ φέρειν φορὰς καὶ πάντα τὰ φερόμενα. ¶ Φερνὴ, προὶξ, δῶρα νυμφικά. ¶ Φέροντο. προσεφέροντο.

Φ ερρεύει. ἀποφέρει. ¶ Φερεφάττιον, τόπος ἐν ἀγορᾷ.

Φ ερσεφόνεια, ἡ τῆς δήμητρος θυγάτηρ, ὁ φέρουσα τὸ ἄφενος, τουτέστι τὸν πλοῦτον. διὰ τὸν καρπὸν ἀπὸ τοῦ φέρειν ὄνησιν.

Φ ερτάζει, φέρει. ¶ Φέρτατος, ἀγαθώτατος.

Φ έρτε, φέρετε, κατὰ συγκοπήν. ¶ Φέρτατον, κράτιστον, ἀγαθώτατον. ¶ Φέριστον, βέλτιστον.

Φ έρτερον, κρεῖσσον. ἀπὸ τοῦ φέρειν βέλτιον. ¶ Φέρτρον, φορεῖον, καὶ ἡ τῶν νεκρῶν κλίνη. ¶ Φέρυσ, ἀθλοφόροι. ¶ Φέρων, λαμβάνων. ¶ Φερώνυμος, ἀληθῶν τῷ ὀνόματι. ¶ Φετμαῖς. ἐντολαῖς παραγγελίαις. ¶ Φεῦ, σχετλιασμοῦ ἐπίρρημα.

Φ εύγει ἀποδιδράσκει, ἀντὶ τοῦ εὐθύνεσθαι ὡς καὶ φεύγειν κλοπῆς, ἢ μοιχείας φαμέν. ¶ Φευκτὰ φεύξιμα. ¶ Φευκταῖοι, ἀποτρόπαιοι. ¶ Φεύξεσθαι, φεύγεσθαι. ¶ Φεῦ φεῦ, ἴσον τῷ οἴμοι. ¶ Φέψαλυξ, φέψελος, σπινθὴρ ἄνθραξ. ¶ Φηγαιεὺς, δῆμος αἰγηΐδος. ¶ Φήγινος, δρύϊνος. ¶ Φηγὸς. ἡ δρῦς.

Φ ηλιικὸς, ἄφρονος. ¶ Φηλῶσαι, ἀπατῆσαι, φθεῖραι ἀπολέσαι. ¶ Φηκμόθρεπτον, ὑπὸ ὄλυνθον ἐπὶ συκῆς τεθραμμένον. ¶ Φῆλιξ, ὄλυνθος, τὸ μὴ πεπεμμένον σῦκον. ¶ Φῆ, εἶπεν, ἔλεγεν.

Φ ηλήτης, λῃστής. ¶ Φηλὸν, ἀπατηλὸν, λαθουργὸν κακοῦργον, ἐπίβουλον. ¶ Φηλωθεὶς, ἀπατηθείς.

Φ ηλωθῆσαι, ἀπατηθῆσαι. ¶ Φηλώσομεν, ἀντὶ τοῦ βοήσομεν. ¶ Φήματα, ῥήματα. φάσματα.

Φ ημάσομεν, βοήσομεν. ¶ Φήμη, ἀκοὴ ὀνομασία.

Φ ημὶ, λέγω, ὑπολαμβάνω. ¶ Φημίζεται, μαντεύεται. λέγει. ¶ Φῆμις, φήμη, κλέος, φωνὴ, λόγος.

Φ ῆν. εἶπεν. λέγων. ¶ Φήνας, δείξας. φηνάσης, δειξάσης. ¶ Φήνη, ἀετοῦ εἶδος. ¶ Φανὸν, λαμπρόν.

Φ ήνωσι, δείξωσι. ¶ Φῆρα, θῆρα εἶπεν. ¶ Φῆρες, οἱ κένταυροι αἰολικῶς. ¶ Φηρεία, θηρεία αἰολεῖς.

Φ ηρὸς, ἡ τῶν ἀρχαίων θεῶν τροφή. ¶ Φῆς λέγεις ὑπολαμβάνεις. ¶ Φῆσθα, λέγεις, ἔφησθα. ¶ Φήξομαι, λέξομαι, βοήσομαι. ¶ Φητὼ, φάρυγξ.

Φ θάνωμεν, φθάσωμεν. ¶ Φθὰν. ἔφθασαν δὲ πολλῶν τοὺς ἱππέας οἱ πεζοί. ¶ Φθάνει, καταλαμβάνει, προλαμβάνει. ¶ Φθατήσῃ, φθάσῃ. ¶ Φθεῖ, θνήσκει.

Φ θαρτὸν, θνητόν. ¶ Φθιάδος, θετταλικῆς.

Φ θιμένων ἀποθανόντων. ¶ Φθίνει, ἀναλίσκει.

Φ θινόπωρον, τροπὴ μετὰ τὸ θέρος ἡ νόσος. ¶ Φθεὶρ, ὁ τῆς πίτυος καρπὸς, καὶ μέρη τῆς νεὼς πρὸς τῇ πρύμνῃ καὶ ἰχθῦς τις. ¶ Φθεῖρα φθείρασιν. ¶ Φθείρεται, πλανᾶται ἀπόλλυται. ¶ Φθειροκομίδης φθειρῶν γέμων.

Φ θείρινος, φθαρέντος. ¶ Φθειρῶν ὄρος πιτυῶδες ὄρος διὰ τὸ πληθύνειν ἐν αὐτῷ πίτυσι. τῶν γὰρ στροβίλων τὰ ἔνδον φθεῖρας καλεῖσθαι. ¶ Φηρσὶ, κενταύροις.

Φ θήσονται, διαφθαρήσονται. ¶ Φθῆ, ἔφθασεν.

Φ θίῃ, φθάσῃ πρότερος. ¶ Φθῆναι, φθάσαι, προλαβεῖν. δεῖξαι. ¶ Φθήσεται, καταλήψεται, φθάσῃ, καὶ φθία πόλις θετταλίας. ¶ Φθιακὸν, τμητικόν.

Φ θίη. φθίσει. ¶ Φθίμενοι, θανόντες. ¶ Φθίμενος, φθαρεὶς, θανὼν. ¶ Φθίνα, ἡ ἐρυσίβη καὶ εἶδος ἐλαίας. ¶ Φθινὰς ἁμέρα, τὴν ἱσταμένου τρίτην τριμόνιον λέγει. ¶ Φθινάσμασι, φθίσεσι. ¶ Φθίνοντος, λήγοντος παυομένου, ἀναλισκομένου. ¶ Φθίνοντος μηνὸς, λήγοντος τοῦ μηνός. φθίνων δὲ μὴν καλεῖται ὁ ἀπὸ εἰκάδος ἕως τριακάδος μέσος δὲ μὴν ὁ ἀπὸ δεκάδος ἕως εἰκάδος. ἱστάμενος δὲ μὴν, ὁ ἀπὸ πρώτης ἕως πέμπτης. ¶ Φθινόντων, φθειρομένων. ¶ Φθινόπωρον, ὁ ἀπὸ τῆς πεντεκαιδεκάτης αὐγούστου μηνὸς, ἕως τῆς πεντεκαιδεκάτης δεκεμβρίου, οἱ δὲ ἀπὸ τῆς εἰκοστῆς δευτέρας αὐγούστου, ἕως πάλιν εἰκοστῆς δευτέρας δεκεμβρίου.

Φ θινύθειν, φθείρεσθαι. τήκεσθαι. ¶ Φθινύθουσιν, εἰς φθίσιν ἄγουσιν. ¶ Φθινύουσι, φθείρονται.

Φ θίνουσαν ἐλαττουμένην. ¶ Φθίοι, οἱ ὑπὸ πρωτεσιλάῳ τεταγμένοι. ¶ Φθὶρ, ὁ τῆς πίτυος καρπός.

Φ θίσις, ἡ λέπρα ἀπὸ φθίσεως. ¶ Φθίσεσθαι, θανεῖν.

Φ θισήνορα, ἡ τοὺς ἄνδρας διαφθείρουσα, ἢ τὴν ἀνδρείαν.

Φ θισκὸς, φθισκός. ¶ Φθίσαι, ἀπολέσαι.

Φ θίσθαι, ὀλέσαι. ¶ Φθισίμβροτος. ἀνθρωποκτόνος διαφθείρων τοὺς ἄνδρας. ¶ Φθίσων, εἰς φθίσιν ἄξων καὶ φθείρων καὶ φθερῶν. ¶ Φθίνοιτο θάνοιτο. ἢ ἔθανεν. ¶ Φθιτοὶ, φθαρτοὶ θνητοὶ, νεκροὶ. ἢ εἴδωλα.

Φ θιώταν, θετταλικήν. ¶ Φθογγὴ, φθέγμα, ἡ φωνή.

Φ θόγγος, φθογγὴ φωνὴ καὶ τὰ ὅμοια.

Φ θόη, φθίσις, φθορὰ, λύμη. ¶ Φθοατήσει. φθάσει κτήσασθαι. ¶ Φθοῖς. πλακοῦς, καὶ τὰ πρὸς λεπτὸν ἀλολεσμένα. καὶ τὸ ἀπορρέον ψῆγμα τοῦ χρυσίου.

Φ θονεῖς, ζηλοῖς, βασκαίνεις.

Φάλλα, ἄκρα τῆς Εὐβοίας. ¶ Φάλλη, ὁ πεποιημένη ψυχή. ¶ Φάλλικα, ᾠδὴ πεποιημένη εἰς τὸν Διόνυσον, τοῦ φαλλοῦ ᾀδομένου. ¶ Φαλλίκωμ, ὄρχημά τι, οἱ δὲ μέλος, ἄλλοι ᾠδὴν αὐτοσχέδιον ἐπὶ τῷ φαλλῷ ᾀδομένην. ¶ Φαλλός, λευκός, ἢ βόλος κατὰ τὸν φάλλον τὰ ἐμματῖον. ¶ Φαλόν, τὸ στερεὸν κύκλωμα τῆς στέρνης, οἱ δὲ τὸν μέτωπον. ¶ Φαλός, ὁ λόφος τῆς περικεφαλαίας, καὶ τετραφάλεια ὁ τέσσαρας κεφαλὰς ἔχουσα, ἔνιοι λευκὸς ἧλος, ἄλλοι ψιλός, ἄλλοι κωφός. ¶ Φαλύγματα, ὑγράσματα. ¶ Φαλύνει, λαμπρύνει.

Φαλύασεται, καταρρέουσι, περιάρχεται. ¶ Φαλωθεὶς, παραζαπείς. ¶ Φάμην, φήμην. ¶ Φαμάξεις, φήσεις. ¶ Φθιμένων. τετελευτηκότων. ¶ Φάμεθα, λέγομεν. ¶ Φάμενος, εἰπών. ¶ Φάμην, εἶπον.

Φάμμο, ἄλφιτα. ¶ Φαμμάστρια, τὰ ψαιστὰ καὶ ἑορτή τις. ¶ Φάμ, ὑπέλαβον λέγειν. ¶ Φάναι, εἰπεῖν.

Φαναῖος Ἀπόλλων. ἀχαιὸς ὁμοφυλή. παρὰ Χίοις οὕτω λέγεται. ¶ Φανᾶν, θέλειν. ¶ Φαίναοι, ἄρνες.

Φανάς, ἐκλάμψας, ὁ τὰς ἐκλάμψεις. ¶ Φανόν, τὸ φαινόμενον. φωτεινὸν καὶ λαμπρόν. ἀττικοὶ δὲ λύχνου χορὸν ἐκάλουν. ὃ ἡμεῖς νῦν φανόν. ¶ Φαίνοντα, λάμποντα. ¶ Φαντάζομαι, συκοφαντοῦμαι. ¶ Φαντάζου δόμῳ, φαίνου. ¶ Φαντάσας, δείξας. ¶ Φαντασία, τὸ μὴ ὂν ἀληθές, ἀλλὰ σχήματι. ¶ Φαίνῃ, εἰπόντι. ¶ Φαντίζοιμ, φαίνοιμ. ¶ Φαληρός, εἰπὼν ὅς, ἢ πλάτανος φανοτάτη, περιφανὴς λαμπρά.

Φανοτάτη, φωτεινοτάτη. ¶ Φαοσκὶς, ζυπίς. ¶ Φάος, φῶς, ὄρθρου ἀνατολή. ¶ Φάος ἠελίοιο, ἡ αὐγή.

Φάπιν, τὴν ταφήν. ¶ Φαραζαῖον, τὸ φάρξας τὸ κάλυμμα. ¶ Φάραγξ, τάφρος κοίλωμα. ¶ Φάραγξι, κοιλάσι. ¶ Φάρει, ὑφαίνειν. πλέκειν. ¶ Φαρκιδέκη, μυρίκη. ¶ Φάρασμα, φρασμός. ¶ Φαρέτρα, βελοθήκη. ¶ Φαρετρεὼν, τοξότης. ¶ Φάρη, ἱμάτια νεφέλαι. ¶ Φάρικον, φάρμακον σύνθετον θανάσιμον.

Φαρινόν, τὸ ἐξεροῦν. ¶ Φάρις, ὄνομα πόλεως. ¶ Φαρκάζει, κλέπτει. ¶ Φαρκιδούμενοι, συνάζοντες.

Φαρκὶς, ῥυτὶς ἡ ἐκ τοῦ γήρως γινομένη, ἢ ῥίζα πρὸς ῥυτίδας ποιοῦσα, ἢ σηλίς. ¶ Φαρκίδων, ῥυτίδων, ἢ πελιός.

Φάρκις, νεοσσοί. ¶ Φάρκτου, φυλακὴν σκεύαζε.

Φάρμακα, βοτάναι, χρώματα, καὶ πᾶσα πόα. ¶ Φαρμακεύεται, σκευάζεται, ἀρτύεται. ¶ Φαρμακίτης, ἀλδηφάτος. ¶ Φαρμακὶς, ἡ γυναικὸς φαρμακίδος, καὶ εἶδος φαρμάκου ἢ ἀκρίς. ¶ Φάρμακοι, καθαρτήριοι, οἱ καθαίροντες τὰς πόλεις. ἀνὴρ καὶ γυνή. ¶ Φαρμακὸς, ἡ χύτρα, ἣν ἡτοίμαζον τοῖς καθαίρουσι τὰς πόλεις.

Φάρμακον, ὁ ὑποστάθμη. ἄλλοι σύνθεσις ὃ κωλύουσι τὰ ἱερὰ τῶν ζώων. ¶ Φαρμακῶντες, τὰ βαφεῖα, διὰ τὸ τὰ βάμματα φάρμακα καλεῖσθαι. ¶ Φαρμάξαι, ὀξῦναι. βάψαι. ¶ Φαρμάξασα, ἀπαντήσασα. ¶ Φαρμάσσει, φαρμακεύεται, θεραπεύει, φαρμακεύει. ¶ Φαρμάσσων, βάπτων στομῶν, στομοποιῶν, φαρμακεύων. ¶ Φαρματτόμενος, κολακευόμενος, ἀλειφόμενος. ¶ Φάρος, ἱμάτιον, περιβόλαιον. ἀκρωτήριον. καὶ νῆσος ἐν Αἰγύπτῳ.

Φάρος στηλῶν, τὸ περιβόλαιον στηλῶν. ἢ τὸ ἄρμενον.

Φαροῦν, ἀροτριᾶν. ¶ Φάρσος, ζόφος, κλάσμα, περιδρύσιον ἀκρωτήριον. ¶ Φαρύγεθρον, ὁ κατὰ τὰ παρίσθμια

τόπος. ¶ Φαρυγγίδα, ἀντὶ τῆς γαστριμαργίαν.

Φάρυγξ, λάρυγξ, βρόγχος, στόμα. ¶ Φαρυμός, τολμηρός, θρασύς. ¶ Φαρβώ, ὁμοίως. ¶ Φαρύνει, λαμπρύνει. ¶ Φαρώσαι, ἀρόσαι, νεῶσαι, λαμπρυνθῆναι.

Φάς, εἰπών. ¶ Φάσκεις, συκοφάντει. ¶ Φάσγανον, ξίφος, παρὰ τὸ φάσαι ὅ ἐστιν ἀνελεῖν. ¶ Φασγάνεται, ξίφει ἀναιρεῖσθαι. ¶ Φασγανιῶσαν, ἐξιφισμένην.

Φασγανίων, ἐξιφισμένων. ¶ Φάσεις, ἐγκλήματα, συκοφαντίαι, ἢ ἐνυπνίων ὄψεις, λόγοι φῆμαι. ¶ Φάσθαι, λέγειν. ¶ Φασιανοί, ὄρνις ποιοί. οἱ δὲ, τοὺς ποντικοὺς φασίν. ¶ Φᾶσις. ποταμὸς Κόλχων. ¶ Φασκάδες, ὄρνεις ποιοί. ¶ Φασί, λέγουσι. ¶ Φάσκει, λέγει. ¶ Φάσκοντα, λέγοντα. ¶ Φάσκος, τὸ ἐπὶ τῶν δένδρων γινόμενον. ¶ Φασκώλιον, βαλλάντιον, φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται. ¶ Φάσκω, λέγω. ¶ Φάσμα, φάντασμα, σημεῖον, τέρας.

Φασοφόνῳ, παρὰ τὰς φάσσας φονεύοντι. ἔστι δὲ εἶδος τε ἱεράκος ὑπὸ τὴν ζυγόνα. ¶ Φάτε, εἴπατε. ¶ Φατέ, λέγετε. ¶ Φατίζει, λέγει, χωρίζει. ¶ Φατηρίς, εἶδος ὀρχήσεως. ¶ Φάτης, ψεύστης. ¶ Φάτις, φήμη, δόξα, λόγος, κληδών. ¶ Φάτνη, καὶ ἡ τράπεζα, ἡ τῶν κτηνῶν, ἔτι τῶν τοιούτων. ¶ Φατνώματα, τὰ σανιδώματα. ¶ Φατνωτοῦ, σανιδωτοῦ. ¶ Φάρ, εἶπε, ἐνόησε, ὑπέλαβεν. ¶ Φαρί, τεθνεῶτος, ζῶτοι.

Φαδὸς, ὁμοίως. ¶ Φαδὸν, τεθνηκὸς, ῥυτόν. ¶ Φαδὸς στοίβη, φήμη. ¶ Φάζαι, σύστημα. ¶ Φατρεία, σύνταγμα, σύστημα. ¶ Φάτρεια, τόπον ὑπαίθρον, ἐρείσιον φάνα. ¶ *Φατῶσαν, γνῶθι. ¶ Φαῦδαι, γένη σκυθώμ.

Φαίειν, ποιεῖν. ¶ Φαύζειν, φρύγειν. ¶ Φαῦλα, κακὰ, δόλια, εὐτελῆ. ¶ Φαυλία, εἶδος ἐλαίας, οἱ δὲ τὰς λευκάς. ¶ Φαύλια μῆλα τὰ μεγάλα. ¶ Φαυλῖον, ἀδρὸν καλόν. ¶ Φαυλίς, ὀρθός, Φαύλιος, ἰταλικὸς θεός.

Φαυλίστρια, ἡ καπηλεύουσα. ¶ Φαῦλον, ἀδρὸν καλόν. εὐτελές, μάταιον. μοχθηρὸν ἀραιόν. ¶ Φαῦλος, κακοδόλιος. χαλεπός. εὐτελής. ἁπλοῦς καταγέλαστος.

Φαύλως, ὁλοσχερῶς καὶ τὰ ὅμοια. ¶ Φαῦνος, Φαίνων ξυτόν. ¶ Φαυόμ, ἀκανθῶδες φυτόν. ¶ Φαυοφόροι, αἰολεῖς ἱέρειαι. ¶ Φαῦρος, κοῦφος.

Φαυσίγγες, αἱ ἐν ταῖς πτέρναις γινόμεναι ῥαγάδες. ἔνιοι τὰς ἀπὸ τοῦ πυρὸς ἐν ταῖς κνήμαις καὶ τοῖς σκέλεσι γινομένας φλυκταίνας. δηλοῦσι δὲ καὶ αὐγὰς καὶ ἀκτῖνας. ἄλλοι δὲ αἱμορροΐδας καὶ φλυκταίνας καὶ λαμπηδόνας. ¶ Φαῦσις, φῶς, φέγγος, φωταυγία.

Φαῦσμα, σπλάγχνα ἐκ σίτων πεποιημένα. καὶ αἱ ἀπαρχαὶ τῶν πεμμάτων. ¶ Φαῦσαμ τῶν εὐμόρφων. ἐγένετο* ἠρέσθην. ¶ Φέβεσθαι, φεύγειν. ¶ Φέβομαι, φεύγω, φοβοῦμαι. ¶ Φέβοντο, ἐφοβοῦντο, ἔφευγον.

Φεβεῖ. διώκει, φεύγει. ¶ Φεοψὶς, λαμπρὸν φαίνουσα.

Φέγγουσαν, λαμπρύνουσαν. ¶ Φέγγος, φῶς, ἡμέρας φέγγος, σελήνης. ¶ Φειά. πόλις Θεσσαλίας.

Φειδαλφιτοῦσαι, φειδωλὸν περὶ τὰ ἄλφιτα γενέσθαι.

Φείδεσθαι, ἐλεεῖν. ¶ Φειδικόμισος, ἡ δὴ μαρτύρων πίστις. ¶ Φειδὸς, φειδωλός. ¶ Φειδοῦς, φειδωλίας. ¶ Φειδῶ, τὸ φείδεσθαι. ¶ Φειδώλιον, λόφος σφέλας, χέρρος. ¶ Φειδωλός, φειδόμενος δαπανᾶν, σκυφός. ¶ Φεῖδωμ, ὄνομα κύριον.

Ὑψηλόν, μέγα. ¶ Ὑψηλῶς, ὑψηλῶς μεγάλως.

Ὑψηλαύχενες, ἵπποι, ἀπὸ τοῦ εἰς ὕψος ἔχειν τοὺς τραχήλους. οἱ δὲ ὑψαύχενες ὁ μεγαλόφρονοι. ¶ Ὑψι, μετέωρον, ἄνω ὑψηλοῦ. ¶ Ὑψιβάμονος, ἐν ὕψει βαίνοντος.

Ὑψίζυγος, ὑψηλὸν ἔχων τὴν καθέδραν. ¶ Ὑψι δ' ἐπ' εὐνάων ὡρμίσαμεν. μετέωρον αὐτὴν ἀπὸ τῶν ἀγκυρῶν ὡρμίσαμεν. ¶ Ὑψικέραυνος, ὁ διὰ πυρὸς πληγή.

Ὑψικόλωνον, τραχεῖαν ὑψηλόν. ¶ Ὑψίκομος. φοίνιξ, καὶ ὁ ἄνω τὰς τρίχας ἔχων. ¶ Ὑψιμέδων, ἐν ὕψει βασιλεύων. ¶ Ὑψι, μεῖζον, μετέωρον.

Τριττύς. μέρος φυλῆς. ¶ Τρίκυζα, πολλῆς διόμβρα λιτανείας. ¶ Τρικυμία, ζάλη. ¶ Τρίλλιστος, πολυλιτάνευτος. ¶ Τρίμηνοι, πυροί, οἱ καὶ σητάμηνοι λεγόμενοι. ¶ Τρίμιον, τὸ ἀσπάσητον ἱμάτιον.
Τριμίσκον ἱμάτιον ἀσπένδυτον. ¶ Τριταγωνιστὴς, ὁ τρίς ἀγωνιζόμενος. ¶ Τριμίτινα, ὑφάσματα τρίμιτα.
Τρεῖμε, φοβεῖταί με. ¶ Τρίμμα, ὁ ἄρσο

Τὸ προμηθὲς, τὸ προνοητικόν. ¶ Τὸ προσεχὲς, τὸ ἐγγύς. ¶ Τὸ πρῶτον, τὸ πρεσβύτερον. ¶ Τοσυργὶς ἐμπνευσμοῖς. ¶ Τὸ ῥᾶ, ὅπερ δή. ¶ Τόρβηλος, μεμψίμοιρος. ¶ Τόργιον, ὄρος ἐν Σικελίᾳ, ὅπου νεοττεύουσιν οἱ γῦπες, ἀφ' οὗ καὶ αὐτοὶ τόργοι.

Τόργος, εἶδος γυπὸς αἱμαρρόφου, ἔστι δὲ καὶ ὁ γὺψ παρὰ Σικελιώταις. ¶ Τορεῖν, τρῆσαι, ξῦσαι, τεμεῖν.

Τορελλῆ, ἐπιφώνημα θρηνητικὸν ἐν αὐλῷ θρακικῷ.

Τορκιμὸν, τὸ βαρὺ καὶ μισητόν. ¶ Τόρμα, εὐθὺς δρόμος κατὰ τέχνην καὶ ξοφὴ ἢ σύμπας. ¶ Τορμὶς ἡ δίαινα. ¶ Τόρμος, ἡ τρύμη τοῦ ξοχοῦ εἰς ὃν ὁ ἄξων. ¶ Τορνεύει, γλύφει. ¶ Τορνευταὶ, γλύπται.

Τόρνος, ἐργαλεῖον τεκτονικὸν ᾧ τὰ στρογγύλα σχήματα περιγράφεται. ¶ Τορνῶσαι, περιγράψαι κυκλῶσαι.

Τορνώσατο, τῷ κύκλῳ περιγράψας. ¶ Τορνῶμαι δὲ πρὸς μέτρον, ἀντὶ τοῦ περιγράφομαι. ¶ Τὸ ῥόθιον, τὸ κῦμα. ¶ Τορὸν, λιθικὸν σκεῦος ἢ μεγαλόφωνον.

Τορόνος, τόρνος παρὰ Ταραντίνοις. ¶ Τόρος, ἐργαλεῖον φρεωρυχικόν. καὶ εἰς ὃ ὁ στελεὸς ἐμβάλλεται.

Τορόν τι, ὀξύ. ¶ Τορῷ, ἐντελεῖ, ὀξεῖ, ἀκριβεῖ, ξανῷ ἰσχυρῷ μεγάλῳ. ¶ Τόῤῥα, ὅπερ δή.

Τόρτορα, τῶν κοραμίων περιμήκης πυθμήν.

Τορτυρόμενον, νιφόμενον. ¶ Τορύνη, στωλίς τι.

Τόσα καὶ τόσα, ἢ τοσαῦτα. ¶ Τὸ σέλας, ἡ ἔκλαμψις.

Τὸ σίνεσθαι, τὸ βλάπτεσθαι. ¶ Τὸ σκάφος, τὸ πλοῖον.

Τόσον, τοσοῦτον, τηλικοῦτον. λέγεται καὶ ἐπὶ θαυμασμοῦ. ¶ Τὸ σὸν μένος, τὴν σὴν ὀργήν.

Τοσοῦτον, ὅλον τοῦτο. ¶ Τὸ σταῖς, τὸ ἄλευρον.

Τόσῳ μᾶλλον, ὅσῳ πλέον. ¶ Τὸ τάχος, συντόμως.

Τότε μοι χάνοι εὐρεῖα χθὼν, εὐρὺ καὶ μέγα μοι χάσμα γῆς γένοιτο, ἵνα με δέξηται, ὅταν ἤδη ἀποθάνοιμι.

Τὸ τεῦχος, τὸ σκεῦος. ¶ Τὸ τηνικαῦτα, τὸ τότε.

Τὸ τί, διατί. ¶ Τοῦ, ἄρθρον προτακτικόν.

Τοῦ δὲ πολλοὶ ἀπὸ σπινθῆρες ἵενται, τοῦ καλουμένου κομήτου ἀστέρος. ¶ Τοῦμα, στόμα. ¶ Τοὐμοῦ, τοῦ ἐμοῦ.

Τουμεφαρὸς, φαιδρόν(?). ¶ Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο, τὴν τριακάδα λέγει. τὸν μῆνα ἔχειν φησὶν ἡμέρας εἰκοσιεννέα. ὥστε τὴν τριακάδα μέρος ἔχειν καὶ τοῦ παρῳχηκότος, καὶ τοῦ ἐπιόντος μηνός.

Τοὔμπαλιν, τὸ ἐναντίον, ἀνάπαλιν, ἔπειτα πάλιν.

Τοὔνεκα, τούτου χάριν τούτου ἕνεκεν. ¶ Τουνὶ, σὺ λάκωνες. ¶ Τοῦ παιδὸς ἀξιόλογον, τοῦ παιδὸς ἄξιον. ¶ Τοὔργον, τὸ ἔργον κατὰ συναίρεσιν τῶν φωνηέντων. ¶ Τοὔρθρον, τὸ ὄρθρον. ¶ Τοὺς, ἄρθρον προτακτικὸν, καὶ ἀντὶ τοῦ οἷς καὶ ἀντὶ τοῦ τούτοις.

Τουσοὶρ, φύσκη πλήρης κρημνῶν στέατος αἵματος.

Τοῖς ἐμβόλοις, τὰ ἔμβολα τῶν νεῶν καὶ ἐπὶ τῶν θηλειῶν. ¶ Τοῖς ἐν τέλει. τοῖς ἐν τιμῇ καὶ ἀρχῇ.

Τοὔσχατον, τὸ ἔσχατον καὶ μέγιστον.

Τουτάκις, τοσαυτάκις, ὅπερ ἐστίν.

Τουτὶ, τοῦτο. ¶ Τοῦτις, ὁ κόσσυφος.

Τοῦ πρὶν μὲν, ποτὲ μέν. ¶ Τοὔπιον, τὸ πρότερον καὶ ἔσχατον. ¶ Τοῦτο, ἐντεῦθεν λάκωνες.

Τοῦφος, τάφος. ¶ Τόφρα. ἐν τοσούτῳ. ἕως τούτου καὶ ἀνταποδοτικὸν τοῦ χρόνου, ἢ ἄχρι, ἢ ἕως, ἢ ἵνα.

Τόφρα δὲ, τηνικαῦτα δέ.

ραγαλέον διερρωγότα. ¶ Τραγᾶν, οὕτω τὸ ἀκαρπεῖν τινὰς τῶν γεωργικῶν. οἱ δὲ μᾶλλον νόσον καὶ τῆς φωνῆς τὸ πάθος. ¶ Τράγαι αἰολεῖς οὕτω λέγονται ἀπὸ λίμνης, ἣ καλεῖται τράγη. ¶ Τραγάσαι, οἱ ἅλες οἱ ἀπὸ Λέσβου. ¶ Τραγεῖον, πόας εἶδος.

Τράγη, πεπλησμένη, πεπηγυῖα, τραγηφόροι αἱ κόραι διονύσῳ ὀργιάζουσαι τραγῶν περιέπλουσι. ¶ Τραγίζειν, τὸ τραγᾶν τῇ φωνῇ τοὺς ἀκμάζοντας τῶν παίδων.

Τραγικὰ, τραγῳδῶν ᾄσματα. ¶ Τραγικὸν πάθος, μεστὸν συμφορᾶς. ¶ Τραγικὸς πίθηκος, παροιμία ἐπὶ τῶν παρ' ἀξίας σεμνυνομένων. ¶ Τραγισκοὶ, οἱ τὰ ἱερεῖα κλέπτοντες. ¶ Τραγοπώγων, πόας εἶδος.

Τράγοις, σατύροις, διὰ τὸ τράγων ὦτα ἔχειν. ¶ Τραγῳδεῖν, χορεύειν. ¶ Τραγῳδία, χορεία κωμῳδία.

Τραγῳδὸς, χορὸς τοὺς κωμῳδούς. μηχανᾶται. ¶ Τράλλεις, οὕτως ἐκαλοῦντο μισθοφόροι θρᾷκες τοῖς βασιλεῦσιν, οἱ τὰς φονικὰς χρείας πληροῦντες.

Τραλλὸν, πικρόν. ¶ Τράμις, τὸ ῥῆμα τῆς ἕδρας ὃ ὄρος τινὲς ἔντερον, οἱ δὲ ἰσχίον. ¶ Τράμπις, ναῦς ἄκατος, πορθμίς. τινὲς πλοῖα βαρβαρικά. ¶ Τρανὲς, σαφὲς, ἀληθές. ¶ Τρανίαν, αὐλὴν ἐν ᾗ διέμελλον.

Τρανιψοὶ, ἔθνος θράκιον. ¶ Τρανὸς, σαφὴς ἀληθής.

Τρανὸν, ἐξαμηνιαῖον πρόβατον. ¶ Τράπει, ἔτρεψε.

Τραπεζῆες, οἱ περὶ τὰς τραπέζας λιχνεύοντες. καὶ οἱ ἐπιτραπέζιοι καὶ οἰκουροὶ, λύσις ἐστὶ τοῦ σώματος συνεχείας κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης. ¶ Τραπεζίας, περὶ τῇ τραπέζῃ τρεφομένοις. ¶ Τραπέζιον, περὶ τοῖς γεωμέτραις, σχῆμα, τὸ τὰς μὲν δύο πλευρὰς ἀπεναντίας πρὸς ἀλλήλας ἔχον ἀνίσους, τὰς δὲ ταύτας ἐπιζευγνυούσας ἴσας. ¶ Τραπεζεὺς, παράσιτος ἄκλητος.

Τραπεζίτας, κολλυβιστὰς, χρηματιστὰς, δανειστάς.

Τραπεζοποιὸς, οὐχ ὁ μάγειρος, ἀλλ' ὁ ἐπὶ πάσης περὶ τὰ συμπόσια παρασκευῆς ἐπιμελούμενος.

Τραπεζὼ, ἱέρεια τις ἀθήνησιν. ¶ Τραπεζίτην πατέρα, τὸν παραβάντα τὴν τράπεζαν, καὶ ἀτιμάσαντα τὸν μενελάου. ¶ Τραπείομεν. τερφθῶμεν. ¶ Τραπελιζόμενος ἢ ἐκτραπελιζόμενος συνεχῶς ἀναστρεφόμενος.

Τραπέντα πάλιν, ἐνηλλαγμένως. ἢ παρηλλαγμένως.

Τραπέοντο, ἐπατοῦντο παρὰ τὸ τρόπον λαμβάνειν τὸν βότρυν πατηθέντα. ¶ Τραπέουσι, πατοῦσιν ἐπὶ τοῦ ληνοῦ. ¶ Τράπεκι, δόρατι. ¶ Τραπεῖν, ληνοπατεῖν. ¶ Τραπῆναι, στραφῆναι, πεισθῆναι.

Τραπηδὼς, ὁ οἶνος. ¶ Τραπημένοις, ξεπομένοις.

Τράποντο, εἰς φυγὴν ἐτράποντο. ¶ Τραπῶ, ἀπέλθω. ¶ Τραφερὸν, ξηρόν. ¶ Τρασιὰ, ὁ τῶν σύκων ψύκτρα(?) παρὰ τὸ ταρσεύειν, ἤγουν τόπος ἔνθα ξηραίνουσιν αὐτά. ¶ Τραχικὸν, θρηνητικὸν, λυπηρόν.

Τραυλίζει, ψελλίζει. ¶ Τραυλὸν, ἡδὺ λεπτόν.

Τραυλὸς, ψελλὸς, τὴν γλῶτταν βεβλαμμένος.

Τραῦμα, πληγὴ, ἕλκος, μώλωψ.

Τραυματίαι, σφαγαὶ τετρωμένοι. ¶ Τραύσκανον, ξηρὸν πᾶν, ὃ φρύγανον. ¶ Τραυσοὶ, ἔθνος σκυθικόν. οἱ τοὺς μὲν γεννωμένους ἀτιμάζουσι, τοὺς δὲ τελευ

λᾶθι, ὑπόμεινον. ¶Τλαιπαθὲς, ταλαίπωρε.
Τ λᾶς, ὑπομείνας, ὁ τοιοῦτος. ¶Τλασίφρονα
ὑπομονητικόν. ¶Τλῆθα, ὠρμία κυρίως οἱ.
Τ λήθυμος, ἰσχυροκάρδιος. ¶Τλήμων, ὑπομονητι
κός. ¶Τλημαθεῖν, ταλαιπωρεῖν. πονεῖν. ¶Τλη
μόνως, ἐλεεινῶς. ¶Τλῆναι, ὑπομεῖναι, τολμῆσαι,
παθεῖν. ¶Τληπάθειαι, ὑπομοναὶ, ταλαιπωρίαι.
Τ λησπαθὴς, ὑπομονητικός. ¶Τλῆσις, τόλμα θράσος.
Τ λησίπονος, τολμηρὸς, καρτερικός. ¶Τλῆτε, ὑπο
μείνατε. ¶Τλητικῶς, ὑπομονητικῶς. ¶Τλη
τῶν, ὑπομονητικῶν. ¶Τμάγεν, διεχωρίσθησαν.
διέστησαν, ἐτμήθησαν, ἐσχίσθησαν. ¶Τμάριον, ὄρος
ἀρκαδίας. ¶Τμάριος, ζεὺς ἐν δωδώνῃ.
Τ μήγας, γατόμος ἀροτήρ. ¶Τμῆγος ἀρότρο, βού
τμημα. ¶Τμήδην, τμητικῶς, τομῶς, ταχέως,
ἀποκεχωρισμένως. βέλτιον δὲ ὅσον ἐπιτεμεῖν καὶ οὐκ
εἰς βάθος ξῦσαι. τμήδην αὐχέν' ἐπῆλθεν.
Τ μηθῆναι, κοπῆναι. ¶Τμηθῆναι, κοπῆναι. ¶Τμῆ
ξαι, τεμεῖν λαβεῖν, ¶Τμῆξαι, τὰ αὐτά.
Τ μῆσις, τμῆμα. ¶Τμῶλος, ὄρος καὶ ποταμός.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Ο.

.. ὁ, τὸ ἄρθρον, οὐδέτερον προτακτικὸν, ἢ ὅ τό μὲν
Τ ἥμισυ οἰνοπέδιο. καὶ ἀντὶ τοῦ τοῦτο. τὸ μὲν οὐ ποτὲ
φύλλα καὶ ὄζους φύσει. ¶Τοάκης, χιτὼν χι
τός. ¶Τόβλικος, κρουματίου μίμησις. ¶Τόγε
εἶκον, ὅσον δυνατόν. ¶Τοπέρα, μοιχὸς, λαλαγός.
Τ ὁ δ' αὐτό. τὸ αὐτὸ δὲ ὁμοίως δέ. ¶Τὸ δεῖν, τὸ δέον.
Τ ὁ δῆιον, τὸ πολέμιον. ¶Τόδ' ἱκάνεις. ἐνθάδε ἥκεις.
Τ ὁ ἐνσώματον, τὸ μετὰ σώματος. ¶Τὸ ἠλύσιον, ὁ παρά
δεισος. ¶Τὸ ἦνυστρον, μέρος τῆς κοιλίας τῶν μηρυκω
μένων. ¶Τόθι, παρεστώς. ¶Τοί, οὔτοι. καὶ σύνδε
σμος παραπληρωματικός. ¶Τοῖα, τοιαῦτα, τοιάδε.
Τ οιγάρ, τοιγαροῦν σύνδεσμος. ¶Τοιγαροῦν, ὅθεν δὲ, ἢ
οὐκοῦν. ¶Τοιγάρτοι. καὶ τό, τοιγάρτοι. ¶Τοιδέγε
ἐκεῖνοι δὲ ἢ αὐτοί γε. ¶Τοιθορύκτεια, ἡ τοῖς δεσμοῖς
ποιοῦσα. ¶Τοιθορύσσειν, σείειν. ¶Τὸ ἱερὸν, τὸ θεῖον.
Τ οικέν, οἵ τινες ἄν. ¶Τοῖν, τί ποτε κρότου.
Τ οίνυν, λοιπόν. ¶Τοινισαφράσαι, ἀγγεῖλαι, εἰπεῖν.
Τ οῖο, τούτου ὁ αὐτοῦ. ¶Τοῖον, τοιοῦτον, οὕτως ἀπειρόν.
τοῦτον. τάσσεται δὲ ἐπὶ θαυμασμοῦ. ¶Τοιοῖς δὲ, τοιούτοις
δέ. ¶Τοὶ ῥα. οἵ τινες δέ. ¶Τοῖς, τούτοις.
Τ οίσι. τοῖς σοῖς, ἢ ἑαυτοῖς, ἢ ἐν τούτοις. ¶Τοῖς τῇδε,
τοῖς ἐνθάδε. ¶Τοῖς τυχοῦσι, τοῖς ἐντυγχάνουσι.
Τ οιχοδιφήτωρ, τοιχωρύχος. ¶Τοῖχος, τοῦ πλοίου ἡ
πλευρά. ¶Τοιχωρύχος, λῃστὴς κλέπτης. ¶Τοί
ως, ἰσχυρῶς, καλῶς, ἀκριβῶς. ¶Τοκάδες, ἔγκυοι.
Τ ὁ, κεῖν, δόκειν. ¶Τὸ κατὰ γαστρὸς ξίφος, θηρίδιον,
σκολοπένδρᾳ ὅμοιον. ¶Τοκέες, πατέρες. γονεῖς,
Τ οκεῦσι, γονεῦσιν, ἐγγόνοις. ¶Τοκέων, γονέων.
Τ όκος, γένεσις. ¶Τὸ κρήγυον, τὸ ἀληθές.
Τ ὁ κῦρος, ἡ ἐξουσία ἡ δεσποτεία. ¶Τόκα, τότε.
Τ ὁ λαιόν, τὸ ἀριστερόν. ¶Τολέπευσεν, εἰργάσατο.
Τ ολμήσω, καρτερήσω. ¶Τολμητίας, προπετὴς,
αὐθάδης, ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἐπιχειρῶν.

Τ όλυξ, αὐδήιον. ¶Τὸ λοβὸν, τὴν ἀρχὴν τοῦ ὠτός.
Τ ολύπαι, τὸ κατασκευάσον ἔριον. ¶Τολυπεύειν, τα
λαιπωρεῖν, μοχθεῖν στρέφειν, μηχανᾶσθαι, ἐργάζεσθαι.
Τ ολύπευμα, τὸ κατασκευασὸν ἔριον. ¶Τολυπεύσας,
κατορθώσας. ¶Τολύπευσεν, διεπράξατο.
Τ ολυπευτικώτατος, ἐργαστικώτατος, ἐπιτελεστικώτατος
Τ ολύπη, τὰ προφυράματα τῶν μαζῶν ἃ καὶ βόειακας
καλοῦσιν, καὶ ἀπαθήλιον σήμονος, ἢ σελήνης.
Τ όμαρος, τὸ ἐν δωδώνῃ ὄρος καὶ προφήτης καὶ ἱερεὺς καὶ
θύτης καὶ μάντις. ¶Τομεταξὺ, τηνικάδε.
Τ ὁ μελάνδρυον, τὸ μέσον τοῦ ξύλου διὰ τὸ εἶναι ἔνπυον τοῦτο
τὸ μέρος. ἄλλοι δὲ δασύλαντες τὸ μέλαν δρυὸς εἰς
δύο μέρη λόγου ἀποδεδώκασι τὸ μέλαν ἐπὶ δρυὸς μέρος
μέλαν εἶναι καὶ ἄσηπτον διαμένειν. ¶Τομεύουσι,
τέμνουσι. ¶Τομεὺς, τμήτης, ὅπου ὁ τέμνων.
Τ ομὴ, ἡ ῥίζα ὅθεν ἐτμήθη καὶ ἡ πληγὴ τοῦ ξίφους.
Τ ομία, τὰ ἀποτμήματα καὶ ἀκρωτηριάσματα τοῦ
νεκροῦ. οἱ δὲ τὰ ἱερὰ ἃ σφάζοντες ὀμνύουσιν.
Τ όμοι, τούτομοι. ¶Τόμος, χάρτης, ἢ ὁ τέμνων.
Τ όμουροι, προφῆται, ἱερεῖς. οἰωνοσκόποι, διάκονοι.
Τ ομώτερος, ὀξύτερος, δυνάμενος τέμνειν.
Τ όν, ἄρθρον ἀρσενικὸν προτακτικὸν ἐπ' ὠσιως αἰτιατι
κῆς, ἢ τοῦτον, ὁ ὄν τινα. ¶Τονάα, φωνὴ στάσις.
Τ ὸν ἀφ' ἱερᾶς. γραμμή τις ἐν τῇ παιδιᾷ τῶν πεσσῶν ἱε
ρὰ καλουμένη. ¶Τὸν δ' ἄρ, πρὸς τοῦτον δέ.
Τ ὸν θυντενῆ τὸν ὀρθόν. ¶Τονθορύζει, ἀτάκτως λαλεῖ
γογγύζει. ψιθυρίζει. καὶ τονθορίζει τὰ αὐτά.
Τ ονθρὺς, φωνή. ¶Τόνθων. παρὰ κρατῖνος εἶδος νωτιαίου
κρέως τὸ ὄνομα. ¶Τόνος, ἔντασις, ἰσχὺς ῥώμη
δύναμις. ¶Τόνοις, τὰς κεραίας, ἀπὸ τοῦ τετάσθαι.
Τ ὸν ὀπισθόταρον, τὸν ὀπίσω, τὸν τελευταῖον τὸν ἔσχα
τον. ¶Τὸν οὐδὸν, τὸν βατῆρα, ὀδόν ποιῶν.
Τ ὸν σά, τὸν δέ. ¶Τὸν σὸν, τὸν ἴδιον τέρμονα. τὸ τέλος
Τ όνυ γὰρ κατεάξαμεν, τοῦτο γὰρ τὸ δόρυ κατεάξαμεν.
Τ όνω, λίαν τέρατι. Τοξεύομαι, ἀποστρεῦμαι.
Τ οξεύοντι, τόξα ἔτεινον. ¶Τοξίου βουνὸς, τοῦ ἀπόλλω
νος, τοῦ ἐν σικυῶνι, βέλτιον δὲ ἀκούειν τὴν ἐν δελφοῖς
νάπην λεγομένην, ἐκεῖ γὰρ καὶ ὁ δράκων κατετοξεύθη.
καὶ ὁ ὀμφαλὸς ἐπὶ γῆς τάφος ἐστὶ τοῦ πύθωνος.
Τ όξον, κυρίως αὐτὸ τόξον, δηλοῖ δὲ καὶ τὴν τοξικὴν ἐμ
πειρίαν καὶ αὐτὰ τὰ βέλη. ¶Τοξοποιεῖν, τὰς ὀ
φρῦς συστρέφειν αὐτάς. ¶Τοξόται, οἱ δημόσιοι ὑπη
ρέται. ¶Τοξότα. λωβητὴρ δὲ τόξων λωβώμενε καὶ
βλάπτων ἀφ' οὗ τὸν δειλὸν λέγει. ¶Τοξότης, πο
λεμιστής. ¶Τόξου πῆχυν τὸ ὅλον τόξον κατὰ ἀπο
τάκτασιν τῆς νευρᾶς. ¶Τόοι, ὄφρ' αὐτοῦ.
Τ ὁ ὄντως, τὸ ἀληθῶς. ¶Τόσα μέμηλε, τοσαῦτα
φροντίζει. ¶Τὸ ὅσον ἐπ' ἐμοὶ, τὸ κατὰ δύναμιν τὴν
ἐμόν. ¶Τοπάζει, εἰκάζει, ἰδρύει, ὑποπτεύει, στοχά
ζεται, ἢ ζητάζει. ¶Τὸ παράπαν, παντελῶς.
Τ ὸ πάροιθεν, τὸ πρὸ τούτου. ¶Τὸ πρὸν ἐν πίθοισι. παροι
μία ἧς καὶ πλάτων ἐν γοργίᾳ μνημονεύει. ¶Τοπά
σαι. ὑπονοῆσαι, ὑπολαβεῖν. ¶Τοπαστέον, ὑπολη
πτέον, ὑπονοητέον. ¶Τὸ πολὺ, πλῆθος. ¶Το
πῖα, ὅπλα νεώς. σχοινία. τοπῖα, κάλοι.
Τ ὁ πρὸς ἀκτῖνα, τὸ πρὸς αἰαρλήν.

T ιέρη, τὸ ὀξὺ πέρσαι. ¶ Τιητεῖν, τιμωρεῖσθαι.
T ίθαι, τιθασσαί, τέλειαι, ἐξάρτιοι πραξεῖαι.
T ιθαιβώσσειν, βόσκειν. ἐργάζεσθαι, τρέφειν, ἐθάβειν, θησαυρίζειν, ἀκεπᾶν, θορυβεῖν, τιθέναι τὴν βάσιν, τουτέστι τὴν τροφήν. ¶ Τιθαιβώσσουσιν, ἕνα ταποτίθενται ἀπὸ θησαυρίζουσι τὴν τροφὴν αἱ μέλιτται τὸ λεγόμενον μελίκηρον. ¶ Τιθαιβώσσουσι, τιθέασι, φυλάσσουσι.
T ίθει, ἐνετίθει, ἐδίδου. ¶ Τιτθίον, μαστός. ¶ Τίθεσθα, ποιεῖς. ¶ Τιθέντες, ποιοῦντες. ¶ Τίθεντο, περιεσκευάζοντο. ¶ Τίθιον, ἰσόθεον. ¶ Τιθή, τροφός. ¶ Τιθήνας, τροφοὺς τίτθας. ¶ Τιθασσεύει, ἡμεροῖ, πραΰνει. ¶ Τιθηνεῖ. τρέφει, τιθηνεύεται ὅμοιον. ¶ Τιθηνούμενος, τρεφόμενος ἀσκῶν.
T ιθηνὸς, τροφὸς, μοσχοτρόφος. ἢ τὰ τιθηνούμενα τημελῶν παιδία, οἱ δὲ τὸν τιθηνὸν ἐράσμιον. ¶ Τιθέμενον, παρατιθέμενον, ὅ ἐστι καθοπλιζόμενον. ¶ Τιθωνοκόμον γένος, τοὺς αἰθίοπας ἐπεὶ μέλανες καὶ κομῶνται. ¶ Τιθηνούμενος, τρέφων. τιθηνὸς γὰρ ὁ τροφὸς, καὶ τιθηνοὶ οἱ μαστοί. ¶ Τίθησι, τιθεῖ. ¶ Τιθιᾶσθαι τιμᾶν. ¶ Τίθρασι. χαλεπὰ τραχέα. ¶ Τιθωνοκόμον, ἔθνος. μέλαν μὲν τὸ ὅλον σῶμα λευκὸν δὲ τὰς κόμας. ¶ Τί ἱκανὸν, τί ὄφελος. ¶ Τίκει, τί ἄν.
T ίκτειν καὶ ἐπὶ ἀρρένων, τίκτειν ἀνὴρ ἀνέστιον μυριάδ' δύναται. ¶ Τιλίαι, ἄγειροι. ¶ Τιλλά, πληρά.
T ίλλει, ἀνασπᾷ μέμφεται, διαβάλλει, ἀποκόπτει.
T ιλλομένη, λοιδορουμένη. ¶ Τίλμος, παιδιά.
T ίλρυ. εἶδος τειχίου. ¶ Τιμαδία, μικρὰ τιμή.
T ί μαθὼν. τί βουλόμενος. ¶ Τιμαλφεῖν, τιμᾶν.
T ιμαλφὴς, ἔντιμος, τιμὴν ἀλφάνουσα δι' ὑμᾶς ἀγαμένη ἰώνων φοίνικι δευτέρῳ. τινὲς μὲν τοῦ ἰώνιον. αἰσχύλος δὲ ἐν ἐπινικίοις ἐπὶ τοῦ ἐντίμου. ¶ Τιμαίωνα, τιμήματα. ¶ Τιμαλφέστατα, τιμιώτατα, πολύτιμα, ἢ ὁσιώτατα. ¶ *Τιμάναξ, ὁ πρωκτός. ὁ δὲ ἀυτὸς ὁ θεόδωρος. ¶ Τιμᾶσι, τισίν. ¶ Τιμάω, τιμήσω. ¶ Τιμὴ, δόξα. ποτὲ δὲ καὶ τιμωρία, ἢ αὐτὲ κτῆσις ἡ κυρία. ¶ Τί μέλλει, τί βραδύνει.
T ιμηλὲς, εὐλαβές. ¶ Τιμήεντος, ἐντίμου.
T ιμήορος, τιμωρός, βοηθός. ¶ Τιμηρύειν, τιμωρεῖν. ¶ Τιμῆς, τίσεως. ¶ Τιμήσεως, ζημίας.
T ιμηταὶ, οἱ τιμώμενοι τὴν ἑκάστου οὐσίαν. ¶ Τίμιος ἔντιμος ἔνδοξος. ¶ Τιμηουλκῶν, τιμὴν αἰτῶν, ἢ ἕλκων τὴν τιμήν. ¶ Τιμουλκῶν, αἰτῶν ἢ ἀπαιτῶν.
T ιμιοῦντας, τιμίους ὄντας. ¶ Τιμοῦχος, ἔντιμος, ἀξιόλογος, καὶ ἄρχων ἰσχυρότατος μέγιστος. ¶ Τιμῶμαι, καταδικάζω. ¶ Τιμώμενος, εὐθυνόμενος, καὶ ἐπιτίμιον ὑπέχων. οἱ δὲ ἐπιτιμία παρ' ὅσ.
T ιμωρεῖσθαι. κολάζεσθαι. ¶ Τιμωρία, πρόστιμον αὐτάποδοσις κόλασις, ἡ ζημία παρὰ λυσίᾳ. ¶ Τιμωροῦσι, κατα... ἐκδικοῦσιν. ¶ Τὶν, σοὶ ἢ τινά.
T ινακροπίλιξ, σεισολόφος. ¶ Τινθαλέω, περὶ διαθέρμου. ¶ Τινόλλεον, διάπυρον, διάφορον, διεφθαρμένην, διαφανές. ¶ Τίνειν, ἀποδοῦναι. ¶ Τίνυβίομαι, τί δὲ μέλλω βιοῦν ὅ ἐστι ζῆν. ¶ Τινύμενον ἀπαιτούμενον, ἀποδιδόμενον. ¶ Τίνυνται, τιμωροῦνται. ¶ Τινύσων, ἀποδιδῶν. ¶ Τινῦρ, ἀφθόν.
T ίξομ δίξον. ¶ Τιοίμην, τίμιος εἴην.

T ίοιτο, τιμηθείη. ¶ Τίον, μέσον ἡμέρας ἐτίμων.
T ί ὀνέσω, τί ὠφελήσω. ¶ Τίπτε, τί δή ποτε, ἢ κατὰ συγκοπὴν τί ποτε. ἢ διατί, ἢ ἵνατί. ¶ Τίπτε δέ σε χρεὼν, τίς δέ σε χρεία καταλαμβάνει.
T ίπτεμε, διατί με. ¶ Τί πράττεις, τί ποιεῖς.
T ίρεα, ἄστρα. ¶ Τί ῥέζεις, τί πράττεις. ¶ Τίρετη καταμολύνεται, κατατρίβεται. ¶ Τίριος, θύρσος κρύπτων. ¶ Τίρυνθα, πόλις ἐν ἄργει. ¶ Τιρύνθιον ἄργος τὰς μυκήνας. ¶ Τιρύνθιον πλίνθευμα, αὐτὸ τὸ τεῖχος ὑπὸ κυκλώπων δὲ κατεσκεύασται.
T ισάμενον, κατατινούμενον. ¶ Τίσασθαι, τιμωρίας λαβεῖν. ¶ Τίσατο, ἐτιμωρήσατο. ¶ Τίσαι, ἀποδοῦναι. ¶ Τίς γὰρ, τίς δή. ¶ Τίς δ' αὖ ποτε, τίς δέ σοι. ¶ Τίσι, ποίοις. ¶ Τίσουσι, τιμωρίαν δώσουσι.
T ίσις, ἀντέκτισις. ἀτιμία, ποινὴ, τιμωρία.
T ίσκεν, τίς ἄν. ¶ Τίσον. τίμησον. ¶ Τίσομαι, τιμωρήσομαι. ¶ Τίσουσι, τιμωρήσονται.
T ίς τρόπος, παροιμία ἐπὶ τῶν ἀλλοκότων.
T ίσω, ἀποδώσω, τιμήσω. ¶ Τίται, εὔποροι, ἢ κατήγοροι τῶν ἀρχόντων. ¶ Τιταινόμενος, τρέχων ἕλκων τεινόμενος. ¶ Τίταινον, ἕλκοντες, τείνοντες.
T ιταίνειν, σπεύδειν, τείνειν. κραδαίνειν, ἕλκειν, τίσιν λαμβάνειν, τιμωρεῖν. ¶ Τιταινομένῳ, ἐκτεταμένῳ. ¶ Τιτὰν, παιδεράστης, καὶ τὸ τοῦ αὐτοχθόνου ὄνομα. ¶ Τιτανίδα, τὴν εὔβοιαν πρότερον βριάρεως θυγατὴρ ἦν. ἔνιοι δὲ τὴν ἀσπὶς τοῦ φασί. ¶ Τιτᾶνες, τιμωροὶ ἀπὸ τοῦ τιταίνειν. ἄλλοι δὲ οἱ μὲν ἔχοντες ἀπὸ τίσαι ἀτίτανες ὠνομάζοντο, οἱ δὲ ἔχοντες τιτᾶνες.
T ιτανὶς, γῆ. ὅτι πᾶσα ἡ γῆ ὅ ἐστι ἀπὸ τῶν κατασχόντων.
T ίτανος, ὄρος θεσσαλίας. καὶ κονία ἄσβεστος. οἱ δὲ ἐπὶ γύψου χρίσμα. ¶ Τιτανωμένας, γεγυψωμένας.
T ιτανωτὴ, χρόα γυψωτή. ἢ λευκόχροος.
T ιταρήσιος, ποταμὸς ἠπείρου.
T ίταξ, ἔντιμος, ἢ δυνάστης. οἱ δὲ βασιλεύς.
T ιτᾶσθαι, στερίσκεσθαι. ¶ Τιταίνων, τείνων, πέμπων, ἕλκων. ¶ Τιτῆνες, οὐρανοῦ παῖδες.
T ιτῆναι, βασιλίδι, ἢ ἔκπορος λύτροις.
T ίτθαι, τροφοί. ¶ Τίτθην, τίκτειν. ¶ Τιτθίον
T ιτθὸ. τιτθὸς, μασὸς, ἢ τροφός. ¶ Τιτίει. τιμᾷ.
T ίρ, τίς λάκωνες. ¶ Τίτλος, πτυχίον ἐπίγραμμα ἔχων. ¶ Τιτόρμος, οὗτος αἰτωλὸς ἀνὴρ διαβεβοημένος ἐπὶ ἀνδρείᾳ καὶ μεγέθει. ¶ Τιτρᾶται, τρυπᾶται, διανοίγεται. ¶ Τιτοβίζει, ὡς χελιδὼν φωνεῖ. ¶ Τιτύπαι, αἱ ἐμπύλαι, αἱ πλάναι.
T ιτύρας, ὄρνις ποιὸς ὁ τιτυρώδης. ¶ Τίτυρος, σάτυρος, κάλαμος, ἢ ὄρνις. ¶ Τιτύρινος, μόναυλος, ἢ αὐλὸς καλάμινος. ¶ Τιτύσκετο, ἡτοιμάζετο, παρεσκευάζετο, κατεστοχάζετο. ¶ Τιτυσκόμενοι, ἐστοχασμένοι. στοχαζόμενοι. ¶ Τιτυσκόμενος, τὰ αὐτά. ¶ Τί ὑγιὲς, πῶς. ὁ ἄνειον, ἢ τινά.
T ί ὑμῖν διαφέρει, τί ὑμῖν μέλει. ¶ Τίφαι, αἱ ὀλύραι καὶ τίφεσιν ἐν τοῖς ἕλεσι. ¶ Τιφαίας, τὰς τῶν θηρῶν καταδύσεις. ¶ Τίφεια, ὄρνεα, τὰ ἐν τοῖς ἕλεσι γινόμενα. ¶ Τῖφος, ἕλος. ¶ Τῖφυς, ὁ ἐφιάλτης νεᾶλις καὶ ὁ τῆς ἀργοῦς κυβερνήτης.
T ί φῶ, τί εἴπω. ¶ Τειχίζομαι, σκέπομαι.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Η.

Η ἄρθρον προτακτικὸν θηλυκόν. καὶ ἀντὶ ὑπο-
Τ τακτικοῦ, ἡ λάβε. ἢ σὺ, ἢ ταύτῃ, ἢ σὴ, χωρὶς τοῦ
ι προστακτικὸν ἀνάλογον, δ', λάβε κύκλωψ.
τῇ πίε οἶνον, λάβε τῇ δέξαι. ¶Τῇ ἀδρότητι. τῇ
ὑψηλότητι. ¶Τῇ ἀλέθῃ. τῇ ἁμάξῃ. ¶Τῇ ἄλ-
λως, τῇ ματαίως. ¶Τήβεννος. εἶδος περιβολαίου
παρὰ ῥωμαίοις. ¶Τήβυθ, μεί πος μήν. ¶Τηγα-
νίτης, ἄρτος ὁ διὰ τηγάνου γινόμενος καὶ μετὰ τυροῦ ὀ-
πτώμενος. ¶Τῇδε, ὧδε. ἐνταῦθα. ¶Τηθαλλα-
δοῦς ἡ τηθαμμαδοῦς ὁ γυναικογραφῆς, ἄλλοι δὲ ὑπὸ
τίτθῃ γενόμενον καὶ τεθραμμένον. ἄλλοι δὲ μαμμό-
θρεπτον καὶ σπάταλον. ¶Τήθεα, ὄστρεα. ¶Τήθεα
διφῶν. τὰ ἄρρυνα, ἢ ὄστρεα ζητῶν. ¶Τήθη, τηθὶς,
ἡ τῆς μητρὸς καὶ πατρὸς ἡ καὶ μάμμη καὶ ἡ τῶν γονέων ἀ-
δελφή. ¶Τηθηνόν, ἐράσμιον. ¶Τήθυα, γενάγια
ἃ περιχόουσιν οἱ ποταμοὶ καὶ εἶδος ὀστρέων.
Τ ηθὺς ἡ γῆ. ¶Τῇ ῥινῷ ἴσχεν, ἐν τῇ βύρσῃ ἐπεχέετο, ὅ-
περ ἐν τῷ ὅπλῳ, ἢ ἐν τῇ βελόνῃ. ¶Τηκεδόνι, τη-
κομένου. τήκοντος. ¶Τήκει, φθείρει. δαπανᾷ, λε-
πτύνει. ¶Τηκεδών, φθίσις. τῆξις. ¶Τηκόμενος
φθειρόμενος, λεπτυνόμενος, δαπανώμενος. ¶Τηλαυ-
γὲς, τηλεσκόπον καθαρόν. ¶Τῆλε, μακράν.
πόῤῥω. ¶Τηλαύγημα, ἀρχὴ λαμπρά. ¶Τηλαυ-
γέστερος, λαμπρότερος. ¶Τηλαυγῶς, λαμπρῶς.
Τ ηλεδαποί, οἱ πόῤῥωθεν καὶ ἀπὸ τῆς ἄλλου δαπέδου. ξένος
ἀλλοδαπός. καὶ τηλεδαπὸς ὅμοιον. ¶Τηλεδὲ, μα-
κρὰν δέ. ¶Τηλεβόαι, οἱ τάφιοι. ¶Τηλεθάον,
θάλλον, ἀκμάζον εὐανθές. ¶Τηλεθόωσαν, θάλλου-
σαν, θάλλουσαν. ¶Τηλέθροον, ὀξύφωνον, μεγαλό-
φωνον. ¶Τηλεκλειτοὶ, πόῤῥω ἔνδοξοι. ¶Τηλε-
κλειτὰ, ἔνδοξα καὶ μέχρι πολλοῦ ἀκουόμενα.
Τ ηλεμάχῳ καὶ ἐμοὶ διαφωτίμεθα, πρός με καὶ τηλέμαχον
ἔστω ὁ λόγος. ¶Τηλέπυλον, μακρὰν ἀπ' ἀλλήλων
ἔχουσαν διεστώσας τὰς πύλας. διὰ τὸ τὴν μεγάλην
δηλοῖ, ἢ σύλοις πυλῶν. ¶Τηλεσκόπος, πόῤῥω ὁρῶν.
Τ ηλεφανὴς, μακρόθεν φαινομένη. ¶Τηλεφανὲς, φαι-
νόμενον μακρόθεν. ¶Τηλεφίδην, τηλέφου υἱόν.
Τ ηλέφιλον, φυτόν τι. τινὲς δὲ ἀείζωον ἄγριον.
Τ ηλία σηλία, ἐν ᾗ διαματτεται τὰ ἄλφιτα, ἢ περιφέ-
ρεια κοσκίνου. ¶Τήλιδε, οὕτως ἐκάλουν τὴν συ-
νηρμασμένην. ¶Τηλικαῦτα, τοιαῦτα. ¶Τηλί-
κος, τηλικοῦτος, ἢ νήπιος. ¶Τηλικώτερον,
πρεσβύτερον. πορρώτερον. ¶Τηλόθεν, πόῤῥωθεν,
Τ ηλόθεν, ὁμοίως. ¶Τήλουρον, πόῤῥω ἀφωρισμένην,
τινὲς μὲν ὡς πανοῦργον. τινὲς δὲ ὡς κηπουρὸν τὸν τέφρ[illegible]
Τ ηλουρὸς, μακρόθεν ἀπιθής. ¶Τηλυγέτην, μονογενῆ.
Τ ηλύγετος, ὁ τηλοῦ τῆς ἡλικίας τοῖς γονεῦσι γενόμενος ἢ
γῆρα παῖς μονογενής. ¶Τηλυγέτων ἀποικιῶν
τῶν μακρὰν ἀπεχουσῶν. ¶Τηλωπὸν, μακρόθεν
φαινόμενον. ¶Τημελεία, θεραπεία, ἐπιμέλεια.
Τ ημελὲς, ἐπιμελὲς, σπουδαῖον. ¶Τημελητὴς, ἐπι-
μελητής. ¶Τημελίσαι, θάλψαι, φιλοκαλῆσαι.
σπουδάσαι, καὶ τημελήσαντες καὶ τημελούμενοι ὁμοί-
ως. ¶Τήμβρον, ἀττικοὶ τήμβος τημέρα λέγουσιν.

Τ ῇ μῇ, τῇ ἐμῇ ἐπιθεῖ. ¶Τῆμος, τηνικαῦτα. τότε.
Τ ήν, ὅτε μὲν ἄρθρον προτακτικὸν θηλυκόν. τὴν πρὸ φοί-
νικα. ἀντὶ τοῦ ταύτην ἄλλως τὴν μάτην. ¶Τὴν
τήνδε ταύτην. ¶Τήνεβλος, ἐφύμνιον, ἀφ' οὗ ὁ νι-
κῶν τήνεβλος. ¶Τήνεβλα τὰ ἐφύμνια ᾀδόμενα
τοῖς νικῶσι. ¶Τὴν ἐπιδεξιάν. περιέφερον ἐν τοῖς
συμποσίοις ἐπὶ δεξιὰ δ' πάλαι κιθάραν, εἶτα μυῤῥί-
νην πρὸς τὴν ᾠδήν. ¶Τηνεσμὸς, νόσημα περὶ τὰ ἔν-
τερα. ¶Τὴν εὐπειστατον, τὴν εὔκολον.
Τ ήν, ἤτοι ἐκεῖνα, δὲ αἰχμαλόν. ¶Τήνως, ἕως παραντίνει.
Τ ηνία, ἐχῖνα, ἄλλοι δὲ τὴν στηθοδεσμίδα. ¶Τηνι-
κάδε, τότε δέ. ¶Τηνικαῦτα, πότε ἢ τότε.
Τ ὴν κύλικα, τὴν φιάλην, δ' ποτήριον, τὴν παῖδα τὴν
παρθένον. ¶Τὴν προσήκουσαν, τὴν ὀφειλομένην.
Τ ὴν φθιλόω, ὁ φυλάσσει. ¶Τῆξις, φθίσις. νόσος, παρὰ
δ' τήκεσθαι. ¶Τῇ ὀρέξει, τῇ ἐπιθυμίᾳ. ¶Τήπουσι,
λέβητα. τρισκελὲς χαλκίον. ¶Τῇ πρὸς ἀκτῖνα, τῇ
ἀνατολῇ. ¶Τί πτε δέ σε χρειώ; τίς δέ σε χρεία κα-
ταλαβεῖν. ¶Τηρεῖ, φυλάσσει, φρουρεῖ. ¶Τήρεια,
ὄρος τρωάδος. ¶Τηρίας, ποταμὸς σικελίας.
Τ ῇσί τε θαλάσσια ἔργα μέμηλε, ταῖς ἐν θαλάσσῃ κορώ-
ναις. προσημαίνουσι δὲ αὗται τοὺς χειμῶνας. ¶Τῆς
ἄλης, τῆς πλάνης. ¶Τῆς δεῦρο, τῆς παρούσης.
Τ ῆς δὲ φύσεως, ταύτης τῆς φύσεως. ¶Τῆς ὑποβρώσεως,
τῆς οὐρανίσκου. ¶Τητεῖ, σπανίζει. ¶Τῆτες, ἐν τῷ δε
τῷ ἔτει. οἱ δωριεῖς σατὲς φασίν. ὅθεν σητάνιοι πυ-
ροὺς τοὺς μὴ τελεσφοροῦντας ἀλλὰ πρὸ ὥρας θεριζο-
μένους. ¶Τήτη, ἀπορία, ἔνδεια, στέρησις.
Τ ητωμένη, στερημένη. ¶Τηύθη, μάμμη θεία.
Τ ητῶμαι, ἀληθῆ. ¶Τητωμένου, στερομένης.
Τ ητώμενον, στερισκόμενον. ¶Τηΰγετον, ὄρος.
Τ ηΰσιον, ματαίαν. σὺ δὲ τηΰσιαν ὁδὸν ἔλθῃς τινὲς ὀ-
ρεινήν, ἄλλοι βλαβεράν. ἢ περιβόητον. ¶Τηΰσιον, μά-
ταιον. ¶Τηχάλακτον, δίλωκος παρὰ ἐπαινέτῳ
ἐμβάμματι. ¶Τηχαλέθην, τὴν ἅμαξαν.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Ι.

Τιάρα, ἡ λεγομένη κυρβασία. ταύτῃ δὲ οἱ πέρσαι
Τ βασιλεῖς μόνοι ἐχρῶντο ὀρθῇ. οἱ δὲ στρατηγοὶ
ὑποκεκλιμένῃ. ἡρόδοτος δὲ ἕνα ἀῤῥενικῶς.
Τ ιάρας, λόφος τῆς περικεφαλαίας περιτιθέμενος κεφα-
λῇ καμελαύκιον. ¶Τιβεθὼν τιμώμενος.
Τ ιάσα, κρήνη ἐν λακεδαιμονίᾳ, τινὲς δὲ ποταμόν.
Τ ιβόηνον, φίλον. ¶Τιβολῖ, φοβεῖται. ¶Τίβλωος,
λέβης τρίπους. ¶Τιγάς, εἶδος ἀμπέλου.
Τ ίγγα, δίοκλῆς ἐν μελίτταις. ἡρακλέων δὲ οὐ δηλῶν
ὅτι βαρὺ δ' κινάβαρι λέγει. ¶Τιγόνιον ἢ τετ[ρ]ιγό-
νιον. εἶδος τι τεττίγων ἀριστοτέλης. ¶Τίγρις. ποτα-
μὸς περσῶν. καὶ ὁ τοῦ ποταμοῦ ῥοῖζος. καὶ ζῶον, παρὰ μὲν
ἰνδοῖς φοράδες, παρὰ δὲ ἄλλοις τίγρεις. ¶Τί δαί, τί
δὲ ἄλλο, ἢ τί γὰρ κρεῖττον, βοιωτοὶ δὲ ἐνθάδε. ἀττικοὶ,
διατί δή. ¶Τί δῆτα, διατί. ¶Τί δαὶ τοῦτο, διατί
σοι. ¶Τί δῆτ' αὖτε, τί ἔπειτα παραντίνει. ¶Τίει, τιμᾷ,
σέβεται. αἰδεῖται. ¶Τίεσκε μύθοις, ἐτίμα λόγοις.
Τ ίεσκεν, ἐτίμα. ¶Τίεσκον, ἐτίμων. ¶Τίεσθε, ἐτί-
μᾶτε. ¶Τίη, διατὶ, ἵνατί. ¶Τιήνη, ἡ βασίλισσα.

μένῳ, τιμωρουμένῳ. ¶ Τεθαμμένος. τὴν ψυχὴν τετιμωρημένος, ἐκπεπληγμένος, ἢ συγκεχυμένος.
Τ ἔτλα, ὑπομένων, ἀνέχου. ¶ Τέτλαθι, ὑπόμενον.
Τ ετληότι, ὑπομεμενηκότι. ¶ Τέτμης, εὕρῃς καταλάβῃς. ¶ Τέτορεν, ἔτρωσεν. ¶ Τετόρῃ, τρώσῃ.
Τ ετραβάμονος, τετράποδος. ¶ Τετραβαρῆ πλίνθων καὶ τέρματα ἀλκαῖος. ¶ Τετράγκων, ὄρτυγον πολεμικόν. ¶ Τετράγωνον, τεσσάρων ὀργυιῶν. γίνεται δὲ μέζον ἐκ τῶν σταδίων καὶ ἐν τῷ ἀρότρῳ τὸ κύρτωμα τοῦ ἰσοπλεύρου γίνεται, ἔνιοι γίνεται, τὸ ὀργυιαῖον μέζον. ¶ Τετραδάμονος, τετράποδος. ¶ Τετράδι μέν τ᾽ οἴκοι. τετράδι μὲν φασὶ γενέσθαι ἡρακλέα καὶ πρῶτον ἔνδοξον ὄντα ἀλλ᾽ ὡς πολλὰ πονῆσαι ἐστὶν ὧν ἡ παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων. ¶ Τετραδισταί. σύλλογος νέων συνήθων κατὰ τετράδα γινομένη. ¶ Τετράδιον, ὀρνεόν τι ἀλκαῖος. ¶ Τετράδυσιν, ἀνδύναι. ¶ Τετραέλικτον, ἄλμαν. ἤγουν τετριμμένην. ¶ Τετραελίκωπες, τέσσαρας ὀφθαλμοὺς ἔχουσαι ναῦς. ¶ Τετραέλιξ, τετράκις περιειλημμένος, ἢ πολυέλιξ, ἢ φυτόν τι. ¶ Τετραέτηρον. τετραετὲς ἢ τετράενον. ¶ Τετραθέλυμνον, τετράπτυχον, ἐκ τεσσάρων πτυχῶν τεθειμένον, ὃ δὲ ἐστι θέματα ἔχειν τέσσαρα ἐπάλληλα, ἐκ τεσσάρων δερμάτων συνεστός. ¶ Τετραῖον, ὀρνιθάριόν τι λακωνικόν.
Τ ετρακίνη. ἡ ἀγρία θρίδαξ. ¶ Τετράκολος, τετράπους.
Τ ετρακτὶς, πυθαγορικὸς ὅρκος. ἤγουν τῶν τεσσάρων στοιχείων σημαίνων. ¶ Τετράκωμος, μέλος τι ὀρχήσει πεποιημένον εἰς ἡρακλέα ἐπινίκιον, ἐκαλεῖτο δὲ τέσσαρες κῶμοι. ¶ Τετρεμαίνει. τρέμει, φοβεῖται.
Τ ετραμμένοι, ἀπεστραμμένοι πρὸς ἀοιδὴν τὰς ὄψεις ἔχουσαι. ¶ Τετρανθίας, τετράγωνος καὶ ἰσχυρός.
Τ ετράνδα, τετράγωνόν τι σχῆμα, δηλοῖ δὲ καὶ τοὺς τέσσαρας χαλκοῦς. ¶ Τετράζων, εἶδος χαλινοῦ.
Τ ετράοροι, τέσσαρες ἐπὶ τῆς τεθρίππου ὑποζευγνύμενοι.
Τ ετράρχαι, οἱ βασιλεῖς. ¶ Τέτρασι. τέσσαρσι.
Τ ετραστήρον, τὸν τετράμηνον. ¶ Τετραφάληρον, τέσσαρας φάλους ἔχουσαν. καὶ ἐξοχὰς, οἱ εἰσὶν ἧλοι λαμπροὶ περὶ τὸ μέτωπον τῆς περικεφαλαίας κατακρουόμενοι. ¶ Τετράφυον, τετραπέλαιστον.
Τ ετράφθω, ἀναχωρείτω. ¶ Τετραχίζειν. τὸ ἐπὶ τετάρτῳ μέρει ποιεῖν τι. ¶ Τετραχηλισμένα, τεφανερωμένα. ¶ Τέτραχμα, τετράδραχμα. ¶ Τετράψομαι, εἰς ἐκεῖνο τραπήσομαι. ¶ Τετράων, ὄρνις ποιός.
Τ έτριφεν. ἐξύπνισεν. ¶ Τετρῖναι, τρῖσαι. ¶ Τετρήχει τετάραχθαι, πεπύκνωτο, τετάρακτο. ἢ θορύβου πλήρης ἦν. ¶ Τεῦ τινός. ¶ Τετείχει, ἐτείχιζε.
Τ έτειχε, τείχει. ¶ Τετειχότας, τειχίζοντας.
Τ ετειχυῖα, τετειχισμένη, τειχίζουσα.
Τ ετειμμένη, πεπατημένη ὁδός. ¶ Τέτριμμος, τρίμμος.
Τ ετροπωμένους, νενικημένους. ¶ Τετρόφασιν, ἀπενοσφίσαντο. ¶ Τέτροφε, τέθεικε, πέφυκε, μετεωρίζεται.
Τ ετρικόσιοι, κεκοπιακόσι. Τετριμμένον, λεπτόν. καταπεπονημένον, διεφθαρμένον. ¶ Τετρυχωμένος. τετρυχωμένος διακεπονημένος ἐν κακοῖς.
Τ ετρῦσθαι, καταδεδαπανῆσθαι, καταπεπονῆσθαι.
Τ ετρυφάλεια, περικεφαλαία. ¶ Τετρυχωμένος, καταπεπονημένος. ¶ Τέτραλον, τετράιππον.

Τ ετρωμένη, πληγεῖσα. ¶ Τετρωμένος, πεπληγμένος.
Τ έτρωρον, τετράιππον ἅρμα. ¶ Τέττα, νεωτέρου πρὸς πρεσβύτερον τιμητικὴ προσφώνησις.
Τ έτταρα ξύλα, ἐπὶ τῆς οὐρᾶς οὕτω λέγουσιν ἀττικοί.
Τ έττιγος ἔθρανεν, ἢ τραχύτερος. τέττιξ γὰρ ὁ κρέξ τὰ πτερὰ ἐκτείνων. ¶ Τεττιγοφόροι, ἀττικοὶ ἀπὸ τοῦ ἐπὶ τῆς κεφαλῆς τριχῶν ἠρμημένων χρυσοῦς τέττιγας.
Τ έττιξ, ἔξω τῆς συνήθους ζώου παρὰ ἀττικοῖς οἱ τῶν μαγείρων ὑπηρέται. ξένοι οἱ δὲ ἐντόπιοι μαίσωνες.
Τ ετυγμένα, σύνθετα πεποιημένα. τεθεωρισμένα.
Τ ετύκοντο, ἡτοιμάζοντο.
Τ έτυκται, κατεσκεύασται.
Τ ετύλωται, ἐμπέφρακται. ¶ Τετυρωμένον. συγκείμενον ἀπὸ τοῦ πεπηγμένου γάλακτος. ¶ Τετύσκετο, κατεσκευάζετο. ¶ Τιτύσκων, ἐμφανίζων.
Τ ετύφωται, ἀπόλωλεν. ἐμπέπρησται. ἐμβεβρόντηται ἐπύρωθη. ¶ Τετυφῶσθαι, μεμηνέναι.
Τ ετύχηκε, τύχη πλατύχει. ¶ Τευτάμενοι. ὑστεροῦμενοι ἐνδεῶς ἔχοντες. ¶ Τευτάζοντες, πλανώμενοι.
Τ ευθίδες, σηπίαι, θρῖσσαι. ¶ Τευθὶς, τέμμα πλακουντῶδες, καὶ εἶδος ἰχθύος θαλαττίου.
Τ εύκροι, οἱ φρῶτες καὶ οἱ ποιηταί. ¶ Τεύκρον ἢ τουκτῆρα ποιητήν. ¶ Τευκτῆρος, ποιητοῦ.
Τ ευκτοῖς, κατασκευαστοῖς. ¶ Τευκτὸν, χειροποιητὸν ἢ κατασκευαστόν. ¶ Τευμᾶται, τεχνάζει τι μάταια.
Τ ευμὰς, ποταμὸς θηβαίων. ¶ Τευμησία, διὰ τὴν τευμησίας ἀλώπηκος, οἱ τὰ θηβαϊκὰ γεγραφότες ἱκανὰ εἰρήκασιν. ¶ Τευμησσὸς, ὄρος βοιωτίας.
Τ εῦξαι, ποιῆσαι κατασκευάσαι.
Τ εῦξαν. κατεσκεύασαν. ¶ Τεῦξε κατεσκεύασε.
Τ εῦξις, κατασκευή, ποίησις.
Τ ευξομένη, τεύξουσα. ¶ Τευξόμεθα, τύχωμεν.
Τ ευτάζει, σκευωρεῖ, ἡσυχάζει διατρίβει, ὁ δὲ φροντίζει.
Τ ετεύξεται, τεχνάζει, τέμνεται.
Τ ευτάζοντες. πλανώμενοι.
Τ ευτασμόν, στατηγίαν. ¶ Τευτᾶ, τεχνᾶται.
Τ εύχεα, ὅπλα οὐ μόνον τὰ πολεμικὰ, ἀλλὰ ἀπλῶς καὶ τὰ σκεύη καὶ τὰ χαλκευτικὰ ἐργαλεῖα, ἦλθε δὲ χαλκεὺς ὅπλ᾽ ἐν χερσὶν ἔχων χαλκήια πείρατα τέχνης. ¶ Τεῦχε, κατεσκεύασε. ¶ Τεύχει ποιεῖ, τεύχη ὅπλα. ¶ Τευχηστὰς, ὁπλίτας. ¶ Τεῦχος, βιβλίον ὅπλον, ἄγγος, σκεῦος. ¶ Τεύχοντες, κατασκευάζοντες. ¶ Τεῦκρος, ἀδελφὸς νόθος.
Τ εύχω, κατασκευάζω. ¶ Τεύχονται, στέλλονται, ὁπλίζονται. ¶ Τέφρα, σποδός. ¶ Τεφρὸν, σποδὸν, φαιὸν, πολιόν. ¶ Τέφρα, σποδός. κονία.
Τ έφρη καὶ τεφρὸν, ὁμοίως. ¶ Τεφρώσας, σποδώσας.
Τ εχνάζω, τεχνάζομαι. ¶ Τέχνη, ἐπιστήμη, ἢ δόλος καὶ ἀτεχνῶς ἀδόλως. ¶ Τεχνήματα. κατασκευάσματα. ¶ Τεχνήσομαι, ἐπινοήσω, τεχνάσομαι, τέχνης γὰρ οὐχ ἥμαρτες.
Τ έω, τίνι, ἢ τοῦ σοῦ δωρικῶς. τεῶ. ¶ Τέων δὲ, ποίων δὲ, ἢ τῶν σῶν δέ. ¶ Τεωρεῖς, δρασπετεῖται. κακοῦργοι, λησταί. ¶ Τέωρος, συκοφάντης, καὶ τὰ ὅμοια.
Τ έως, ἕως, μέχρι, ἢ πρὸς τὸ παρόν. ἢ ὅμως, ἢ τότε, ἢ ἐν τοιούτῳ. τηνικαῦτα, ἢ αὐτὶ τοῦ πρότερον.

Τ ελῶμεθα, ποιῶμεθα. ¶ Τέλωρ, πελώριον, μακρὸν μέγα. ¶ Τελώριος, μέγας πελώριος. ¶ Τέλθεσθαι, μεμψιμοιρεῖν ἐπικαλεῖν. ¶ Τέλθει, ῥύπτεται, ὀδυνᾶται, χολᾷ, ἢ πειθεῖ. ¶ Τεμένη, ναοὶ ἄλση, ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία. ¶ Τέμενος, πᾶς ὁ μεμερισμένος τόπος τινὶ εἰς τιμήν, ἢ ἱερὸν καὶ βωμός, ἢ ἀπονεμηθὲν θεῷ ἢ βασιλεῖ. ¶ Τεμενωρόν, τεμένους φύλακα. ¶ Τέμματα. στεφανώματα.

Τ έμνηξ. πόρρω. ¶ Τέμμειν, πείθειν, τιμᾶν.

Τ είθεσθαι, ἡγεῖσθαι. ¶ Τέμνοντα, ἀμέλγοντα.

Τ έμπη, τὰ σύνδενδρα χωρία. τινὲς δὲ τὰ στενὰ τῶν ὀρῶν

Τ εμπουροι, ἀρχὴ ἐπιμελουμένη τῆς τῶν γυναικῶν εὐκοσμίας. ¶ Τενάγη, κάθυγροι τόποι, ἢ ποταμὸς πηλός.

Τ εναγώδεσι, τόποις ἔνθα ὀλίγον ὕδωρ. ¶ Τέναγος νῆσος ξηρίας. ¶ Τένθαι, ζῶναι. ¶ Τένεα, κόρυζα.

Τ ένθαρος, κακοῦργος συκοφάντης. ¶ Τενθεῖ, ἐσθίει, ἢ λιχνεύει. τένθαι δὲ οἱ λίχνοι. ¶ Τενέδιος βέλος, ἀντὶ τοῦ τενέδιος πέλεκυς. παροιμία δὲ ἐστίν. ἐπὶ τῶν ἀποτόμως τι πραττόντων. ἔτι ἄρα τὸ πρᾶγμα τενεδίῳ πελέκει συνέκοψαν. ¶ Τενέδιος, ξυνήγορος ὁ ἀπότομος καὶ σκληρός. ¶ Τένεδος, πόλις τρωϊκὴ ἢ νῆσος.

Τ ενικοῦντι, ἐνοικοῦντι αἰολεῖς. ¶ Τένθαι, λωποδύται μοιχοί. ¶ Τενθρηδών, ζῷον τῶν ἐντόμων καὶ κηροφόρων, παραπλήσιον σφηκί. ἔνιοι ἀγρίαν μέλισσαν.

Τ ενθρήνιον, κηρίον. ¶ Τενθρηνιώδης, πολὺ καὶ κενὸν κηρίον, καὶ ἀραιόν. ¶ Τενθῖνοι, λίθοι πλατεῖς.

Τ ενίαι, ζῶναι, στέφανοι, ἢ δεσμοί, διαδήματα. ¶ Τένει, στένει, βρύχεται. ¶ Τέννος, στέφανος ἐλάινος ἐρίῳ πεπλεγμένος. ¶ Τένοντες, τὰ διατεταμένα νεῦρα ἀπὸ κεφαλῆς ἕως τῶν ποδῶν, καὶ ἡ συναφία τῶν νευρῶν

Τ ενοντοστεῖς. κατακοπεῖς ἀποκτενᾶς. ¶ Τένων, τὸ ἐν τῷ τραχήλῳ νεῦρον. ¶ Τέο, τίνος. ¶ Τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων. ¶ Τεοῖο, σοῦ. ¶ Τεόν, σόν.

Τ εοί, σοί. ¶ Τέορ, σοῦ κρεῖτος. ¶ Τεὸς φθόγγος, ἡ σὴ φωνή. ¶ Τεὶο σοῦ. ¶ Τεπλά, ἐπλά.

Τ έρα, τέρεα σημεῖα. ¶ Τεράτεσσι, σημείοις. τεράζει, τερατεύει. ¶ Τέραμνοι. στέγαι, σκιαί. σκηνώματα.

Τ έρχμνος, κοτύλη. ¶ Τερασκόποι, ὀνειροκρίται.

Τ εράστια, θαύματα, σημεῖα. ¶ Τεράστιοι, θεοί, ἐπὶ σημείων τεταγμένοι. ¶ Τερατεύεται, δολιεύεται.

Τ ερατευόμενον, δολιευόμενον. ψευδόμενον, ἢ σημεῖον ποιῶν. ¶ Τερατεῖαι, ψευδολογίαι. ¶ Τερετίσματα ἢ τερετίματα, ᾠδαὶ ἀπατηλαὶ ἢ χηλικαὶ ἢ μωρολογίαι ἠχημέναι. ¶ Τερατοσκόπος, μάντις, σημειωτικός.

Τ ερατουργεῖ, παράδοξα ποιεῖ. ἢ τέρατα ἐργάζεται.

Τ έρεν, ἁπαλόν. ¶ Τέρεμνα, οἰκήματα.

Τ έρεμνος, ἰσχυρὸς ἢ στέρεμνος. ¶ Τέρενα χρόα ἁπαλὸν χρῶτα. ¶ Τέρενα, ἁπαλά. ἁβρά.

Τ έρεφα. ὕφηναι. ¶ Τέρεσσαν, ἔφωσεν, ἐτόρνωσε.

Τ ερετίζοντα, λαλοῦντα ἐκ μεταφορᾶς τῆς χελιδόνος.

Τ ερετίσματα, ᾠδαὶ ἀπατηλαί. τὰ τῆς κιθάρας κρούματα καὶ τὰ τῶν τεττίγων ᾄσματα. ¶ Τερηδών, σκώληξ οἰκῶν ἐν ξύλῳ. ¶ Τέρθεται, ξηραίνεται καίεται. ¶ Τερθρεία, λογομαχία ἀπατηλή, φλυαρία. φλυναφία. ¶ Τερθρεύειν τηρεῖν. σκοπεῖν λιπαρεῖν.

Τ ερθρεύμασι, φλυαρίαις. ¶ Τερθρεύονται, ἀπατῶνται. ¶ Τέρθροι. οἱ εἰς τὸ κέρας τῆς ἱστίας ἑκατέρωθεν δεδεμένοι, ἐν οἷς τὸ ἄρμενον ἕλκουσι. ¶ Τέρθρον, ὁ λεπτόμενος ἀρτέμων, ἔνιοι δὲ τὸ ἄκρον τοῦ κέρως, καὶ στέγη οἰκίας, τινὲς δὲ τὸ ἔσχατον καὶ ὑψηλόν.

Τ ερθρωτής, ὅπου ὁ πρωρεὺς προορᾷ τὰ ἐν τῇ θαλάσσῃ.

Τ ερίκαρπον, μεγαλόκαρπον. ¶ Τερίμη, τάφρος.

Τ ερίνη, τετριμμένη, οἱ δὲ περιπαλή. ¶ Τερῖνος, τηρῶν, διάνοιαν λυπῶν. ¶ Τέρμα, σημεῖον. τέλος ζωῆς, καμπτήρ. ἔσχατον. ¶ Τερματίζει, τελειοῖ, ὁρίζει.

Τ ερμάτων, τελευταίων. ¶ Τερμέρεια κακά, τὰ μεγάλα. ¶ Τέρμιοι, ἄσκοι. ¶ Τέρμινθος, φυτὸν ἐμφερὲς τῷ λίνῳ δὲ οὗ πλέκουσιν ἀθηναῖοι παροιμίας. ¶ Τερμιόεντα, ποδήρη καὶ ἔνμετρον. τὸν μέχρι τῶν ποδῶν τερματιζόμενον. ¶ Τερμιόεσσα ἐν ποδὶ ἀποτερματιζομένη. ¶ Τερμιόεν, ἁρμοστὸν τέλειον.

Τ έρμιον, ἔσχατον, ἁρμόζον πρέπον. ¶ Τέρμις, πούς.

Τ έρμονα, φραγμὸν τέλος. ¶ Τέρμονες, τέλη. φραγμοὶ ὅρια, πέρματα. ¶ Τέρνακα, τὸν κάκτου τοῦ φυτοῦ καυλόν. ¶ Τερπιάδης, τερπίου υἱὸς ὁ φήμιος, πατρωνυμικός. ¶ Τέρπεται, ἥδεται. ¶ Τερπικέραυνος, ὁ τερπόμενος ἢ τέρπων πᾶσι κεραυνοῖς. ¶ Τερπνά, ἡδέα. ¶ Τερπωλή, τέρψις. ¶ Τερπωλῆς τέρψεως.

Τ ερπώμεθα, τρεπώμεθα. ¶ Τέρρασον, ἔσχατον. ἡδὺ τερπνόν. ¶ Τέρρηδών, τελήρης. ¶ Τέρσεται, ξηραίνεται ὑπὸ ἡλίου. ¶ Τερσαίνειν, ξηραίνειν.

Τ έρσαι, τέρσει ξηραίνει, καίεται, οἱ δὲ πίπτονται.

Τ έρτα, ἢ τρίτα. ¶ Τέρυ, ἀσθενὲς λεπτόν.

Τ έρυας, ἵπποις. οὕτω λέγονται ὅσοι ἀδηφάγοι εἰσίν, ἔνιοι τοὺς ἀσθενεῖς. ¶ Τερύνης, τετριμμένος ὄνος καὶ γέρων, ἢ δυσκατάληπτος γέρων. ¶ Τερίσκετο, νοσεῖ φωνῇ. ¶ Τερύσκετο, ἐτείρετο. ¶ Τέρφη, λέπυρα.

Τ έρχνεα, φυτὰ νέα, ἢ ἐντάφια. ¶ Τερψιμβρότου, τοῦ τοὺς ἀνθρώπους ἤγουν τοὺς βροτοὺς τέρποντος.

Τ έρψις. τερπνότης. ¶ Τέρψωμαι, τερφθῶ.

Τ εσίχον τὸ μικρόν. ¶ Τεστηλῶσι τετύμβευσε. στήλη ἐν τῷ τάφῳ. ¶ Τέτα, λίαν κάρτα. ¶ Τεταγών, διατείνας τινάξας. ¶ Τετακώς, τεθλιμμένος.

Τ εταμένον. ἡπλωμένον. ¶ Τέτανος, κονία χρῖσμα, ἄσβεστος. ¶ Τετάνυστο, ἐκτέτατο, ἐπίκειτο. ¶ Τεταργανωμέναι ἐμπεπλεσμέναι. ¶ Τετάργησο, ἐκορέσθη, ἐκπλήσθη. ¶ Τετάρη, φασιανῶν εἶδος. ¶ Τεταρπίσθαι, ἐμπλησθῆναι. τερφθῆναι. τετάρπετο, ἐτέρπετο.

Τ αρπώμεθα. ἐμπλησθῶμεν. ¶ Τεταρτημόριον, οἱ δύο χαλκοῖ. ¶ Τετάρτῳ, μέτρῳ τῶν ὑγρῶν.

Τ έταρτον ἥμισυ, τὸ τέταρτον ἡμισάτηρον. ¶ Τέτακται, τέτυκται. ¶ Τέταγας, ἐτύπωσας ἔταξας ἐτύφωσας.

Τ εὴν κεφαλήν. τὴν σήν. ¶ Τετέλεσται, γίγνεται, οἱ δὲ γεγάμηκεν. ¶ Τερέβινθος, πόλις ἰώβ.

Τ ετελεσμένον. τὸ οἷον πρᾶγμα τελεσθῆναι ἤτοι πληρωθῆναι, ἢ τὸ μεμιασμένον. ¶ Τετελεσμένος, τελισκόμενος ἀνδρόγυνος. ¶ Τέτευκται, κατεσκεύασται.

Τ ετεύξεται, κατασκευασθήσεται γενήσεται. ¶ Τετευχῆσθαι, καθωπλίσθαι. ¶ Τετιηότι, λυπουμένῳ, ὀργιζομένῳ. ¶ Τετύφωται, ἐκπέπληκται, ἐκπλήττεται. ¶ Τετιμημένοι, τετιμωρημένοι. ¶ Τετιηκότες, ὁμοίως λελυπημένοι. ¶ Τετιηότι, λυπου

λακὼν, ἐπὶ τῶν ἐν πόλων ἐργασίας. ¶ Τάπις, προσκεφάλαιον. ¶ Τά, πλ. ἄ. τινά. ¶ Τάπησι, ποικίλοις στρώμασιν. ¶ Τὰ πρόσω, τὰ ἔμπροσθεν.

Τὰ πρῶτα, ἀντὶ τοῦ ἅπαξ, ὃ δὲ πρῶτον καὶ ἐξ ἀρχῆς.

Τάρ, σύνδεσμος. δέ, δή, ἄρα καὶ διὰ ταχέως.

Τάρα, ἄ ἵνα δή. ¶ Ταρβήσαντες, φοβηθέντες δειλαβηθέντες. ¶ Ταρακῖναι, ἔθνος ἢ πόλις.

Τάρανδος. ζῶον ἐλάφῳ παραπλήσιον· οὗ τὰς δορὰς εἰς χιτῶνας χρῶνται σκύθαι. ¶ Ταραντῖναι, αἵματι βαφαί, τινὲς δὲ τὰς πορφυρᾶς. ἐσθῆμοι γὰρ καὶ ἐξ αὐτῶν ξαχίλια. ¶ Ταραντῖνοι, ἱππεῖς τινὲς ὀνομάζονται. οἱ δὲ μὴ ἀκοντιστὰς, ὁ δὲ ὑψολοὺς ἱππεῖς ὡς καὶ ἵππαρχος. ¶ Ταραντινὸν, ἱμάτιον γυναικεῖον λεπτὸν κροσσωτὸν ἔχον ἐκ τοῦ ἑνὸς μέρους. ¶ Ταράξιππος, οὕτως ὑπ' ἐνίων ὁ πέλοψ ἱστορεῖται οὗ τάφος ἐν ὀλυμπίᾳ. ¶ Τ' ἄρα οἱ, ἄ δὲ αὐτῷ. ¶ Τάρα, τὰ ἄλλα. καὶ τὰ ἄλλα δή. ¶ Τάρας, πόλις ἰταλίας, ἀπὸ τάραντος τοῦ ποσειδῶνος. ἐστὶ δὲ λακώνων ἄποικος.

Ταρβέει, φοβεῖται. ¶ Τάρβει, φοβοῦ. ¶ Τάρβησκεν, εὐλαβήθησκεν. Ταρβαλέον, δεινὸν, φοβερόν.

Τάρβος, φόβος. ¶ Ταργαίνην, ταράσσειν. ¶ Ταργάναι, πλοκαὶ, συνδέσεις, πέδαι. ¶ Τάργανον, ὄξος. λυδοὶ, ὁ δὲ παρ' ἄττον. ὁ δὲ ἀπὸ στεμφύλων πόμα καὶ πόα, ἢ ἡ σκορπίουρος. ¶ Ταρίφη, κόφινος μέγας. οἱ δὲ νεκροφορικὸν ἀγγεῖον. ¶ Τεθμὸς, νόμος. ¶ Τεθέεια ἀεξιμαρία πολλά. ¶ Τεθολωμένον, μεμιασμένον.

Τεθαλὼς. ἀνάπλεως, ἀμελείας. ¶ Τεθηγμένον, ὀξυμμένον καὶ ἐθήγωσε, ὄξυνα. ¶ Τεθράνευμαι, συγκέκλασμαι ἀπὸ τοῦ θραύω. ¶ Τέθραπται, τέτραπται. ¶ Τεθορεῖν, διαπηδῆσαι. ¶ Τεθρᾶσθαι, ὀχλεῖσθαι. ¶ Τεθραυσμένος πεπληγμένος. ¶ Τετρωλόαν, πρωρεύς.

Τεθριππόβατον, ὁ στολωτὴς ὁρμὸς τοῦ ἅρματος. ¶ Τέθριππον, τετράϊππον ἅρμα. ¶ Τεθυλλιασμένον, τεταραγμένον ἀπὸ τοῦ θυέλλης. ¶ Τεθυμένον, τὸ κεκαυμένον ὑπὸ πυρός. ¶ Τεθυκὼς, [illegible].

Ταριχεύουσι, τήκουσι. ¶ Ταριχευθὲν, τακὲν, ξηρόν.

Ταρκούει, ἀκούει. ¶ Ταρμύξασθαι, φοβηθῆναι.

Ταρνὸν, κολοβὸν κολοβόουρον. ¶ Τάρνη, πόλις ἐν λοκρίᾳ. οἱ δὲ ἐν μυσίᾳ ὅθεν ἦν ἑρμείας ὁ ἀριστοτέλους τοῦ φιλοσόφου γνώριμος. ¶ Τάρπη, συρακούσιοι. σύκως τινὲς σαρόν. ¶ Ταρφὸν, ταχύ. ¶ Τάρπημεν, ἐκορέσθημεν. ¶ Ταρπημένα, τερφθηνά, τερπνά.

Ταρπῶμεν, τέρψιν ἐλάβομεν. ¶ Τάρροθοι, παρορμῶνται βοηθοί. ¶ Τάρροθος, βοηθὸς, ἀρωγός. ¶ Ταρροὶ, τὰ ἀγγεῖα τῶν τυρῶν. ¶ Ταρρὸς, κώπη καὶ πλέγμα καλάμινον ἐφ' οὗ τοὺς τυροὺς ξηραίνουσιν, ἔνιοι ταρσοὺς κρεμαστοὺς, καὶ λίθος ὁ κάτω τιθέμενος ἐν τῷ ὑπὸ τῷ ἐμβοῖς μεταχλεῦσιν. ¶ Ταρσοῦται, ἀγγεῖα ἐν οἷς οἱ τυροὶ ψύχονται. ¶ Ταρσίην, τὴν ταρσίαν.

Ταρσοῖς, πλάτεσιν ἄκροις. ¶ Ταρσοὶ, πόλις συρίας, καὶ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν. καὶ τὸ ἐπάνω τοῦ πέλματος, καὶ τῆς κώπης τὸ ἄκρον. ¶ Ταρσοὶ καλάμων. πλέγματα καλάμων. ¶ Τάρταρος, ὁ ὑπὸ τὴν γῆν κατώτατος τόπος. ¶ *Ταρτημόριον, τὸ τριτημόριον, ὁ δὲ δίχαλκον. ¶ Ταρτησσίους, γαλέους.

Ταρτησσὸς, πόλις περὶ τὰς ἡρακλέους στήλας.

Ταρφέα, συνεχῆ, ξηρά, ὀξέα, τραχέα. ταρφέσι πυκνοῖς.

Ταρφεῖς, θεωροί, θαυμαστοί. ¶ Τάρφη, πόλις λοκρίδος, οἱ δὲ ἀπὸ τοῦ τέφρα, ἢ βλαστός. ¶ Ταρφίοντα, ἐντάφια, τεφρώδη. ¶ Ταρφηδὸν, κτενιστὶ, ἀγχιστεῖς.

Ταρφίαι, πυκναὶ, συνεχεῖς. ¶ Ταρφήϊα, ἐντάφια.

Τάρφθεν. ἐτέρφθησαν. ¶ Ταρφθήμεναι, τερφθῆναι.

Ταρφὺ, στάχυς. ¶ Τάρχη. τάραξις. ¶ Ταρχάνιον, ἐντάφιον. ¶ Τέρχανον, πένθος. κῆδος. ¶ Ταρχύειν. θάπτειν, ἐνταφιάζειν. ¶ Ταρχύσαι. θάψαι, ἐνταφιάσαι. ¶ Ταρχύσουσι, τὰ αὐτά. ¶ Τάσις, ὤθησις, σεισμός. ¶ Τᾶς οὐ πλατᾶς ἐπὶ οὐχ ὑπομονητῆς. ¶ Τᾶς οὐ φορτᾶς, τῆς οὐ φορητῆς. ¶ Τὰς σφετέρας, τὰς αὐτῶν. ¶ Τὰ στίχη, τὰς στίχας.

Τὰ στίγματα, τὰ παθήματα, τὰ ἕλκη. ¶ Τὰς ὠτειλὰς, τὰ τραύματα. ¶ Τάτ' ἐόντα, τὰ νῦν ὄντα.

Τᾶτες, κατ' ἔτος. ¶ Τάτ' ἐσσόμενα, τάτε μέλλοντα.

Τατύρας, ὁ φασιανὸς ὄρνις. ¶ Τατώμενα, στερούμενα.

Ταυλήτοις, πύλαις ταῖς μεγάλαις. ¶ Ταυληρόντα, ἱμάντα. ὀσακλέων. ¶ Ταυρέειον, ἐκ ταυρείου δέρματος κατεσκευασμένην περικεφαλαίαν.

Ταυρεῖον πῶμα, ἀπὸ αἰγετταύρου ποταμοῦ σοφοκλῆς φοίζηνα πέρα καὶ κτήνη ὕδεοσα. ¶ Ταυρεία, ἑορτή τις ἀγομένη ποσειδῶνος. ¶ Ταυρειοδᾶ, κεφαλὴ, ἢ παιδιὰ παρὰ ταραντίνοις. ¶ Ταῦροι, οἱ παρὰ ἐφεσίοις οἰνοχόοι, καὶ οἱ τέλειοι βόες. ¶ Ταυροπόλια, ἃ εἰς ἑορτὴν ἄγουσιν ἀρτέμιδι. ¶ Ταυροπόλαι, ἡ ἄρτεμις καὶ ἡ ἀθηνᾶ. ¶ Ταῦρος, ταύρειος, ὁ ποσειδῶν. φανόδημος δὲ τὰς κειθὰς προσαγορεύεσθαι ταῦρον, ὅτι κέρας ἔχουσιν. ἄλλοι δὲ τὴν παιδεραστίαν καὶ τὴν γυναικεῖον. ¶ Ταυροφάγος, ὁ διόνυσος.

Ταυροφθόγγοι, παραπλήσια βουσὶ φθεγγόμενοι.

Ταυροχολία. ἑορτὴ ἐν κυζίκῳ. ¶ Ταυρὼ, ἡ ἐν ταύροις ἄρτεμις. ¶ Ταύρωσον, ταῦρον ποίησον.

Ταῦς, μέγας πολύς. ¶ Ταύσας. μεγαλύνας πλεονάσας. ¶ Ταύσιμον, μάταιον. ¶ Ταυτὰ, τὰ ἴσα τὰ ὅμοια. ¶ Ταύτασος, ὄρνις ποιός.

Ταυτέας, αὐλὰς μεγάλας. ¶ Ταύτῃ, οὕτως. τούτῳ τῷ τρόπῳ. ¶ Ταυτὶ, ταῦτα ἢ αὐτά.

Ταυτὶ. ταῦτα, ἀπὸ ὁμοιότητος. ¶ Ταύτῃ δεῖ, οὕτω δή.

Ταυτὸ πέπονθε, τὸ αὐτό. ¶ Ταυτοέπεια, ταυτολογία. ¶ Ταυτοεπεῖν, τὸ αὐτὸ λέγειν.

Ταυτότητος, ἀπαραλλάκτου καὶ φυσικῆς κοινωνίας.

Ταφεῖς, θεωροί, θαυμαστοὶ ἢ οἱ νεκροτάφοι.

Ταφεὶς, θεωρὸς καὶ τὰ ὅμοια. ¶ Ταφηδὸν, κτενιστὶ, ἀγχιστεῖς. ¶ Ταφήϊα, ἐντάφια. εἰς ταφὴν εὔθετα ἱμάτια. ¶ Τάφιοι, οἱ τηλεβόαι λεγόμενοι, οἱ τὰς ἐχινάδας νήσους κατοικοῦντες.

Τάφος, τὸ γινόμενον περὶ δεῖπνον ἐπὶ τῇ τῶν κατοιχομένων τιμῇ, ἢ τύμβος ἢ σημεῖον. ¶ Τάφρος, ἐπὶ μῆκος ὄρυγμα ἔξωθεν τοῦ τείχους γινόμενον πρὸς ἔκπληξιν πολεμίων. ¶ Ταφρεῦσαι, διορύξαι.

Ταφὼν ἐκπλαγεὶς, θαμβληθεῖς. ¶ Τάχα, ταχέως, ὡς σάφα σαφῶς. ἢ ἴσως. καὶ ταχεῖα ὁμοίως.

Ταχινοί. γοργοί. ¶ Ταχὺ. βοή. ¶ Ταχίνας, λαγωὸς καὶ ἔλαφος. ¶ Τάχιστα, γοργὸν, ταχύ. λεπτόμ

Ταχυβάμονας ὄρκους, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ

Τ αινιοῦντες, κοσμοῦντες. δεσμοῦντες. στεφανοῦντες.
Τ ακέρατα, τὰ ἄκρα. ¶ Τακερὸν, τηκτὸν, οἰκτρόν.
Τ ακτικοῖς, στρατιωτικοῖς, πολεμικοῖς. ¶ Τακτὸν,
ὁμοίως. ¶ Τακτοπώλου, τὰ τῶν μαγείρων ξηρὰ ἀρ
τύματα διὰ τὸ ἐνταῦθα καὶ τὸ νίτρον πωλεῖσθαι.
Τ ακῶνες, ζωμίσκοι σίτου κεκομμένου μετ' ἀλῶν καὶ
ξηρῶν καὶ ἀρτυμάτων. ¶ Τάλα, μέγα. ¶ Ταλα
εργοί, οἱ ὑπομένοντες τὰ ἔργα τλητικοί, ταλαίπω
ροι, δυσπαθεῖς. ¶ Ταλαεργὸν, τὰ αὐτά.
Τ αλαίνης, ἀθλίας, ταλαιπώρου. ¶ Ταλαιπωρία,
μοχθηρία. ¶ Ταλαίπωρος, ἐπίπονος, τλητικός.
Τ αλακάρδιος, τλητικὸς ὑπομονητικὸς κατὰ τὴν καρ
δίαν. ¶ Ταλαίφρων, καρτερικός. ¶ Ταλανί
ζει, θρηνεῖ. ¶ Τάλαντα, ζυγὰ σταθμοί. ¶ Τάλαν
τον, λίτραι ἑκατὸν εἰκοσιπέντε κατὰ τὸν μέγαν ἐπι
φάνιον. ¶ Ταλαντέων, μεδίμνων ἢ σταθμίων.
Τ άλαντα, τὰ ἀτυχέστατα. ¶ Ταλαντεύει, σταθμίζει,
ζυγοστατεῖ. ¶ Ταλαντιαῖον, βαρύ. ¶ Ταλάντι
ον τόπος ἀρτεμίδωρος. ¶ Τάλαντον, σταθμὸς.
ζυγός. ὁλκὴ λιτρῶν ἑκατὸν, ἢ ἑκατὸν εἰκοσιπέντε, ἢ ἑ
κατὸν ἑξηκονταπέντε. ἢ τετρακοσίων. ἢ χιλίων ἑκατὸν
πεντηκονταδύο. ¶ Τάλαντος, ταλαίπωρος.
Τ αλαντώσει, σταθμήσει, στήσει. ¶ Ταλαὸν ὑποστατι
κὸν, ἰσχυρόν. βίαιον. ¶ Ταλαπείριος, τλητικὸς κα
τὰ τὴν πεῖραν, ἢ τηλόθεν διαπεφοιτηκωμένος, οἱ δὲ
ἀλώμενος. ¶ Ταλαρίς. ἐξ οὗ βάλλουσι τὰ ἄστρα
γάλους. ¶ Ταλαπενθέα, ὑπομένοντα τὰ πένθη.
Τ άλαροι, κάλαθοι ἱερείων, καὶ ἐν οἷς οἱ τυροὶ πήγνυν
ται, πλεκτοῖς ἐν ταλάροισι φέρων μελιηδέα καρπόν.
Τ άλας, ἄθλιος, ταλαίπωρος. ¶ Ταλάσια, τὰ
ἔρια. ¶ Ταλασιήν, ὑπομένειν. ¶ Ταλασία,
ἐριουργία ἐργασία. ¶ Ταλασιουργία, τῶν ἐρίων τὰ
ἔργα. ¶ Ταλασιουργὸς. ἐριουργὸς, καὶ ἡ ἐν τοῖς
ταλάροις ἐργαζομένη κρόκη, ἢ ἔρια.
Τ αλασίφρων, ταλακάρδιος, ἰσχυρὸς, τολμηρός. θρα
σὺ, ὑπομονητικὸς, ἰσχυρόφρων. ¶ Ταλάσσεις, ὑπο
μείνῃς, τολμήσεις. ¶ Ταλάσαι, ὑπομεῖναι ἢ τὰ
ὅμοια. ¶ Ταλαύρινον, ὑπομονητικὸν, θλιμμηρὸν,
πολεμιστήν. ¶ Ταλάφρονα, τλητικὸν κατὰ τὰς
φρένας, οἱ δὲ, ἰσχυρογνώμονα. ¶ Ταλαόρεια, ῥεῦ
ματα. ¶ Ταλαιὸς, ὁ ζεὺς ἐν κρήτῃ. ¶ Ταλαιδί
της, ἀγὼν γυμνικός. ¶ Ταλικὰς, αὐχηδές.
Τ αλικὴν. τηλικαύτην. ¶ Ταλικῶος, τηλικαύτην.
Τ άλιξ, ὁ ἔρως. ¶ Ταλίων, ἀθλίων. ¶ Τάλις, ἡ
μελλόγαμος παρθένος καὶ κατωνομασμένη τινί. οἱ
δὲ, γυναῖκα γαμετήν. οἱ δὲ νύμφην. ¶ Ταλθύβιος,
ἱερεύς. ¶ Τάλως, ὁ ἥλιος. ¶ Ταμὰ, τὰ ἐμά.
Τ αμᾶς, γαμβρός. ¶ Τάμε, ἔτεμον. ¶ Ταμεῖ, τέ
μνει. ¶ Ταμεῖν, τεμεῖν. ¶ Ταμέσθαι, ἀπημφιέσαι,
ἐπιτιμῆσαι. ¶ Ταμεῖα, ἀπόκρυφα οἰκήματα.
Τ αμεσίχροα, τέμνοντα τὸν χρῶτα. ἀπὸ μέρους δὲ λέγει
τὴν σάρκα. ¶ * Ταμεταξὺ, μεταταῦτα δωριεῖς.
Τ αματίζε, τηνικάδε. ¶ Ταμεῖαι, οἱ τῶν δημοσίων
χρημάτων καὶ πάντων τῶν κοινῶν προστάται καὶ φύλα
κες ταμιοῦχοι. ¶ Ταμίαν, ζημίαν. ¶ Τα
μίας, φύλαξ χρημάτων προστάτης, δεσπότης. οἰκο

νόμος διοικητής. ¶ Ταμιεῖον, κοιτῶνα. ¶ Τα
μιεύεται, διοικεῖται ἀποκρύβει. ¶ Ταμίη, ἡ προσ
τάτις τοῦ οἴκου. διοικήτρια. ἢ κελλαρία πιστή. καὶ ἀρ
χὴ ἀθήνησι. ¶ Ταμίην, δεσποιναν τὴν τοῦ οἴκου προε
στῶσαν. ¶ Ταμεῖον, θάλαμος. ¶ Ταμιοῦχος,
οἰκονόμος. ¶ Ταμιράδαι, ἱερεῖς τινὲς ἐν κύπρῳ.
Τ άμισος, ἡ πιτύα. ¶ Τάμνειν, διατέμνειν.
Τ άμνεν, ἐνέκοψεν. ¶ Τάμνοντες, διατέμνοντες ποι
οῦντες. τέμνοντ' ἀμφὶ, περιύλαινον.
Τ άμοις, τέμοις, ποιήσαις. ¶ Τάμοντες, διακόψαντες.
Τ αμόντες, ποιήσαντες, συνθέμενοι. ¶ Τάμωμεν,
ποιήσωμεν. ¶ Τανάγρα, ἀγγεῖον χαλκοῦν ἐν ᾧ ἧψ
τον τὰ κρέα. ¶ Ταναγρίδαι, οἱ ταναγραῖοι.
Τ αναγραίων φυὴν, κατὰ ὁμοιότητα. ἔφορος λέγει ζῷ
τινα ἐν τανάγρᾳ παχύτητα. ὃς ἐλέγετο κητεύς.
Τ ανααία, δι' ὅλου ἠκονημένα. ὀξέα ἀποτεταμένην
τὴν ἀκμὴν ἔχοντα. ¶ Τανακεῖ. τὰ αὐτά. ¶ Τανακη
κέος, μακροῦ, τοῦ μακρὰν λαβὴν ἔχοντος. ¶ Τανακη
κὲς, ἐμμηκές. ¶ Ταναηκτεῖ, χαλκῷ τῷ ἐκτετα
μένῳ σιδήρῳ. ¶ Τανακῆς, ἐκτεταμένης. ¶ Τανα
κιδὲς. ὀξὺ μακρὸν, δι' ὅλου ἠκονημένον. ¶ Τανασοῖο,
ἐπιμήκους μακροῦ, πάνυ ἐκτεταμένου. ¶ Ταναὸν
ἰσχυρόν. ὀξύ. λεπτόν. σκληρόν. μέγα. ὑγρόν. μακρόν
Τ αναὰς, παρακούσας ἀπὸ τοῦ εἰς μῆκος τετανύσθαι.
Τ αναύποδα, ὀρθόποδα, τεταμένοις τοῖς ποσὶ κατὰ τὴν
ὁδοιπορείαν. ¶ Τάνδον, τὰ ἔνδον. ¶ Ταναὴ, ἀπο
τεταμένη. ¶ Ταναηκὴ ἐκτεταμένην ἔχοντα τὴν
ἀκμήν. ¶ Τανηλεγέος, παρατεταμένην ἔχοντος
τὴν ἀλγηδόνα μακροκοιμήτου τανηλεγέος θανάτοιο.
Τ ανθαλύζει. τρέμει συνεχῶς. οἱ δὲ, σπαίρει. ¶ Τανθάλε
ον, ἐρύθημα. ¶ Τανίφυλλος, μακρόφυλλος.
Τ ανίσφυρος, ὀρθόσφυρος, εὔσφυρος, λεπτόσφυρος.
Τ ανόδευστος. ὁ τρόμου παρασκευαστικός. ¶ Τανοίφη;
λεπτοϋφῆ. ¶ Ταντάλεος ἔτι τὰ δάκρυα. στάζει δά
κρυα. ¶ Τανύγλωσσοι, μακρόφωνοι. ἢ τεταμένην
ἔχοντες τὴν γλῶτταν. ¶ Ταντάλίζεται, σκληρύνε
ται. ¶ Τανυγλώχινας, τεταμένας τὰς γωνίας
ἔχοντας. ¶ Τανύει. ἐκτείνει. ἕλκει. τείνει. ¶ Τα
νυηκὲς, τὴν ἀκὴν ἔχον παρατεταμένην. ¶ Τανυη
κέας, ἐκτεταμένοις ὄζοις. ¶ Τανύοντο, διετείνον
το. ἔβρεχον. ¶ Τανύπεπλ. μακροχίτωνοι. ¶ Τανύ
ουσι περὶ τῶν οὐρῶν διετείνοντο διὰ τὴν λιπαρείαν. τα
νύονται διὰ φλογὸς ἡφαίστοιο. ¶ Τανύπτερος, μα
κρόπτερος. ¶ Τανύποδας ἐλαύνεις. ταχύποδας
ἐν τάχει τιμωρουμένας. ¶ Τανύφλοιος, μακρόφλοι
ος, τεταμένα ἔχων φλοιά. ¶ Τανυπρόσωπος. τὰς
καλύπτρας, διὰ τὸ περὶ τὸ πρόσωπον περιτετάσθαι.
Τ ανυσάμενος, ἐκταθείς. ¶ Τάνυσα, ἐνέτεινα.
Τ άνυσαν. ἐνέτειναν. ¶ Τανύσσας, ἁπλώσας, ἐκ
τείνας, κρεμάσας. ¶ Τανύτειχες, μακρότειχες,
λεπτότειχες. ¶ Τὰ νῶτα, τὰ ὀπίσθια.
Τ αξάμενοι, ὁρίσαντες. ¶ Τάξις, ἡ ἐπὶ ὀφειλο
μένοις χρήμασι καταβολὴ, ἡ ἀκολουθία καὶ εἱρμός.
Τ άξος, δένδρον τί ὀρεινόν. ¶ Τάξω, συντάξω. θή
σω. ¶ Ταπεινὸν, χθαμαλόν.
Τ άπιδας, τάπητες. ¶ Τὰ ὅπλα τοῦ φωτὸς τὴν φω

Σ χισὸν, προσκεφάλαιον. ❡Σχιδὼς, χιτών τις ποιὸς γυναικεῖος, κατὰ τὸ στῆθος πτέρυξι συνεχόμενος.

Σ χοῖαρ, παύσαιντο, ἐπίσχοιεν. ❡Σχοίητε, νομίσητε, ὑπολάβητε. ❡Σχοίνικος, ὁ ἀμφιαράου υἱὸς, καὶ ὄρνις τις. καὶ φυτόν. ❡Σχοινίον, φωνὴν τὴν σαθρὰν καὶ διερρωγυῖαν. ❡Σχοίνινος, ἱμὸς, δι' οὗ τὰς ψήφους οἱ δικασταὶ εἰς τὰς ὑδρίας καθιᾶσιν. ❡Σχοινίον τὸ μεμιλτωμένον ἔρραινον, ὑπὲρ τοῦ συβῆσαι τὴν ἀγορὰν ὁπόταν βραδύνοιεν ἐπὶ τὸν ἐκκλησίαν. καὶ ἐν τῇ νηὶ ὁ σχοινοβάτης. καὶ ὄρνις τις.

Σ χοίνισμα, μέρος ὁδοῦ, ἢ μέρος. ❡Σχοῖνος, πόλις βοιωτίας καὶ τὸ τοῦ σχοίνου φυτόν. σχοίνῳ ὑπεκλίνθη.

Σ χοινοτενὲς, ὀρθὸν μακρόν. ❡Σχοίνων, τῶν αὐλητικῶν νόμων τίς. ❡Σχολάσατε, ἠρεμίσατε.

Σ χολαῖον, ἡσύχιον, βραδύ. ❡Σχολαιότερον, ἠρεμαιότερον, βραδύτερον. ❡Σχολαίων, ἀργῶν.

Σ χολὴ, οὐ μόνον τὸ μαλλὸν δέρην, ἀλλὰ καὶ τὸ περί τι σχολάζειν, καὶ ὁ διατριβή. ❡Σχόλια, σημειολογήματα. ❡Σχομένη, καταχεθεῖσα, ἀνατείνασα τὰς χεῖρας, καλύψασα τὸ πρόσωπον. ❡Σχόμενος ὑπὸ δυεῖ. καταχεθεὶς καὶ συλληφθεὶς ὑπὸ τοῦ δόρατος. ❡Σχόντων, εἰληφότων, προσχόντων.

Σ χῦρος, ἐχῖνος. ❡Σχώμεθα, καταχεθῶμεν.

Σ χῶνται, ἀπόχωνται.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Ω.

ὢ, σώω. ❡Σωαλδεῖ, παραληρεῖ.

Σ ❡Σωβίνεις, ναῦς, πορθμὶς, ἔνιοι τὴν παλαιάν. ❡Σωγάσαι, σῶσαι. ❡Σώεσκον, ἔσωζον.

Σ ώζει, διασώζει. βουλεύεται. ❡Σώκει, ἰσχύει, βοηθεῖ. ❡Σῶκος, σωσίοικος, σόοικος ἰσχυρός.

Σ ῶκον, ἀδύνατον. ❡Σωκόνδες, ὁ σεμικὸς οἶκος.

Σ ωκόον, σῶα ἀκούοντα τὸν ἑρμῆν καὶ σωσίοικον.

Σ ωλῆνες, οἱ στασταῖρες. καὶ τῶν ὀστρακοδέρμων τι γένος κογχυλίων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μορίων.

Σ ωλίγξαι, δράξασθαι. ❡Σωλοιὴς, ὕσ σῶμα. πτῶμα. δέμας. ❡Σῶμαι, ἔστω διωειδῆς. ❡Σωμάλοιφος, ὁ κατειλημμένος σώματι τὰ σκύτινα αἰδοῖα.

Σ ωματοφύλαξ, δορυφόρος, ναοφόρος, καὶ ὁ βασιλικὸς φύλαξ. ❡Σῶν, σῶον, ὁ βλάστησις ἀπὸ τῶν σιβόσθαι ἀττικοὶ δὲ σωζόμενοι. ❡Σῶον, ὁλόκληρον, ὑγιαῖνον. ❡Σωόντων, σωζόντων κρυπτόντων.

Σ ώοιτο, ὡρμῶντο, ἤρχοντο. ❡Σωπαίνουσι, οἱ κύνες παρὰ ξενοφῶντι. ❡Σώρακον, ἀγγεῖον εἰς ὃ σῦκα ἐμβάλλεται, ἢ ξυλοκανθήλια. ❡Σωρεύει, σωνίζει.

Σ ωρολὸν, κατὰ σύστημα σεσωρευμένον. λέγεται δὲ ἐναριθμητόν. ❡Σωρεία, πλῆθος. ❡Σωρωνὶς, ἐλάτη καὶ πόλις. ❡Σωρὸς, συναγωγὴ ἢ θωμοῦ διαφέρει. ❡Σῶς, ὁ ὁλόκληρος καὶ τέλειος ὁ σωζόμενος καὶ σῶος ὑπάρχων. ❡Σώσικες, οἱ ἐφθοὶ κύαμοι. ❡Σωσίβιοι, οἱ κοσβιοί. ❡Σωσίοικος, ὁ τοὺς οἴκους σώζων. ❡Σωσόλεθρος, ὁ πρόδηλος καὶ φανερὸς καὶ μέγας καὶ τέλειος. ❡Σωρὴχ, ἐκλεκτή.

Σ ώστελος, σωθῆναι ἄξιος. ❡Σῶστρα, σωτήρια. μήνυτρα, λύτρα, ὕμνος, ᾠδή. ❡Σωστεύματα, τὰ τοῦ ξοχοῦ ξύλα, καὶ ὁ ἐπὶ τούτοις σίδηρος. ἐπίστροφον.

Σ ῶται, ὁρμᾶται, ἔρχεται, πορεύεται. ❡Σωτεύματα, σωζεύματα. ❡Σώτειρα, ἡ ἀθηνᾶ παρὰ τοῖς ἕλλησιν, κατὰ παλλάδιον, αὐτίδοτός τις.

Σ ωτέος, σωθῆναι ἄξιος. ❡Σωτὴρ, ὁ τοῦ ἀλὸς χόνδρος, καὶ ὁ ζεὺς, καὶ ὁ ἐλευθέριος, ἢ λυτρωτής.

Σ ωτηριακὸν, τὸ εἰς ἐκφορὰν νεκροῦ διδόμενον.

Σ ωτήριος, ὁ οὔριος ἄνεμος. ❡Σωτηρίου ἐξιλασμοῦ.

Σ ωτῆρος διὸς, οὕτω τὸν τρίτον κρατῆρα καλούμενον.

Σ ωφράτορες, σωφρονέστεροι. ❡Σωφρονιστῆρες, τῶν ὀδόντων τινὰς οὕτω λέγουσιν. ❡Σώφρων, φρόνιμος καθαρὸς ἁγνός. ❡Σωφρονίζεται, σεμνύνεται.

Σ ωφρονιστὴς, νουθετητής. ❡Σωφροσύνη, σοφία, ἐπιστήμη. ❡Σωχεῖν, τρίβειν. ❡Σωχὶς εἶδος ἀμπέλου. ❡Σωχομένοις, τριβομένοις. ❡Σωχὸς, ὁ τῶν κοσμητῶν πατήρ. ❡Σωόντων, κρυπτόντων.

ΑΡΧΗ ΤΟΥ Τ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Α.

Τὰ, ταῦτα, ἅ τινα αὐτὰ, ἀναφορικῶς, ἀλλὰ τὰ μὲν προτετύχηκα, ἐάσομεν. ❡Τάα. ἅ τινα, ἢ τοιαῦτα.

Τ ὰ αὐδάνοντα, τὰ ἀρέσκοντα. ❡Τὰ αἴσχιω, τὰ χείρω. ❡Τὰ ἀμείνω, τὰ κρείττονα.

Τ ὰ ἀπὸ τρίποδος. παροιμία ἐπὶ τῶν ἀληθῶς λεγομένων, ἤτοι ἀπὸ τοῦ δελφικοῦ τρίποδος. ἢ ἀπὸ τοῦ πυθαγορικοῦ. ❡Τὰ βάθη, τὰ ἀχώρητα, τὰ ἀκατάληπτα.

Τ αβιὲλ, ἀγαθοῦ θεοῦ. ❡Ταβάλα, ταβῦλα ὑπὸ πάρθων οὕτω καλεῖται ὄργανον κειβάνῳ ἐμφερὲς, ᾧ χρῶνται ἐν τοῖς πολέμοις ἀντὶ σάλπιγγος.

Τ αγεῖος, ὁ ἐξ ἐπιταγῆς τι ποιῶν. ❡Ταγεῦσ, ἄρχους, ἡγεμονίαις. ❡Τάακνα, ταῦτα κριτῶν.

Τ αγατίζων, κιχλίζων. ❡Ταγὴ, βασιλικὴ δωρεὰ καὶ ἡ σύνταξις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων.

Τ αγηνία, πεμμάτια τηγάνων οἱ δὲ σταῖς ὑγρὸν ἐπιχεόμενον τηγάνῳ, ᾧ προσβάλλεται μέλι. σησάμη. τυρός. ❡Τάγηνον, τήγανον. ❡Τάπλος, φιδωλός.

Τ άγιος, κῆρυξ. πρεσβευτὴς, ὀξὺς, ταχὺς, βάσιμος.

Τ αγοὶ, προστάται, ἄρχοντες, ἡγεμόνων. ❡Ταγεία τὰ ἐλάχιστα, τὰ τυχόντα. ❡Ταγόναται, μακεδονική τις ἀρχή. ❡Ταδ' ἄττινα, τὰ δὲ λύξα.

Τ ὰ δὲ, ταῦτα. ❡Τὰ δ' ἔρομα φοβεῖται, τὰ δὲ πρόβατα ἔρημα γενόμενα τῇ τοῦ ποιμένος φυγῇ.

Τ ὰ διάβουλα, τοὺς διαλογισμούς.

Τ αθεὶς, ἀπλωθείς. ❡Τατθίον, μαστὸς, τιτθίον. Ταίνης*, διοικητὴς. προστάτης.

Τ αιναρίας. παρὰ λακεδαιμονίοις, ἑορτὴ ποσειδῶνος, ἐν αὐτῇ ταιναρισταὶ, ταίναρον γὰρ πεδίον λακωνικόν. ❡Ταιρθεῖν, ταῖς θεαῖς. ❡Ταινία, στέμματα τῶν ἱερέων. διαδήματα ἀρχιερατικὰ ἢ ζῶναι ἢ στέφανοι, κόσμοι. ἢ δεσμοὶ ἱεροί.

ῥάχεως ὅ ἐστι καὶ τῶν σκορπίων αἱ περὶ τῶν κέντρων περιγραφαί. ¶ Σφαραγῶν, λιμῶν. ¶ Σφεῦ, τοῦ αὐτοῦ τοῦ ἰδίου, ἢ ἐπὶ αὐτοῦ. ¶ Σφραγῖδες, αἱ περὶ τῶν δακτυλίων καὶ τὰ τῶν ἱματίων σημεῖα.

Σ φραγιδονυχαργοκομήτας τοὺς ἔχοντας σφραγῖδας ἐν τοῖς δακτυλίοις ὄνυχας λευκοὺς καὶ κομῶντας.

Σ φραγίς, χελώνη, καὶ ὁ ἐν τῷ δακτυλίῳ λίθος, ἢ σήμαντρον. ¶ Σφραγὶς δὲ τὸ ἱματίου σημεῖον.

Σ φριμᾶ, ἀπειλαὶ ὀργαί. ¶ Σφριγᾶ, περιπέπταται, περιτείνει, ἄλλοι σφύζει, πλήρης τυγχάνει, μάλιστα δὲ περὶ θηλείας, εὐσωματεῖ, ἀκμάζει, νεάζει, κομπιᾶ.

Σ φριγανὸν, ἀκμαῖον δεψιλὲς σφοδρόν.

Σ φριγῶν, ἀκμάζων. νεάζων. αὔξων. ¶ Σφριγῶντα, ἐπαιρόμενον ἰσχύοντα. ¶ Σφριγῶσα, πεπυκνωμένη, συνεστηκυῖα. ἰσχύουσα. ¶ Σφυγμὸς, φλεγμονὴ, κυρίως δὲ ὁ παλμὸς τῶν ἀρτηριῶν.

Σ φυδρὰ, ἡ περιφέρεια τῶν πολῶν. ¶ Σφυλῶν, ἰσχυρὸς εὔρωστος σκληρός. ¶ Σφύζει, πηδᾷ φλεγμαίνει καίεται, σφάλλεται ἡ φλέψ. ¶ Σφῦρα, ἐργαλεῖον. τεκτονικὸν ἢ χαλκευτικόν. ¶ Σφυρὰ, τὰ περὶ τοὺς ἀστραγάλους. αἱ περιφέρειαι τῶν πολῶν, ἢ τῶν ὀρῶν τὰ ἐπίπεδα καὶ κατώτατα, ἢ ἡ παρά τισι λεγομένη κέστρα ἰχθὺς θαλάσσιος.

Σ φυράδες, τὰ διαχωρήματα τῶν αἰγῶν καὶ προβάτων οἱ δὲ, σπυρίας. ¶ Σφυρήλατος, σφύραις ἐληλασμένος οὐ χωνευτός. ¶ Σφυρήματα, τὰ σιδήρεια ὅτι οὐ χεῖται σφυροῦται. ἡ λέξις παρὰ τοῖς τὰ ἱστορικὰ γεγραφόσι. ¶ Σφυρὸν, σφοδρόν, ἢ τὸ ἐπάνω τῶν ἀστραγάλων. ¶ Σφύρωσις; διάρσις, ἢ ἐν κύκλῳ τὰ πέλματα. ¶ Σφῶ, ὑμεῖς ἢ ὑμᾶς. ¶ Σφῶε, ἑαυτούς. ἔστι δὲ τοῦ τρίτου προσώπου. ¶ Σφῶϊν, ὑμῖν καὶ ὑμῶν καὶ αὐτοῖς.

Σ φωΐτερον, ὑμέτερον, ὑμῶν τῶν δύο.

Σ φῶν. ἑαυτῶν.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Χ.

Σ Χᾷ, χάζει. ¶ Σχαδόνες, τὰ κηρία τῶν μελισσῶν ἔνθα οἱ σκώληκες. οἱ δὲ τὴν ἀποβάλλουσαν ἤδη νύμφην χαδόνα. ¶ Σχαλεῖον, κυβευτικὸς βόλος. ¶ Σχαλίδες, δι' ὧν χάλωσι τὰ δίκτυα ὀρθὰ ἑστῶτα. ¶ Σχαλίσαι, θηλάσαι. καὶ αὐίχαλον τὸ ἄτοκον καὶ ἀθήλαστον.

Σ χαλὶς, τὸ δίκτυον. ¶ Σχάσαι. μετάβαλλε.

Σ χάσαι, ἀφεῖναι. ¶ Σχάσον, ἄφελκε, κατάπαυσον.

Σ χαστήριον. ὁρμητήρια καὶ μέρος τι ἐν τῇ νηΐ.

Σ χαῦδαι, ἰσχνόφωνοι. ¶ Σχέδην, ἡσυχῇ βάδην.

Σ χεδία, μικρὰ ναῦς, ξύλα ἃ συνδέουσι, καὶ οὕτω πλέουσιν, ἢ ὅπλα τὰ ἐκ χειρὸς τιτρώσκοντα.

Σ χεδιάζειν, ἐγγίζειν ἐκ παρατυχόντος ἐν ἑτοίμῳ λέγειν λέγεται δὲ καὶ περὶ τοῦ ταχέως ποιεῖν.

Σ χεδιασθεὶς, ἐγγισθείς. ¶ Σχέδιοι, εὐτελεῖς.

Σ χεδίη, συνάφεια. κοινωνία.

Σ χεδίη, χεδία καὶ τὸ ἐκ χειρὸς πατάξαι. οὕτω λέγεται καὶ ἡ εἰκαίως πεποιημένη ναῦς. διάβασις γέφυρα. ζεῦγμα. ¶ Σχέδιον, τὸ δόρυ, ὃ μὴ ἀκοντίζεται, ἢ τὸ αὐθωρεὶ πως γενόμενον, ἢ ἐκ τοῦ σύνεγγυς.

Σ χεδόθεν, ἐγγύθεν. ¶ Σχεδὸν, ἐγγὺς ἐκ χειρός.

Σ χεδρὸς, τλήμων καρτερικός. ¶ Σχέθεν, ἔμεινεν, ἐκρατήθη ἐπέσχεν. ¶ Σχεθέτω, ἐπισχεθήτω, ἐπισχέτω. ¶ Σχέθον, κατέσχον. ¶ Σχέθων, κατέχων. ¶ Σχελίδες, κρέα ἐπιμήκη τετμημένα. οἱ δὲ πλευρίδας. ¶ Σχέλινος, ἀγρία κυπάρισσος, οἱ δὲ ἄρκευθος. ¶ Σχέμα, χῶμα, ἀγχοῦ. ¶ Σχεῖη, ἔμοι. ¶ Σχεθήτω, κατασχεθήτω. ¶ Σχελωάζει φλυαρεῖ. ¶ Σχενδυλάληπτοι, ἐσχενδυλῆσθαι ἔλεγον τοὺς ἐν τοῖς τάφοις. ἀπὸ τοῦ χαλκευτικοῦ ὀργάνου ὃ σχενδύλη λέγεται. ¶ Σχέραφος, βλασφημία λοιδορία. ¶ Σχερίη, ἡ Σχερία ἡ τῶν φαιάκων χώρα, ἡ νῆσος, καὶ ἡ κορυφὴ τὸ πρότερον οὕτως ἐκαλεῖτο.

Σ χερὸν, κῦμα ἔρημον ἀμαθίας.

Ρ ινοδέψου, βυρσοδέψου. ¶Ῥινόκερως. ὁ τετράπουν
θηρίον, καὶ ποιὸς ὄρνις ἐν αἰθιοπίᾳ. ¶Ῥινός, δέρμα
Ρ ινόν, τὴν βύρσαν τὸ δέρμα. ¶Ῥινοπύλη, μικρὰ πύ-
λη. ¶Ῥινότερος, τὸ ὅπλον. ¶Ῥινοτόρος, ῥινοὺς
διατορικῶν, τουτέστιν ὅπλα ἐπὶ φάλαγγας διακό-
πτων ὁ βυρσοτόμος. ¶Ῥινοί, βύρσαι. δέρματα,
ἀσπίδες. ¶Ῥινοχόος, χώνη. ¶Ῥινοφαρέτρας
συνθήκας. ¶Ῥινῷ. δέρματι βύρσῃ. ¶Ῥινοτηρία,
μέρος τι τῆς νεώς. ¶Ῥιξικάζεται, ῥικάζεται, στρέφε-
ται. ¶Ῥίον, ἀκρωτήριον ὄρους. ¶Ῥίον, οἰνίσκον,
οἰνάνθης ἀγρίας ὄρος χαλεπόν. ¶Ῥίος, ἄκρα κο-
ρυφή, ὄρος χαλεπόν, κρημνός. ¶Ῥίου. ἀκρωτηρίοις
Ρ ίπαια, ὄρη σκυθικά. ὅθεν βορρᾶς ὁ ἄνεμος πνεῖ.
Ρ ίπες, ψιάθους, πλέγματα ἐκ καλάμων. ¶Ῥιπή,
ὁρμὴ βολή, ῥοπή, ¶Ῥιπῆς, ὁρμῆς, βολῆς, ῥοπῆς.
Ρ ιπὴ τ' ἄνεμοι, ὁρμή, τὸ ἄγαν ἐκτεταμένου.
Ρ ιπίδιον, μέρος τῆς νεώς. ¶Ῥιπίζει, φυσᾷ, πνεῖ,
πνοὴν πέμπει, ἀνακαίει. ¶Ῥιπίζεται, ἀνακλίνε-
ται. ¶Ῥιπίζων, κινῶν. ¶Ῥιπίς, ῥιπὶς τὸ πλέ-
γμα, ἢ ἐκ σχοίνων πέτασος ἀττικοὶ δὲ ῥιπίδα ᾧ τὸ
πῦρ καίουσι, καὶ τραπέζας οὕτω λέγουσι. ¶Ῥιπίς,
τοῖς σκέλεσι τὸ ἀκροκώλιον. ¶Ῥιπιστά, διαπνεόμενα
Ρ ίπτον, μακρόν. ¶Ῥιπτάζων, ῥίπτων. ¶Ῥίπος,
ἔδαφος πρὸς κλίτην. ¶Ῥίς, ῥίν, ῥώθων. ¶Ῥίσκον-
τες. φιλονεικήσαντες. ¶Ῥίσκοι, εἶδός τι μυῶν.
Ρ ισευδα, λυπουμένη. ¶Ῥίσκην, πλυνόν. ¶Ῥίψα-
νεν. ἔρριψαν. ¶Ῥιχνοῦσθαι, κινεῖσθαι ἀσχημόνως.
Ρ ιψάσπις, ὁ ἐν τῷ πολέμῳ τὰ ὅπλα ῥίψας ἐκ φόβου
δειλός. ¶Ῥιψοκίνδυνος, παράβολος, τολμηρὸς ἐπὶ
κινδύνοις. ¶Ῥοαί, ῥεύματα ῥεῖθρα. πηγαί. ἱππό-
δρομος. τοὺς καλαμῶνας. πηγὰς χεύματα.
Ρ οάων, ῥευμάτων. ¶Ῥοβδεῖ, ἀναρριπτεῖ μετ' ἤχου.
Ρ οβλεῖ. ῥοφεῖ, πνεῖ. ¶Ῥόβιλλος, βασιλίσκος, ὄρνις.
Ρ όακν, τὸν φονέα τὸν αὐτόχειρα.. ¶Ῥόγαμ, ῥώγαμ.
Ρ ογεῖ, ὀργᾷ. ἀκμάζει, ἰκμάζει. ¶Ῥογεύς, βαφεύς.
Ρ ογία, ἀκέστρια: ¶Ῥογκίζω, ῥέγχειν ἐπὶ ἰχασμοῖς:
Ρ ογοί, ὄρνις σιτικοὶ σιτοβολῶνες. ¶Ῥόδαμνοι, κλῶνες
βλαστοί. ¶Ῥοδανόν, ξουθρόν. ¶Ῥοδανός, πιτα

δῆμος ἐν τῇ ἀττικῇ, ὅπου νέμεσις τιμᾶται. ¶Ραμνουσίαν. νέμεσιν, ἐν ῥαμνοῦντι νεμέσεως ἵδρυται ἄγαλμα δὲ κάπηχυ, ὁλόλιθον. ἔργον φειδίου ἔχον ἐν τῇ χειρὶ μηλέας κλάδον. ¶Ραμοσκίτης, κατάρατος.

Ρ αμφασδέκται, τὸ πιστεύειν. ¶Ραμφάξη, ῥύγχει δάσει. ¶Ρομφαία, μάχη. καὶ ὁ πυγμὴ ἐπὶ χειρός.

Ρ αμφὴ κοπὶς μάχαιρα, ὃ τὰ τῶν ὀρνέων ῥύγχη.

Ρ αμφιστὰ, ἰχθεῖς ποιοί. ¶Ραμφὶς, νεὸς εἶδος.

Ρ άμφος, ῥύγχος τὸ ἐπὶ τοῦ στόματι τῶν μεγάλων πετεινῶν. ¶Ραψὰ γόνατα, βλαισὰ γόνατα. τὸ δὲ αὐτὸ καὶ ῥαιβά. ¶Ραμψὸν, καμπύλον, βλαισόν.

Ρ άνα, ἄρνα, ῥωμαῖοι δὲ βάτραχον. ¶Ρανὶς, σταλαγμός. ¶Ρανᾶται, πλανᾶται, σπείρεται. ¶Ραντίζει, σκώπτει. ¶Ρανδὸν, ποικίλον. ¶Ρὰξ, ῥὰξ ἡ τῆς σταφυλῆς. ἣν ὑμεῖς ῥῶγα καλοῦμεν. ¶Ρᾶον, εὐχερὲς, κοῦφον εὔκολον. ¶Ραπιστὸν, καλάμην, καὶ τοὺς ἐν αὐτῇ αὐλοῦντας ῥαπάλους. ¶Ραπίδας, ὑποδήματα περόναι. ¶Ραπιδοποιόν, τὸν ποιητὴν λουρεῖς, ἢ ποικιλτήν. ἢ τὸν τὰς ῥαπίδας ποιοῦντα.

Ρ απίζει, σκώπτει, ἀλοᾷ. παίζει, μαστιγοῖ. τύπτει.

Ρ απὶς, ῥάβδος, κερκὶς, κώμη, στρογγυλὶς, οἱ δὲ λαμψάνην. ¶Ραπίσαι, ῥάβδῳ πλῆξαι, ἢ ἀλοῆσαι.

Ρ άπται, φάραγγες, χαράδραι, γέφυραι. ¶Ράπτειν, μηχανᾶσθαι, κατασκευάζειν. ¶Ράριον. παιδίον.

Ρ άρος, ἰσχυρὸς, καὶ ὄνομα τοῦ τριπτολέμου πατρός. ῥᾶστα τε. ῥᾶνατε. ¶Ρᾷστα, εὐχερῆ εὔκολα. ¶Ραστώνει, ὠθεῖ, πράττεται. ¶Ραστὸν, εὐχερὲς εὔκολον. ¶Ραστωνεύεται, ῥαθυμεῖ ἀμελεῖ, καταφρονεῖ.

Ρ αστώνη, ῥαθυμία καὶ τὰ ὅμοια. ¶Ραστώνης, ξυφῆς τέρψεως ἀναπαύσεως. ¶Ράστωρ, κρατὴρ.

Ρ ατάναν, τορύναν. ¶Ρατίζει. πρεσβεύει.

Ρ ατιχεύειν, καταρᾶσθαι. ¶Ρατῶνα, ῥακτῆρα σφαγία. ¶Ραυλὸν, ἄγραυλον ἄγροικον. ¶Ραφάνη, κράμβη. ¶Ραφανιδωθῆναι, τοὺς μοιχοὺς ταῖς ῥαφανίσιν ὤλεινον κατὰ τῆς ἕδρας, τίς γὰρ αὐτὴ ἐπὶ ῥαφανίδος ὀρῶν ὀξυθυμίαν ἔλθοι πρὸς ἡμᾶς. ¶Ραφανὶς, καὶ ῥάφανος διαφέρει παρὰ τοῖς ἀττικοῖς. ῥάφανος μὲν γὰρ ἡ κράμβη, ῥαφανὶς δὲ, ἡ παρ᾿ ἡμῖν ῥάφανος. ζύφων δέ φησι παρὰ δωριεῦσι τὰς μικρὰς ῥαφανίδας λέγεσθαι. τὰς δὲ μεγάλας, ῥάφας.

Ρ άφανος, κράμβη. ¶Ραφανουργοὶ, κηπουροί.

Ρ αφάσει, πλανᾶται. ¶Ραφὶς, ὑπόδημα, περόνη, καὶ ἄγριόν τι λάχανον λαμψανώδες. καὶ ἡ ῥάβδος.

Ρ άφοι, ὄρνεις τινές. ¶Ραχάδην, εὐθὺ ἐπὶ ῥάχεως.

Ρ αχὰς, χωρίον σύνδενδρον ἢ μετέωρον. διὰ τὸ ψόφον ἀποτελεῖν καταπνεόμενον. ¶Ράχετρον. ῥαχὶς, ὡς πλευρὰ καὶ πλευρά. οἱ δὲ τὴν ῥάχιν τοῦ ἱερείου. ¶Ραχεῶντος, παραχρεόντος. ¶Ραχίζειν, παίειν τὸ ἱερεῖον.

Ρ άχη, ἀπορραχίσματα καὶ ἀποσπάσματα.

Ρ αχία, πᾶς πετρώδης αἰγιαλός. ¶Ραχίζειν, τὸ εἰκαίως ἢ ῥαδίως ψεύδεσθαι. ¶Ραχίζων, διακόπτων διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ τὴν ῥάχιν γίνεσθαι. ¶Ράχι, τὸ σύμφυλον. ¶Ραχὶς ἄκρα, ὀσφὺς, ἡ ἄκανθα τοῦ νώτου. ¶Ραχιστὴρ, ψεύστης ἀλαζὼν, μεγαλουργὸς, μεγάλα κακουργῶν μεγάλα ψευδόμενος. ¶Ραχοὶ, χαράδρας, στιβάς, στέ

γματα, ἔνιοι τοὺς σφακέλους τῶν ξύλων, ἄλλοι τὰς μυρικίνας ῥάβδους. ἔστι δὲ ἀκανθῶδες φυτὸν, ἀφ᾿ οὗ τὸ περίφραγμα. ¶Ραχὸς, ἔλαιον. δηλοῖ δὲ παρὰ τοῖς βαρβάροις τὸν ἐλεύθερον. καὶ ὁ φραγμὸς τῶν τειχῶν. ¶Ράψαι, συνθεῖναι. ¶Ραψῳδία, ἡ σύνταξις τοῦ λόγου, ὁ λόγων συγγραφὴ, ὁ μέρος ποιήματος.

Ρ αψῳδὶ, ὑποκριταὶ ἐπῶν. ¶Ραψῴδημα, ψεῦσμα, φλυαρία. ¶Ραψῳδὸς. σοφοκλῆς οἰδίποδι οὕτως ἔφη τὴν σφίγγα, καὶ οἱ τὰ ὁμήρου ᾄδοντες ποιηταὶ ῥαψῳδοὶ καλοῦνται. ¶Ρέα, ῥαδίως εὐχερῶς. ¶Ρέας πόρος, περὶ τὸν ἀδριακὸν κόλπον ἔνθα τιμᾶται ὁ βόσπορος. ¶Ρεγχονάριος, γειτονιάρχος. ¶Ρέγματα, τὰ βάμματα. ¶Ρέγος, ῥάμμα. βάμμα, ῥάκκος. ¶Ρεγισταὶ, οἱ βαφεῖς.

Ρ έγχειν, ἐπὶ τῶν κοιμωμένων. ¶Ρέδει, πράττει, θύει. ¶Ρεδίη, ζάχυλος, ἢ ῥεδέρη. ¶Ρεδίων, ἁρμάτων. ¶Ρέει. ῥέειν. ἔρρει, ἔρεεν, ¶Ρέε δ᾿ αἵματι γαῖα, κατερρεῖτο ἡ γῆ ἀπὸ τοῦ αἵματος. ¶Ρέεθρα, ῥεῖθρα, ῥεύματα. ¶Ρεέθρων, ῥευμάτων, ῥείθρων. ¶Ρέζει, πράττει, θύει, ἱερεύει. παρασκευάζει.

Ρ έζεσκον, ἔθυον, ἔπραττον. ¶Ρέζουσι, πράττουσι, θύουσι καὶ τὰ ὅμοια. ¶Ρεθέων, σπλάγχνων, μελῶν, σωμάτων. ¶Ρέθη, μέλη τοῦ σώματος, σῶμα. πρόσωπον. θεῖον. ¶Ρέθος, πρόσωπον, παρειά.

Ρ εῖ, ῥέει, χεῖται. ¶Ρεῖα, ῥαδίως εὐχερῶς, ἰσχυρῶς.

Ρ εῖα ζώοντες, ἀπόνως καὶ ἀμόχθως ζῶντες.

Ρ εῖα κεν, εὐχερῶς ἤνεγκεν. ¶Ριγεδανοῖς, φοβεροῖς

Ρ ιγηλὰ, φοβερά. ¶Ρίγησε βοὴν, ἐφοβήθη.

Ρ ειγῆνος. ἀπειράγαθος. ¶Ρείζω, ὠθήσω.

Ρ είης, ἐπὶ ῥέας. ¶Ρεῖθρον, ῥεῦμα, λέγεται δὲ καὶ ῥέεθρον, ¶Ρεινοτέρας, τὰς ἀσπίδας ῥινῶν, ὃ τιτρώσκων. ¶Ρεῖρος, παλαίπωρος. ¶Ρειτοὶ, ἐν τῇ ἀττικῇ δύο εἰσὶν οἱ πρὸς τῇ ἐλευσῖνι ῥειτοί. ῥωγμοί. καὶ ὁ μὲν πρὸς τῇ θαλάττῃ τῆς πρεσβυτέρας θεοῦ νομίζεται. ὁ δὲ πρὸς τὸ ἄστυ, ἐπὶ νεωτέρας ὅθεν τοὺς λουτροὺς ἀγνίζεσθαι τοὺς θιάσους. ¶Ρέκος, ζῶμα, θόνη.

Ρ εκτὸς, αὐθαίρετος, ἢ χετών. ¶Ρεκτῶν, ἀπὸ μακρῶν, ἢ ἱματίων. ¶Ρέμβεται, πλανᾶται. γυρεύει.

Ρ εμβέσθω, τὰ ὅμοια. ¶Ρεμβονᾶν, σφενδόνας,

Ρ εμεῖ, ὀδυνᾷ. σήπει. ¶Ρεμφθῆναι, ῥεμβεσθαι.

Ρ έμφος, τὸ στόμα ἢ ῥὶς. ¶Ρέξαι, ποιῆσαι, θῦσαι.

Ρ έξει, πράξει. θύσει, ἱερεύσει, παρασκευάσει, ἐργάσει ξέσει. ¶Ρέξομεν, ποιήσομεν, καὶ τὰ ὅμοια.

Ρ έοιεν, φθείροιτο ῥέοι. ¶Ρεοτὰ, ἐκπώματα.

Ρ εόντων, περιρρεομένων. ¶Ρεὸς, ῥεῦμα, ῥεῦμα θηρίον. ¶Ρέπει, κλίνει, βαρεῖ. καθέλκει. ¶Ρέπει, ἔβλεπε. ¶Ρέπις, ῥέψις, ῥέπει, ¶Ρ*ρπιδέων, τὸ πῦρ ἐκκαίουσι. ¶Ρεῦεν, ἐδίωκεν: ¶Ρεῦμιν, βρέφος νεογνόν. ¶Ρεύσαντα. ἐγκλίναντα.

Ρ ευσταλέον, ῥέον. ¶Ρευστὸν. χυτόν. ¶Ρεφέα, ἐστιγμένα. ¶Ρεφούγια, ῥεμπλά. ¶Ρεχθὲν, πραχθὲν, συντελεσθέν. ¶Ρέψας, κλίνας, στιγάσας. ¶Ρέωνος, ἐσωνος αὐθρός. ¶Ρήγια, παλλία βαπτὰ ὑπὸ ῥωμαίων, βεβαμμένα ἱμάτια. ῥηγεῖς γὰρ οἱ βαφεῖς.

Ρ ηγεὺς, βαφεύς. ¶Ρηγῖνος, τοὺς δειλοὺς, ῥηγίνους ἔλεγον. ¶Ρηγδαι, σίδηρα ὡς ῥάβδοι. ¶Ρῆγμα.

Πωλία, χαλκοῦν σχῆμά τι. φέρει δὲ ἐπὶ τῶν ὤμων τὰς τῶν Λευκιππίδων πώλους, δύο δὲ εἶναι πλῆθος φασίν. ¶ Πωλικοῖς δώμασι, τοῖς διὰ τῶν ἁρμάτων δώμασι. ¶ Πωλοδαμνεῖν, πῶλον δαμάζειν.

Πωλοδάμνης, πώλους δαμάζων.

Πωλοσέταιρα. πώλους γὰρ ἀντὶ τὰς ἑταίρας ἔλεγον. οἷον ἀφροδίτης πώλους, ὅ ἐστι νέους καὶ τὰς νέας καὶ παρθένους.

Πωλούμενοι, συνερχόμενοι. ¶ Πωλεῖσθαι, ἐπιμελῶς τὸ πολλάκις φοιτᾶν. ¶ Πῶμα. ἔκπωμα.

Πώμαλα, ἀντὶ τοῦ οὐ. οὐ μάλα. οὐδαμῶς καὶ πόθεν ὅ ἐστιν πάλιν οὐδαμῶς. ¶ Πῶμοι, πῦμοι, διόπου γάρ. ¶ Πῶννα, γραφεῖον λύπη.

Πῶπαι, φοραὶ δαιτῶν. ¶ Πωπολία, ἡ ἀναφορὰ τοῦ πόρου. ¶ Πωρεῖν, κωλύειν, πενθεῖν. ¶ Πωρῆσαι λυπῆσαι καὶ τὰ ὅμοια. ¶ Πωρητὶς, ταλαιπωρία πένθους. ¶ Πώρινον, λίθινον, ὁ δὲ πῶρος οὐ πᾶς λίθος. ¶ Πῶρος, ὁ ταλαίπωρος. ¶ Πώρωσις, ἡ ὀστέων σύμφυσις καὶ σύνδεσμος λέγεται δὲ καὶ σαρκῶν, πῶρος καὶ ἀναισθησία. ¶ Πῶς, πὸς ὑπὸ δωριέων

Ποσαχῶς, ποσαπλῶς. ¶ Πῶς τ' ἄρ, πῶς δή.

Πῶς τ' ἄρ τοι, πῶς δή σοι. ¶ Πῶς κεν ἔοι, πῶς ἂν γένοιτο. ¶ Ποτᾶσθαι, πέτασθαι.

Πωτέμεναι, διατρίβουσαι, διακινοῦσαι. ¶ Πωτῶνται, πέτονται. ¶ Πῶυ, ποίμνιον, ἡ ποίμνη.

Πώϋγξ, ποιὸς ὄρνις, ὁ ἀριστοτέλης, ἐν τῷ περὶ ζώων.

ΑΡΧΗ ΤΟΥ Ρ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Ρ ΜΕΤΑ ΤΟΥ Α.

Ρὰ, δὲ ὁ σύνδεσμος, ἄλλοι μὲν ῥὰ θεοί τε καὶ ἀνέρες, καὶ παρὰ ἰηξὶ, ῥιζίοντι. ¶ Ῥάας, ῥεύματα.

Ραβάττειν, ἄνω καὶ κάτω βαδίζειν, τινὲς δὲ τύπτειν καὶ ψόφον ποιεῖν καὶ φράσσειν τοῖς ποσὶ καὶ ῥάσσειν.

Ράβδια, τὰ διδασκαλεῖα. ¶ Ῥάβδοι, καὶ τὸ σύνηθες καὶ ἡ διάφυσις τῆς γῆς, ὥσπερ φλέβες, καὶ ὀβολοὶ δὲ οἱ παρατιθέμενοι τοῖς ὁμήρου στίχοις καὶ οἱ τῶν φοινίκων κλῶνες, καὶ ὁ βραβευτὴς ῥαβδονόμος.

Ραβδοφόροι, ῥαβδοῦχοι. ¶ Ῥάαι ἀκμὴ βία ὁρμὴ, καὶ ἣν ἡμεῖς ῥῶσιν θηλυκῶς, ἀττικοὶ ῥάαι.

Ράβδος, βέλος. ¶ Ῥάαισον, ῥᾷον ἔσεσθαι.

Ραγὰς, πίλυξ, ἡ σταφυλὶς ῥωγὰς ῥάγατον, ῥάνατα.

Ραγδαῖον, τὸ ὀξὺ ὁρμῆς μεστὸν ἢ ἄθρουν, σφοδρὸν ἰσχυρὸν φοβερὸν σκληρόν. ¶ Ῥαδαλὸν, ἁπαλὸν, ἀδιάστατον. ¶ Ῥαδαμάνθιος ὅρκος, ὁ ἐπὶ χηνὶ καὶ κυνὶ καὶ τοῖς τοιούτοις ὅρκος. ¶ Ῥαδαμεῖ, βλαστάνει.

Ράδαμνος, βλαστὸς, ἁπαλὸς κλάδος, ἄνθος. ὅρπηξ καὶ τὰ τοιαῦτα. ¶ Ῥάδαμον, καυλὸν, βλαστόν.

Ραδινᾶται, πλανᾶται. ¶ Ῥαδινὴ, κρόκος ὅμοιος ῥοδίνῃ. ¶ Ῥαδινίζεται, τινάσσεται.

Ράδινον, ῥᾴδιον, ἀπὸ τοῦ ῥᾳδίως δονεῖσθαι.

Ραδινῶροι, οἱ τῶν λαχάνων κηπουροὶ ταραντῖνοι.

Ραδὶς, ὁ ἀμφοτέρως ἐγκεκλιμένον.

Ράδια, εὔκολα εὐχερῆ. ¶ Ῥᾳδία, ὑπόδημα ποιὸν, οἱ δὲ σανδάλιον. ¶ Ῥαδινὸν, λεπτόν.

Ραδινόν, λεπτὸν, ἰσχνὸν, εὐκίνητον, ἁπαλὸν, εὐδιάσειστον.

Ραδιουργεῖ, ῥᾳδίως ποιεῖ, κακοποιεῖ, δεινοποιεῖ.

Ραδιουργὸς, πλαστογράφος, ὁ ταχυγράφος, πονηρὸς, μοχθηρουργός. πολυμήχανος. ¶ Ῥᾳδίως, εὐκόλως εὐχερῶς. ¶ Ῥαβδωνίες, θεράπαιναι.

Ραίζας, ὑγιάνας. ¶ Ῥάζειν, ζέγειν, κυρίως ἐπὶ τῶν κυνῶν, μιμητικῶς ἐπὶ τοῦ ἤχου. ¶ Ῥάθαγος, πάταγος, ἦχος, θόρυβος. ψόφος. ¶ Ῥαθάμιγξ, ῥανίς, ῥαθυμία. ¶ Ῥαθαίνεται, ῥαίνεται, βρέχεται.

Ραθάμιγγες, ῥανίδες, σταγόνες. καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτὸς, ἄλλοι ῥαθάμιγγας λέγουσι.

Ραθαπυγίζειν, ὅ τινες κομβίζειν, τὸ τοῖς σκέλεσι πλάτει παίειν κατὰ τῶν ἰσχίων, τὸ εἰς τὴν ἕδραν σιμῶς περὶ πολὺ τύπτειν. ¶ Ῥαθαπτόμενοι, ῥαινόμενοι, πλαττόμενοι. ¶ Ῥαθμίζεσθαι, ῥαίνεσθαι.

Ραθυμία, ἀμέλεια κατήφεια ἀνοχή.

Ράθυμος, ὁ μὴ πρακτικὸς ἀλλὰ ἔκλυτος ἄλλοι ἐπὶ τοῦ μεγάλου θυμοῦ κέχρηνται τῇ λέξει. ¶ Ῥαικὰ, κοινὸς

Ραιὰ, ὑψηλή. ¶ Ῥαθώδημα, ψεῦσμα.

Ραῖ, ῥᾷστον, ῥᾳδίως. ¶ Ῥαιβίας, ἀζήμιος δῆμος.

Ραιβὸν, ἐπικαμπὲς τὸ μὴ ὀρθὸν καμπύλον, στρεβλὸν, σκαμβόν. ¶ Ῥαιδάλες, ἐμφανές.

Ραίδια, σανδάλια. οἱ δὲ ὑποδήματα γυναικεῖα.

Ραιδῖται, σκώπτει. ¶ Ῥαίαν. ὑγίαν.

Ραίει, πορθεῖ, φθείρει. ¶ Ῥαίεται, πλανᾶται, φθίνει.

Ραίζεται, ὑγιαίνει. ¶ Ῥαικακορεῖς, στρεβλοκέρατοι.

Ραίκερας, χαλεπός. ¶ Ῥαικὰς, ἑλλίω, ῥώμαιοι δὲ τὸ γ προσθέντες, γραικόν φασι. ¶ Ῥαίνει, μιαρεῖ.

Ραίνουσι, ἐκβάλλοντο. κατεγχέουσιν.

Ραιξία, τόπος ἴδιος ἱεροῦ ἐν ταραντίνοις.

Ραίοιτο, φθείροιτο, πλανῷτο. ¶ Ῥαιομένου. φθειρομένου. ¶ Ῥαῖον, συγκριτικὸν ἢ εὐτρεπές.

Ραιουσῶν, φθειρουσῶν. ¶ Ῥαῖσαι, τρισυλλάβως ἀττικοὶ τὸ ἐκ νόσου ἀναλαβεῖν. ¶ Ῥαΐσας, ὑγιάνας, ἀνασφήλας. ¶ Ῥᾷστα, ῥᾳδίως εὐκόλως.

Ραιστάζει, πονεῖ, ὠθεῖ. ¶ Ῥαῖσαι, φθεῖραι.

Ραιστὴρ, σφῦρα σιδηρὰ μονοκέφαλος, τινὲς δὲ σκαπάνη.

Ραιστῆρα, ὁμοίως. ¶ Ῥαιστὸν, ὑποφθητικόν.

Ραίστωρ, κρατήρ. ¶ Ῥαίστω, βελτίονα ἔχω.

Ραιφάσσει, ἀγνυεῖ. ¶ Ῥαίω, φθείρω.

Ραίων, εὐθυμότερος. ¶ Ῥακιάζει ἱμάτια ξηραίνει.

Ράκελος, σκληρός. ¶ Ῥάκη, ἀποσκυρακίσματα καὶ ἀποσπάσματα ἱμάτια. ¶ Ῥακίδες, ὀρόδαμνοι κλάδοι. ¶ Ῥακκίζειν, τὸ διαιρεῖν τὰ μέλη διὰ ῥάχεως ἢ παίειν. ¶ Ῥακκίζων, ὁ διακόπτων.

Ρακλεός, σκληρός. ¶ Ῥάκκος, διερρωγὸς ἱμάτιον.

Ρακτήειον, ὄρχησις τίς. ¶ Ῥακτηείοις, κεύθοισιν ἀντὶ τοῦ ταῖς κόπαις διὰ τὸ ἀράττεσθαι, καὶ ἐν φιλοκτήτῃ τοῦ ἐν ῥοίᾳ μέλη βοῶν ἀνακυλα καὶ ῥακτήεια, ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη. ¶ Ῥακτήεια, ψοφώδη καὶ θορυβώδη. ¶ Ῥακτήεια, τύμπανα. ¶ Ῥάκρι, φάραγγες, πέτραι, χαράδραι. ¶ Ῥάκτος, λόφος.

Ρακτεία, τὰ ῥάβδια. ἐν οἷς τοὺς καρποὺς ἀπέξεσαν. ¶ Ῥακωλέον, ῥάκος. ¶ Ῥάμματα, βοτρύχια σταφυλὶς μακεδόνες. ¶ Ῥαμὰς, ὁ ὕψιστος θεός. ¶ Ῥαμβᾶς, ὁ δήμιος. ¶ Ῥάμνος, τὸ φυτὸν, ὅπερ εἰς ἀλεξιφάρμακον παραλαμβάνεται, καὶ δένδρον ἀκανθῶδες. ¶ Ῥαμψουσίας, ἰάκτας

φρουρῆς πυργίαν κώπην. ¶ Πυργηρούμεθα. ἔνδον ἐσμὲν τῶν πύργων, οὐ τολμῶμεν ἐξιέναι. γράφεται δὲ πυργιούμεθα. ¶ Πυργηροῦμεν, φυλάττομεν τὰ τείχη. ¶ Πυργηρούμενον, τὰ τείχη φυλάττον.

Πυργίον, μέρος τειχῶος. ¶ Πυργῖται, οἱ κρῆτες.

Πυργῖτις, βοτάνη. ¶ Πυργοβαρεῖς, οἱ προμαχῶνες.

Πύργος, προμαχεών. τεῖχος ἀλλ' ἐπὶ πύργου ἔβη καὶ τάξις ἐν τετραγώνῳ ὁπλιτῶν. ἔστασαν ὁπόσοι πύργος ἀχρειῶν ἄλλος ἐπελθών. καὶ πολεμιστήριον ὄργανον. ¶ Πυργοῦται, ὑψοῦται. ¶ Πυργοῦχος, μέρος τι τῆς νεώς. ¶ Πῦργον ἀνείρυον, ἐπεὶ διὰ πύργους εἷλκον. ¶ Πύργωσις, μέρος τι τῆς νεώς.

Πύρδαλον, ὀψοποιεῖον ὀπτανεῖον, καὶ τὸ καύσιμον φρύγανον, ἢ ξύλον. ἢ μαγειρεῖον, ἢ λείψανον. οἱ δὲ πυρδαμόν. ¶ Πύρδανα, τὰ λείψανα καὶ τὰ ζώπυρα τοῦ πυρός. ¶ Πυρέας, πυρπολήτας, ἐμπυρεοῦντας τὴν πόλιν ἀπὸ τῶν πυρείων εὐθείας. ¶ Πυρεῖον, ἀγγεῖον κεράμιον εἰς πυρὸς ἔνθεσιν. ¶ Πυρείνεσι, ἅρμασι. ¶ Πῦρ ἐπὶ πῦρ, παροιμία ἧς μέμνηται Πλάτων, καὶ κακὸν ἐπὶ κακῷ. ¶ Πυρετὸς, φλογισμὸς, καῦμα. τὸ δὲ σῶμα πῦρ λέγεται. ¶ Πυρῆνες, τὰ ἔνδον τῶν ἐλαιῶν ὀστᾶ. ¶ Πυριαστὴν, τὸ ἑφθὸν πυρί. ὃ γίνεται ἐκ τοῦ πρώτου γάλακτος. ¶ Πυριάτης, συνετός. ¶ Πυρινίζειν. ¶ Πυριβρεμέτης, ὁ χαλινός. τιμαχίδας δὲ ἤτοι ὁ πυρὶ βρέμων, ἢ διὰ πυρὸς βρέμοντος γεγονώς. ¶ Πυρίεφθα τὸ πρωτογόνατος. ¶ Πυριήκεα, πῦρ ἔχοντα τὰ πυρωμένα. πυρίνην τὴν ἀκμὴν καὶ τὸ ἄκρον ἔχοντα ἢ ἔχουσαν.

Πυρίκαυστος, πεπυρωμένος. ¶ Πυρὶ κηλέῳ διαυγεῖ τινὲς καυστικῷ. ἰσχυρῷ. ¶ Πυρικρόταφος, ὁ μετὰ πυρὸς κεκροτημένος σίδηρος. ¶ Πυρίμαχος, ὁ ἐν τῇ μάχῃ ἀνίκητος καὶ λίθος ἀπὸ τοῦ συμβεβηκότος πυρίμαχος. ¶ Πυρίνη, τὸ σκεῦος, ἢ θυμιατήριον.

Πυρισμαράγοις, οἷς ἀπὸ πυρὸς ἠχοῦσιν. ¶ Πυρίτης, λίθος, ἀφ' οὗ πῦρ τίκτεται. ¶ Πυριφλεγέθων, ποταμὸς ἐν ᾅδου. ¶ Πυρκαϊὰ, ἐμπρησμός.

Πυρκόοι, ὑπὸ Δελφῶν ἱερεῖς δι' ἐμπύρων μαντευόμενοι. ¶ Πύρνα, δρύφη. κλάσματα σιτία.

Πυρνὴ, ὅσα τῆς μάζης συμπιέζουσι τῇ χειρὶ εἰς τὸ στόμα λαμβάνουσι. ¶ Πύρνηται, ἐσθίεται. ¶ Πύρνοι. ζέαι σιτώδεις, ἢ ὁ κατειργασμένος σῖτος. ἄλλοι χόρτος. ἄλλοι μαγίδας. κυριωτέρως ἐπυρνάωσαν. πύρνα, καὶ τὰ κνηστήρια ἀγγεῖα. ¶ Πυρνῆς, ψωμός. ¶ Πυρουλκίσιον, μαγειρεῖον. ¶ Πυρόεντι, θερμῷ. ¶ Πυροὶ, πύρινοι κεκινημένοι. ¶ Πυρὸς αὐγὴ, ὁ κατειργαζόμενος καὶ καταφωτιζόμενος τόπος ὑπὸ πυρός.

Πυρὸς δηΐοιο, ὑπὸ τοῦ πυρὸς τοῦ πολεμικοῦ. ¶ Πυρὸς, σῖτος. ¶ Πυρὸς μειλισσέμεν, καὶ διὰ πυρὸς τὰ κεχειρισμένα ποιεῖν. τουτέστι θάπτειν. ¶ Πυρὸς μένος, πῦρ περιφραστικῶς. ἤγουν πυρὸς δύναμις.

Πυρὸς ἄνθος, τὸ λαμπρότατον. ¶ Πυρὸς δέμας, ὀξέως καὶ ἰσχυρῶς. ¶ Πυρολαμπὶς, ζῷον πτηνὸν ἐν σκότει λάμπον. ¶ Πυροφόροιο, σιτοφόρου.

Πυρπαλάμος, πυρπαλάμους ἔλεγον. τοὺς διὰ τέχνης τι μηχανᾶσθαι δυναμένους καὶ ποικίλους τὸ ἦθος.

Πυρπολεῖ, ἅπτει. καίει. πυρσεύει. ¶ Πυρπολέοντας.

πυρπολουμένοις ἢ περὶ τὴν πυρὰν ἀναστρεφομένοις.

Πυρπολούμενος, ἐμπυριζόμενος. παρὰ τὸ πολεμεῖν ἐν αὐτῷ τὸ πῦρ. ¶ Πυρσοβρέγχει, κρατῖνος ἀπὸ θυράμβου ἐν βουκόλοις ἀρξάμενος, ἐπειδὴ χορὸν οὐκ ἔλαβεν, παρὰ τὸν ἄρχοντος ἔστιν οὗ * ἐτήρει.

Πυρραία, λόφος ἐν δηλίῳ, οἱ δὲ πυρραίαν εἶναι μοῖραν τῆς Θεσσαλίας λέγουσιν ἀπὸ πύρρας τῆς Δευκαλίωνος ὡς σουίδας. δοκοῦσι δὲ εἰς ταύτην καταφυγεῖν οἱ διαφεύγοντες τῶν κενταύρων. ¶ Πυρραίη, Θήπιδος ἐπώνυμον. ¶ Πυρραλὶς, ὄρνις ποιός.

Πύρρακος, ἥρως κατ' ἐρυσίχθονα γεγονώς. ¶ Πυρρίδαι, οὕτως ἐκαλοῦντο οἱ νῦν μολοσσοὶ ἀπὸ πύρρου τοῦ ἠπειρώτου. ¶ Πυρρίας τῶν ὄφεων τὶς ἀπὸ χρώματος. ¶ Πυρρίχα, χλαμὺς ἢ πλατεῖον.

Πυρρίχας, τὰς ἐνοπλίους ὀρχήσεις. ¶ Πυρριχίζειν. τὴν ἐνόπλιον ὄρχησιν καὶ σύντονον πυρρίχην ἔλεγον οἱ μὲν ἀπὸ πυρρίχου τοῦ κρητὸς, οἱ δὲ ἀπὸ τοῦ διαπύρους εἶναι. οἱ δὲ ἀπὸ πύρρου τοῦ ἀχιλλέως. ἡσθέντα γὰρ ἐπὶ τῷ εὐρυπύλου φόνῳ, ὀρχήσασθαι φησὶν ἀρχίλοχος, ὅθεν καὶ ὁ πυρρίχιος ποὺς ὠνομάσθη.

Πυρρῶνες, κύριον ὄνομα ἢ κυνός. ¶ Πυρσαῖς, γένυξι. ταῖς ξανθαῖς θριξί. ¶ Πυρσανίδες, οὕτω νύμφαι καλοῦνται. ¶ Πυρσεύει διαυγεῖ. λάμπει. ἐξάπτει, ἅπτει πῦρ. ¶ Πυρσοὶ, λαμπάδες καιόμεναι, λαμπτῆρες, φρυκτωρία. ¶ Πυρσοκουρολέοντος, πυρροκεφάλου, ξανθοτρίχου. ¶ Πυρσολεῖφοι, ἢ πυρσολειφεῖς, ὑπὸ πυρὸς μεμαλασμένοι καὶ πεφλογισμένοι. ¶ Πυρσὸς, λαμπὰς. ἢ τὰ διὰ πυρὸς σημεῖα.

Πυρσοφόρος, ἀγγεῖον εὐμέγεθες, εἰς ὃ ξύλα ἐτίθεσαν πεπυρωμένα. ἢ ὁ τὸ πῦρ φέρων ἀπὸ τοῦ πρώτου βωμοῦ ἐπὶ τὰ ὅσια καὶ φυλάττων μὴ ἀποσβεσθῇ, σημαίνει δὲ τὸν λαμπαδηφόρον. ¶ Πυρσῶ, πυρί. ¶ Πυρφόρος, ὁ πυρφέρων, καὶ ὁ μόνος διασωθεὶς ἐν πολέμῳ.

Πυρώλοφοι, ἱμάντες οἱ περὶ ὀπτηθεισῶν βυρσῶν τεμνόμενοι. ¶ Πύρωσις, δοκιμασία. ¶ Πυσκενία, πανσπερμία ἑφθή. ¶ Πύσει, σήψει. ¶ Πύσμα, ἐρώτησις, πῦσις. ¶ Πύσταχος, ξύλον καμπύλον τοῖς μόσχοις περὶ τοὺς μυκτῆρας τιθέμενον ὃ κωλύει θηλάζειν. ¶ Πύστις, ἐρώτησις πεῦσις, ἀγγελία. ἀκοὴ, πειθώ. ¶ Πυττὰ, λάκωνες τὰ ἐρυθρὰ ἱμάτια.

Πιτιάδιον, τὶ πλεῖα οὖσα, παρὰ τὸ πιπλεῖν ἐν ᾗ τὸ πάλαι πήγνυται. ¶ Πίτυλος, ἡ συστροφὴ τῆς χειρὸς, ὅταν πυκνῶς ἐπιφέρηται. δηλοῖ δὲ καὶ τὴν εἰρεσίαν. ἢ τὴν τῶν πυκτῶν ἑκατέρας χειρὸς συνέχειαν.

Πυτίνη, πλεκτὴ λάγυνος. πυτίνην ἔπλεκον δὲ ταῦτα ὡς ἐπιπολὺ οἱ δεσμῶται, καὶ σπυρίδας καὶ τὰ τοιαῦτα. ἢ ἡ ἀμὶς. ἢ κνῆκος ἢ τὸν τυρὸν πηγνύων.

Πῶ. ποῦ, ὅθεν. πόθεν δηλονότι. ¶ Πώγων. γένειον, ἄλλοι τὴν ἀναφορὰν τῆς φλογός. ¶ Πῶεα, βοσκήματα, ποίμνια, πληθυντικῶς. ¶ Πωλεῖται. συνεχῶς ἐπὶ τὸν αὐτὸν τόπον παραγίνεται, τὸ δὲ καθ' ἡμᾶς πωλεῖσθαι περιδινεῖσθαι λέγεται.

Πωλέσκετο, ἀνεστρέφετο εὑρίσκετο. ¶ Πωλεύειν, παιδεύειν πώλους. ¶ Πωλεύμενοι, συνιόντων.

Πωλήσεαι, φοιτήσεις παραγενήσῃ, ἀναστρέψῃς.

Πωλῆται. οἳ ἐπώλουν τὰ ἐνεχυρωθέντα ἀρχεῖα.

Πυγμαίων, ὁ ἄδωνις παρὰ κυπρίοις. ¶ Πύγματος, ἔσχατος ἄσεβος. ¶ Πυγμὴ, γρόνθος, πυγμή. ὅπερ δὲ συγκλείεσθαι τοὺς δακτύλους. ¶ Πυγόνος, τοῦ πήχεος. ἔστι δὲ ὁ πυγὼν ἀπὸ ὠλεκράνου ἄχρι τοῦ μικροῦ δακτύλου. ¶ Πυγόειζαι, οὕτω καλοῦνταί τινες τῶν ῥιζῶν. ¶ Πυγὸς, ὁ πῆχυς. ¶ Πυγοσκελὴς, ζῶόν τι καὶ ὁ βραχύς. ¶ Πυγούσιον, πηχυαῖον.

Πυγὼν. μέτρον, τὸ ἀπὸ τοῦ ὠλεκράνου ὅπερ ἐστὶν ὁ ἀγκὼν, ἕως ἔξω τῆς χειρὸς, ἐπικεκαμμένων τῶν δακτύλων, καὶ σπιθαμή. ¶ Πυδαρίζειν, τὸ μὴ ἀνέχεσθαί τινος ἀλλ' ἀποπηδᾶν χαλεπαίνειν. ¶ Πυελίον, πύελος χαλκῆ. ¶ Πυελὶς, σφραγιδοφύλαξ καὶ πίνη. ἀρτοθήκη ἀλφιτοθήκη, ἔνθα ἡ ψῆφος ἐν δακτυλίῳ.

Πύελος, ἐν ᾧ οἱ πυροὶ ἐπλύνοντο, σκάφη ἐμβάτη.

Πυὴρ, ἀναπεπλασμένον. ¶ Πύθια, πανήγυρις, καὶ ἑορτὴ ἑλληνική. ¶ Πυθέσθαι, ἀκοῦσαι. ἐρωτῆσαι. γνώσεσθαι. ¶ Πύθεται, σήπεται, φθίνει, βρέχεται.

Πύθιον, τὸ ὕδωρ θουκυδίδης. ¶ Πυθίων, ἀνακτόρων ἤτοι τοῦ ἐν χρυσῷ ἱεροῦ ὅπερ ἀπόλλωνος.

Πυθμένα, ἐλαίας τὴν ἀρχὴν καὶ τὴν ῥίζαν. ¶ Πυθμένες, βάσεις αἱ κατὰ τῶν δένδρων.

Πυθμὴν, τὸ ὑποκάτω τῆς λεκάνης, καὶ παντὸς σκεύους, γένεσις ἀρχὴ ῥίζα, καὶ τῆς μήτρας τὸ ἄνω μέρος, καὶ ἀριθμός τις παρὰ τοῖς γεωμετρικοῖς.

Πυθοῖ. ἐν πυθῶνι. ¶ Πύθοιτο, σαπείη. ¶ Πυθόληπτος, ὑπὸ τοῦ πυθικοῦ. ¶ Πύθομαι, ἀκούω.

Πυθόμενος, ἀκούσας ἐρωτήσας μαθών. ¶ Πυθομένων, σηπομένων. τὸ γὰρ πύος αἷμά ἐστι κατὰ μεταβολήν. ¶ Πύθου, ἐρώτησον. ¶ Πύθοντο ἤκουον ἔμαθον. ¶ Πύθου χελιδόνος, παροιμιῶδες, διότι ὀδυρτικὸν τὸ ζῶον, θρηνεῖ γὰρ ἡ χελιδὼν καὶ ἀηδὼν, τὸ δὲ ἀληθές. ἀπὸ χελιδόνος τινὸς θεολόγου ἢ στρατοσκόπου. ¶ Πυθώ, πόλις φωκίδος. πυθῶδε ὁδὸς, παροιμία ἐπὶ τῶν τὰ αὐτὰ πραττόντων.

Πύθων, ὁ ἐγγαστρίμυθος, ἢ ἐγγαστρίμαντις ἢ βυζάντιος τὸ γένος. ¶ Πύθων, δαιμόνιον μαντικόν.

Πύον, τὸ γάλα. ¶ Πύκα, ἐπιμελῶς, πύκα δὲ, ζέφει. καὶ πύκα ποιητοῖο τοῦ ἐπιμελῶς κατεσκευασμένου, καὶ πυκινὸν λέχος, τὸ ἐπιμελείας ἠξιωμένον, διὰ τὸ ἐκ πολλῶν ἱματίων εἶναι. ¶ Πύκαζε, κάλυπτε, στέφανε, πύκνου. ¶ Πυκάζουσι, καλύπτουσι, στεφανοῦσι, πυκνοῦσι κρύπτουσι. φυλάσσουσι, σκέπουσι, περιβάλλουσι, στιάζουσι, σκιάζουσι. ¶ Πύκα ποιητοῖο, ἐπιμελῶς κατεσκευασμένου. ¶ Πυκασάντων, καλυψάντων.

Πυκασμὸς, δασύτης γεννήματος. ¶ Πύκ' ἐβάλλετο, πυκνῶς ἐβάλλετο. ¶ Πυκιμήδεος, συνετοῦ ὁ ἐπιμελοῦς κατὰ τὸ ποιῆσαι. ¶ Πυκινὴν, συνετὴν. στερρὰν, ἰσχυρὰν, συνεχῆ. ¶ Πυκινοῖσι, συνεχέσι καὶ τὰ ὅμοια. ¶ Πυκινὸν δὲ ἄχος, πυκνὴ λύπη. ¶ Πυκινὸν, συνετὸν, συνεχῆ, λέχος διὰ τὸ ἐκ πολλῶν ἱματίων τὰ στρώματα συντίθεσθαι. ¶ Πυκινόφρων, πολύφρων, σώφρων. ¶ Πυκνὰ, συχνὰ, συνετὰ παλαιά. ¶ Πυκνὰ, πέτρα; τὸ ἐν ἀθήναις δικαστήριον τὸν πνύκα ἴσον. ¶ Πυκναίοις, παλαιοῖς. ¶ Πυκνὰ ῥογαλέην, πυκνὰς ῥαγάδας ἔχουσαν. ¶ Πυκνῶς, συνεχῶς συχνῶς. ¶ Πύκτας. γρόνθοις ἀγωνιστάς.

Πύκτης, πολέμιος αἰσχύντης. ¶ Πύλα, πύλαι.

Πυλαγόραι, οἱ πρεσβεύοντες ἐπὶ πυλαίας. πυλαία δέ ἐστιν, ἡ εἰς πύλας τὰς θερμοπύλας γινομένη σύνοδος τῶν ἀμφικτυόνων. ¶ Πύλαι, ἀριστοφάνης τελμησσεῦσιν ἀπὸ τῶν θυτῶν λέγει. ἐκεῖνοι γὰρ ἐπισκέπτονται τὰς ἐκφορὰς τοῦ ἥπατος καὶ τὰς φλέβας. διὸ καὶ τὰς ὁδοὺς πύλας λέγουσιν. ὁ ποιητὴς γὰρ οὐδέποτε πύλην ἑνικῶς λέγει. ἀλλὰ πληθυντικῶς, θύραι μέντοι ἢ θύρας λέγει, θυράων ὑψηλάων. ¶ Πυλαιασταὶ τοὺς ψεύστας ῥόδιοι. ¶ Πυλαιστίδες, αἱ ἐν κάλλει κρινόμεναι τῶν γυναικῶν καὶ νικῶσαι.

Πυλαίμαχος, πολέμαρχος, ἢ ὄνομα κύριον.

Πύλαι, οὐρανοῦ τὰ νέφη. ¶ Πύλαρνα, τὰ στελέχη.

Πυλάρταο, τῇ πύλῃ προσηρτημένης. ¶ Πυλάρταο, κρατεροῖο, τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτοῦντος. ἢ ἡρμοσμένας ἔχοντος. λέγει δὲ ἐπὶ τοῦ ἅδου πυλωροὺς, ἰσχυρούς. ¶ Πυλατίδες, ἀγοραὶ, ὅπου συνίασιν οἱ ἀμφικτύονες εἰς τὴν λεγομένην πυλαίαν ἐν τῇ πανηγύρει. ¶ Πυλαωρός, πυλωρός. ¶ Πυλαωροὺς, τοὺς πύλας φυλάσσοντας. τινὲς δὲ κλέπτας.

Πύλος, πόλις. ¶ Πύλη, θύρα. ¶ Πυλέων, στεφάνων.

Πυλαυρὸν, πυλωρόν. ¶ Πυληγόροι, τελῶναι καὶ οἱ τῶν πανηγύρεων ἐπιμεληταί. ¶ Πυλήνη, πόλις αἰτωλίας. ¶ Πύλιγγες, αἱ ἐν τῇ ἕδρᾳ τρίχες. καὶ ἴουλοι βόστρυχοι καὶ κίνιοι. ¶ Πυλλεῖ, θραύει. λέγεται διαβολή. θρυλλεῖ. ¶ Πύλῳ αὐτὶ τῇ πύλῃ τοῦ ᾅδου. ¶ Πυλωλάκτας, κακοδυμεσούς. ¶ Πυλὼν, στέφανος. ¶ Πυλωρὸς, ὁ πυθμὴν τῆς κοιλίας.

Πυμάτοις, ἐσχάτοις. ¶ Πύματον, ἔσχατον. πληθυντικόν. ¶ Πύνδαξ, πυθμήν. ¶ Πυνθάνομαι, ἀκούω,

Πυνθανόμην, ἤκουον. ¶ Πυνιάζειν, εὐφραίνειν, ὡς ἀρραίνειν. ¶ Πυνικοὶ, τοῖς ἑφθοῖς ἐρεβίνθοις καὶ φακοῖς. ¶ Πυόνα, ὁ ἦρα ¶ Πύννος, ὁ πρωκτός.

Πύνοις, κυάμοις ἑφθοῖς. ¶ Πὺξ, πυγμή. γρόνθος.

Πυξίδα, δίπτυχα. ¶ Πύξινον, χρῶμά τι ἱματίου.

Πὺξ, ἱμαντωμένην κλίνην. ¶ Πύον. γάλα τὸ πρῶτον ὃ πήγνυται ἑψόμενον. ¶ Πυππάζουσι, φωνῇ ἐπιχρῶνται. ¶ Πύππαξ, τὸ νῦν βόμβαξ λεγόμενον, πύππαξ ἔλεγον ὡς λυκόφρων ᾤετο, οὐκ ἔστι δὲ. τὸ μὲν γὰρ βόμβαξ τίθεται ἢ ἐπὶ σχετλιασμοῦ, καὶ ἐπὶ γέλωτος. τὸ δὲ πύππαξ αὐχεῖ. ¶ Πῦρ, πυρετός.

Πυράγρα καρκίνος πυράγρη, ἢ πυράγρα χαλκευτικὸν ἐργαλεῖον. καρκίνος, πάγουρος. ¶ Πυραὶ, πυρκαϊαί.

Πυραῦνος, πῦρ ἐνδυόμενοι. λέγεται δὲ καὶ τὸ ἀγγεῖον ἐν ᾧ φέρεται καὶ τὸ πῦρ οὕτω. ¶ Πυρράκης, ξανθός.

Πυρακτῶν, ἐμπυρεύων. ¶ Πυραμίδες, πυροειδεῖς λαμπάδες. ¶ Πυραμοῦντα, τὸν πυραμίδα. ¶ Πυραμίδες, οἰκοδομήματα γεωμετρικὰ ἐπὶ τὰ κάτω κατερχόμενα. ¶ Πύραμος, ποταμὸς κιλικίας, ἄλλοι δὲ χόρτον οὕτω καλοῦσι. ¶ Πυραμοῦς εἶδος πλακοῦντος ἐκ πυρῶν πεφρυγμένων καὶ μέλιτι ἀναδεδευμένων. ¶ Πυράμηγα, ὁ μέλισσα. ¶ Πύρασος πόλις. ¶ Πύραυνον, εἰς ὃ ἂν πῦρ ἐνακύηται δελίαν ἢ βόλβιτον, ὁ τοιοῦτόν ἐστι. οἱ δὲ τὴν θερμάστραν.

Πυργηδὸν, κατὰ τάξιν τείχους. ¶ Πυράγρα. τὰ θωράκια. ¶ Πυργήρως, μετέωρος ὡς πύργος καὶ ἐν

πρῶτον ἀποπειρᾶσθαι. ¶Πρωτόμφαλον, τὸ ἐπὶ
ἀσπίδος μέσον. ¶Πρώτην ὑπολωΐτην, τὴν ἀπαρχὴν
ἔχοντα γενειάδος. ¶Πρωτοπαγεῖς, οἱ πρῶτον πε-
πηγμένοι δίφροι καινοί. ¶Πρωτοπραξία, τὸ πρῶτον
εἰσπραττόμενον. ¶Πρωτοστάτης, ὁ πρῶτος παρὰ
τὸ κέρας τῆς παρατάξεως τεταγμένος.
Πρωτέρκος, ἡ πρώτη τετοκυῖα, καὶ ὁ πρῶτος τεχθείς.
Πρωτοτύπως, ὁ ἀκολούθως, πρωταυγός.
Πρωτορύμιον, παρὰ ἄκρῳ τοῦ ῥυμοῦ.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Τ.

Ταίει, πίπτει ἁμαρτάνει σφάλλει.
¶Πτάρ ἔπτη, ἔδραμεν. ¶Πτακέσιοι πτακί-
δες δειλοί, ἐπτηχότες καὶ πτακισμός.
Πτακτορεῖν, πτήσσειν δεδιέναι. ¶Πτακλὸν, ἐφ᾽ ᾧ
ἡ σταφυλὴ πατεῖται. ¶Πταμένη, πετασθεῖσα.
διελθοῦσα. ¶Πτάξ, πτακὶς, πτώξ. δειλός.
Πτέτω, ἔπτη ἔδραμεν. ¶Πταώτην. καταπεπληχότα.
Πτελέα, σῦς, ἀπὸ λακώνων. ἢ εἶδος δένδρου.
Πτελεάδης, πτελεώδης. ¶Πτελεὸν, τὸ συλλέγεσθαι.
Πτελεὸς, πόλις. ¶Πτερὰ, πτέρυγες, ἢ οἰκοδομήμα-
τα ἱδρυμένα ἐκ λίθων. ¶Πτέρθισις, τείχεσι διαστήμα-
σιν. ¶Πτελεΐδες, τῶν νυμφῶν τινὲς οὕτω καλοῦνται
ἀπὸ τῆς πτελέας. ¶Πτέρνα, τοῦ ἀρότρου τὸ σιδήρειον τὸ
καταπετεῖνον ὑπὸ τὴν γῆν καὶ τοῦ ποδός. καὶ τὰ ἔσχατα
μέρη τῶν ὀρῶν. ¶Πτέρνεται. πτέρνης τῆς πορείας
τοῦ βίου. ¶Πτερνιεῖ, παγιδεύει. ¶Πτερνίζει,
ἀπατᾷ. συμπατεῖ, ἀτιμάζει, ὑβρίζει.
Πτερνὶς, τὰ πυθμένια τῶν ἰατρικῶν λεκανίδων ἃ μέ-
χρι νῦν πτερνίδια ἀλυσειδέσι μακροῖς ἐν τοῖς ἰατρεί-
οις. καὶ εἶδος ἱέρακος. ¶Πτερνισμὸν, ἐπιβουλή.
Πτερνοβάτης, τῶν ἰατρικῶν τις ἐπιδέσμων.
Πτερόεντα. ταχέα. οἱ δὲ πεφορτισμένα κοῦφα διάρ-
μοστα. ¶Πτερόεντα, ὁμοίως. ¶Πτεροῖ, διαίρει.
Πτερὸν, σκιωή. ¶Πτερονόμος, τοῖς πτέρνοις νομεῦ-
σα καὶ νεμομένη. ὅθεν καὶ τὸ νέμειν ἐπιστρέφειν ἄγειν.
Πτεροφόροι, τέλος τι στρατιωτικὸν, ἢ ὡς διὰ τὴν ἐν
τοῖς λόφοις πτέρωσιν. καλοῦνται δὲ οὕτως καὶ τῶν
ἐν αἰγύπτῳ ἱερέων τινές. ¶Πτέρυγες, θυσιαστηρίου,
τὰ πινάκλια. καὶ μέρος χιτῶνος τὰ περὶ τὰ κράσπε-
δα. δηλοῖ δὲ καὶ τῶν πυλαλίων τὰ πλατέα καὶ τὰ χεί-
λη. ¶Πτέρυγες, σκέπαι. ¶Πτερύγια, μέρος
τι τοῦ ῥυμοῦ καὶ τοῦ πνεύμονος τοῦ λοβοῦ τὰ ἄκρα. καὶ τοῦ
ὠτὸς τὸ ἄνω, καὶ ξίφους τὰ ἑκατέρωθεν, ἢ τὰ ἄκρα τῶν
ἱματίων. ¶Πτερυγίζειν, μηδέπω αἴρειν, ὅταν γὰρ τὰ
μήπω δυνάμενα πέτεσθαι τῶν ὀρνέων πειράζοντα ἐπ-
ιβάλληται καὶ κινεῖ τὰς πτέρυγας, πτερυγίζειν λέγε-
ται. ¶Πτερύγιον, ἀκρωτήριον πτέρυξ.
Πτερυξαμένη, διασείσασα. ¶Πτερύσσεται, τὰ πτε-
ρὰ τινάσσει, πέτεται. ¶Πτερυγοτύραννος, ὄρνις
ποιὸς ἐν ἰνδικῇ ἀλεξάνδρῳ δηλοῖς.
Πτερῶν, ἀλλητρέορχος, ἢ πτερῶν, ἢ στρουθίας εἶδος
ὀρνέου. ¶Πτερῶν, ταρσοῦ τῶν πτερῶν. ¶Πτε-
ρωτὸς, πετεινοῖς. ¶Πτερωθεὶς, ἀναπτερωθείς.
Πτηνὸς, ὁ ἐπτοημένος. ¶Πτῆξαι, δειλιάσαι

Πτήξαντα τὴν ὄψιν εἰς τοὔδαφος καταβαλόντα.
Πτήξειν, εἰς φόβον ἤγαγεν. ¶Πτῆναι, ταχέως ἐκ-
χεῦναι. ¶Πτήσσων, ὑποπίπτων κρυπτόμενος.
Πτῆσαι, ταχέως πέτεται. ¶Πτίλα, πτερὰ ἁπα-
λά. ¶Πτιλὸς, ὁ μακρὸς καὶ λελεπισμένος τοὺς
ὀφθαλμούς. ¶Πτίσαι, κόψαι. ¶Πτίσον, κόψον.
Πτισάνη, κυκεών. ¶Πτίσατε, ἀποδερματίζετε.
Πτόησις. δειλία. ¶Πτοία, πταρμός. φόβος.
Πτοίαν, ἢ πτοῖον, θόρυβος ἢ ταραχή. ¶Πτοιούμενον,
πτοιᾶσθαι λέγεται τὸ παρορμᾶσθαι πρὸς τὰ ἀφροδί-
σια. ¶Πτολέμοιο, πολέμου. ¶Πτολίεθρον, πό-
λιν. ¶Πτόλις, μαῦρος. ἢ πόλις. ¶Πτολεμί-
ζωμεν. πολεμίσωμεν. ¶Πτολίεσσι, πόλεσι.
Πτόρθος, κλάδος βλαστός. ¶Πτολίπορθος, πολεμι-
στής, ἀπὸ τοῦ τὰς πόλεις πορθεῖν. ¶Πτόρθος, ὄρ-
πηξ, βλαστὸς κλάδος, ἢ ἔκφυσις τοῦ δένδρου θαλλός.
Πτόσιμον, ταχὺ φρόνιμον. ¶Πτοισμός, φροντι-
σμός. ¶Πτύγμα, κόλπωμα, δίπλωμα.
Πτύελον, σκεῦος ἐπιτήδειον πρὸς λουτρὸν, ἢ πτύσμα.
Πτυκτίον, πτυκτίον, βιβλίον. ¶Πτυκτὸν, πτυσσό-
μενον ἢ καμπτόμενον. ¶Πτύξ, ἡ πτύχη, ἡ πλέξις.
Πτύξις, δίπλωσις, κάμψις. ¶Πτύον, θρῖναξ, ξύ-
λον ἐν ᾧ διαχωρίζουσι τὸν σῖτον ἀπὸ τοῦ ἀχύρου.
Πτυόφιν, τοῦ πτύου, ἔστι δὲ γεωργικὸν ἐργαλεῖον.
Πτύηχλεν, ὑπόδημα ἀνδρεῖον. ¶Πτύρεται, κλᾶται
κραδαίνεται. σείεται, φοβεῖται, φρίττει.
Πτυρμὸς. φρίκη καὶ τὰ ὅμοια. ¶Πτύρσει. κραδαίνει
ἢ τὰ δόρατα διπλοῖ. ¶Πτυρσοίμεθα, κολακεύοι-
μεν. ¶Πτυχαί, στοαί, περιβολαί. ¶Πτύχες,
μερίδες, καὶ αἱ τῶν ὀρῶν ἀποκλίσεις. εἰσὶ δὲ αἱ φά-
ραγγες. ¶Πτωΐδες, νύμφαι. ¶Πτωκὰς, κύ-
πειρος παρὰ σιμμία ἢ ποία διὰ τὸ χαμαλὴ εἶναι.
Πτῶκες δειλοὶ λαγωοὶ δορκάδες ἔλαφοι νεβροί.
Πτώματα, αἱ συρρύσεις ἐν τοῖς μετάλλοις.
Πτὼξ λαγωὸς, ἀπὸ τοῦ καταπεπληχέναι ἢ πετεινόν.
Πτώσσει, ἑαυτὸν. κατακρύπτει, φοβεῖται. δέδιε.
Πτωκαζέμεναι, κρύπτεσθαι. περικάμπτειν.
Πτώσσονται, δειλιῶνται. ¶Πτωτὸν, τὸ πίπτον.
Πτωχεύειν, ἐπαιτεῖν ἀπὸ τοῦ πτώσσειν, ἢ πτίχει, ἤγουν
ταπεινοῦσθαι.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Υ.

Πύελος. ἡ ἀσάμινθος, ἢ λάρναξ. ¶Πυάνιον, τὸ
διὰ τοῦ γάλακτος ῥόφημα, οἱ δὲ πανσπερμίαν
ἑψημένην ἐν γλυκεῖ. ¶Πύανοι, κύαμοι, καὶ
παροψώνιον. ¶Πυανέψια, ἑορτὴ ἀθήνησιν. ἑορτὴ
δὲ παρόσον κυάμους ἐμπίπλανται καὶ ἄγεται πυα-
νεψιῶνος ἑβδόμη. ἐπειδὴ ἕψουσιν ἔτνος, οὕτω δὲ κέ-
κληνται ὑμῶν. καὶ ἡ ἑορτὴ, διὰ τὸ ἀθάραν ἕψειν ἃ κα-
λοῦσι πύανα. ¶Πύαρ. πιτύα.
Πυγαίας, τὰς σπείρας τῶν κιόνων καὶ τοῦ σώματος ἡμῶν
τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν. ¶Πυγμαίησι, πυγμαίοις
ἔθνος δὲ τοῦτο πρὸ τῆς αἰγύπτου, μικροφυῶν ἀνθρώπων.
Πύγαργος, εἶδος ἀετοῦ. ¶Πυγὴ τὸ κάθισμα.
Πυγμαῖοι, ἔθνος πόρρω τῆς αἰγύπτου παρὰ μεγέθει πάνυ μι-
κρὸν, οἷον πηχυαῖον.

μος, ἐννοοῦσα, καὶ προνοηθεῖσα. ⸿Πρόφρον, ὀνείδιζε, πρόαγε, προκόμιζε, πρόφερε ὅμοιον.

Π ροφρεῖς, οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι.

Π ροφρέσθαι, τὸ τοῖς διαλεγομένοις εὐνοϊκῶς προσδέχεσθαι. ⸿Προφρέστεροι, κρείττονες ὑπερέχοντες κρειττόνων, βελτίους. ⸿Προτροφία, εὐλαλία ἐτυμολογία. ⸿Πρόφρασις δὲ πρὸ τοῦ καθήκοντος χρόνου εἰς φῶς αὐτὸν προάγει γεννηθέντα.

Π ροφράγματα, τὰ προσκόνια.

Π ρόφρασσε, πρόθυμος εὐνοοῦσα, διανοουμένη.

Π ροφρονέως, προθύμως. ⸿Πρόφρων, πρόθυμος, εὔνους φρόνιμος. ⸿Προφύσια ἐν τοῖς μετάλλοις τὰ σκέπης χάριν τῶν ἐν ταῖς φύσεσι ἀολλῶν πλάσματα.

Π ροχάζοιο, προβαίνοις, ἀναπηδίζοις.

Π ροχάνη, σκῆψις. πρόφασις καλύπτρα.

Π ροχαιρισία, ὁ θέτης οὕτω που τιμᾶται.

Π ρόχεσον, πρόελθε. ⸿Προχεία, πρόφασις.

Π ροχέει, ἐκπέμπει. ⸿Προχειρίζεται, προφέρει.

Π ροέχει. ἐκλέγεται, ⸿Προχειρίσαι, ἐπιλέξαι.

Π ροχείρως, ἑτοίμως, ταχέως, ὀξέως. ⸿Πρόχειρος ἕτοιμος ἐν χερσί. ⸿Προχειρότατον, ἑτοιμον.

Π ροχέουσι, ἐπιπολλοὶ ἐφέρονται, περιέρχονται, ἔρρεον, προσῆγον. ⸿Προχέουσι, τοὺς εἰς τὴν θάλασσαν προχύσεσι. ⸿Πρόχνυ, ἐπὶ γόνατα, οἷον πρὸ γόνατος πρόχνυ καθεζομένη. ἢ παντελῶς, πρόχνυ ἐπὶ πολλῶν ἀνθρώπων ὑπὸ γούνατ᾽ ἔλυσε, καὶ πρόρριζον παντελῶς καὶ τελείως. ⸿Προχοαί, αἱ ἐκρύσεις τῶν ποταμῶν καὶ ὑδρεῖαι. ⸿Προχοή, τὸ ἐκβαλλόμενον εἰς τὴν θάλασσαν καὶ τοῦ ποταμοῦ τὸ προστόμιον προχοή. ⸿Προχοΐδας, τὰς ἀμίδας.

Π ρόχοι, προχόοι, ὅμως ὑδρεῖαι. ἀμφικύπελλοι πρόχοι ὅτι δὲ ἀπὸ τοῦ ὅλου περιφερεῖς κύβοις ἀμφικύβοροι. ὅ ἀπὸ τῶν ὤτων, τὸ ἐξ ἀμφοτέρων δηλοῦντος.

Π ροχοΐδια, αἱ καταχύσεις.

Π ροχοΐδιον, ἀγγεῖόν τι οἰνηρὸν στενόν, καὶ οἷον ὡς προχοΐδιον ὅμως κατέχεον. ⸿Πρόχοιο, προφασίζοιο, ὅ προβάλλοιο καὶ σκεπάζοιο, παρὰ καὶ τὰς ἀσπίδας προβάλλοις ἔλεγον. ⸿Πρόχοος, ξέστης, μέζον.

Π ροχόῳ, τῇ καταχύσει. ⸿Προχύτας, ὅλας ἀπαρχάς. ⸿Προχύτης, ποτήριόν τι.

Π ρόχωσις, τὸ μεταξὺ χῶμα. ⸿Προψάτης, πανώλεθρος. ⸿Προωδῶν, ἐξέχων τοὺς ὀδόντας. ⸿Πρόσιμαι, ἔασα προχωρῆσαι. ⸿Προωσάμεθα, ἐάσαμεν, παρεχωρήσαμεν. ⸿Προώρας, τὰ πρῶτα κλήματα.

Π ρόωρον, πρὸ καιροῦ. ⸿Πρόωφος, πρόσκοπος.

Π ροωχὸς ἵππος, ὁ ἐκ τῶν ὄπισθεν μετέωρος καὶ τῷ ἀναστήματι καὶ τῇ ἱππασίᾳ. ⸿Πρύανος. νέος.

Π ρυλέες, οἱ μὲν, πολλοὺς λαούς, οἱ δὲ προμάχους, ὅ πεζοὺς ὁπλίτας ἀθρόους. ⸿Πρυλέες, πεζοὶ ὁπλῖται ἀπὸ τοῦ πρίας, τουτέστι πεζεία χρώμενοι.

Π ρύλιν, πυρρίχην, ἢ ὁπλίτην. ⸿Πρυλέεσσ᾽ ἀρηϊάπεζοῖς ὡρμισμένη. ⸿Πρυλεύσεις, ἐστὶ αἱ ἐκφορὰς τῶν τελευτησάντων παρὰ τῷ ἱερεῖ.

Π ρύμνα, τὰ πρέμνα, ὅ τὰ ὄπισθεν τοῦ πλοίου.

Π ρύμναι, αἱ ἄκραι, ⸿Πρύμνα δὲ, πρυμνόθεν, πᾶν τὸ

τὸ πρόσγειον κάτωθεν, πρυμνὸν λέγεται.

Π ρυμνήσια, ἀπόγεια σχοινία. ⸿Πρύμνηθεν, οὔριον τὸ ὄπισθεν ἄνεμον τὸ πρέπει τέλειον. ⸿Πρύμνη, τὰ ὄπισθεν. ἢ τὸ τέλος τοῦ πλοίου. ⸿Πρυμνὸν, τὸ ἔσχατον, τὸ ἄκρον, καὶ πρυμνὴν τὴν ἐσχάτην, καὶ πᾶν ἔσχατον ἐκ ῥιζῶν. ⸿Πρυμνός, κάτωθεν βαρὺς ἢ πλούσιος.

Π ρυμνώρεια, ἀκρώρεια. ἀκρωμόροις τὸ ἔσχατον μέρος.

Π ρυτανεῖα, ὁ λεγομένη καταβολὴ τὸ δικαστὴν τοῦ τιμήματος. ⸿Πρυτανεῖον, τρία Ἀθήνησι συσσίτια. πρυτανεῖα, θεσμοφορεῖον, προτανεῖον, λέγεται δὲ καὶ ὁ διδομένη μισθοφορία, καὶ σὺ κατετίθεσαν τὸ ἀργύριον οἱ δικαζόμενοι. ⸿Πρυτανεύει, διοικεῖ.

Π ρύτανις, βασιλεύς. ἄρχων. χορηγός. τίμιος διοικητής. ⸿Πρῷ, ἀντὶ τοῦ πρωΐ. ⸿Πρωθήβοις, ἀκμαίοις. ⸿Πρωθῆβαι, ἄρτι ἀκμάζοντες.

Π ρώηβες, ἄρτι ἀκμάζοντες.

Π ρωθήβην, ἄρτι ἡβῶσαν ἀκμάζουσαν.

Π ρωΐ, ἀττικώτερον τὸ ὑφέν. σημαίνει δὲ τὸ ἐν ὥρᾳ καὶ πρὸ τοῦ δέοντος καιροῦ, ἢ πρὸ τῆς καθηκούσης ὥρας, ὡς ὀψὲ ἐστὶ τοῦ καθυστεροῦντος ἐπὶ προσηκούσης ὥρας.

Π ρωΐα, ταχεῖα. ⸿Πρωΐζα, πρώτα, πρωΐ.

Π ρωΐη, ὀρθρινή. ⸿Πρωϊνὸς, ἐπ᾽ ὄψιν ἐστὶ πρόσωπον

Π ρώϊον, κατ᾽ ἐκείνην τὴν ἡμέραν. οἱ δὲ, πρὸ καιροῦ ταχὺ ἢ ἀντὶ τοῦ πρώην. ⸿Πρώκα, δῶρα.

Π ρῶκες, σταγόνες, ψεκάδες, σταλαγμοί.

Π ρωκτὸς λουτροῦ παρεστὶν ἡ παροιμία, ὅταν τὶς μὴ δύνηται ἀπονίψασθαι, ἀλλ᾽ ὁ κοιλία αὐτῷ ἐπιφέρεται. ἐλέγετο οὖν ἐστὶ τῶν ἀνωφελῶν καὶ εἰκῇ πραττομένων.

Π ρωλυθίαι, πρεμνοί, παραλελυμένοι.

Π ρωλύθιον, ὁ ἐπίφορος καὶ ἐστὶ στέμμα.

Π ρωνίας, ὄρος, κρημνὸς, οἱ δὲ, ὄρους ἐξοχήν.

Π ρώονας, ὀρῶν ἐξοχάς. ⸿Πρώονες, οἱ ἐκνενευκότες τόποι εἰς ὄρος. ⸿Πρῶρα, πρόσωπον, ὅ τὸ ἔμπροσθεν τοῦ πλοίου. ὅ στολὴ διακεκαλλωπισμένη τὰς ὄψεις, ἢ ἐπικαλύπτουσα. ⸿Πρωράζοντες, κροτοῦντες, ὁ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν καὶ τῆς εἰρεσίας.

Π ρωράχθη, ὁ μεταφορὰ ἀπὸ τῶν πλοίων, ἐκεῖνα γὰρ ἐν τῇ πρώρᾳ τὸν φόρτον φέρει, καὶ ἐπικωρούμενα ἐγκαθίζεται τῇ θαλάσσῃ. φυσικῶς δὲ οἱ γέροντες ἐστὶ τὸ πρόσωπον φέρονται. πρώρα δὲ τὸ πρόσωπον.

Π ρωρεῖ, κωλύει, ἐκρεῖ. προορᾷ φοβεῖται.

Π ρόστασιν, προστάθησιν. ⸿Πρῶτα, ἅπαξ πρότερον.

Π ροτέλεια, αἱ ἀπαρχαί. κυρίως μὲν τῆς λείας, ὅμως τῆς αἰχμαλωσίας, καταχρηστικῶς πᾶσαι ἀπαρχαί.

Π ρώτησι θύρῃσιν, ἐπ᾽ ἄκρου τοῦ οὐδοῦ, ἐπ᾽ ἄκραις ταῖς θύραις. ⸿Πρωτορικὸν εἶδός τι σικῆς πρωΐμου, καὶ πυκνίδιόν τι οὕτω καλεῖται.

Π ρώτιστον, πρότερον.

Π ρωτόκαλος, πρωτόπλοις. ⸿Πρωτοκαθεδρίαν, τὸν προεδρείας ἀξιωθέντα. ⸿Πρωτοτόκων, πρώτων φανέντων. ⸿Πρωτόγονος, νέος.

Π ρωτογυναῖκες, οἱ μὴ ἀγημένοι γυναῖκας.

Π ρωτόλεια, ἀρπάσματα. ⸿Πρωτολειον, ἀπαρχή. ἢ πρώτη ἐλθοῦσα τὴν λείαν.

Π ρωτώλη, πρώτη ἡ ψῆφος. ⸿Πρωτολήσθαι, τὸ

Προσφθὰς, προσπλακεὶς, περιπλακείς.

Προσφῦσα, ἐνδακοῦσα. ¶ Προσφωνεῖ, προσαγορεύει. ¶ Πρόσχαιεν, πρὸς τέρψιν. ¶ Πρόσχεθε, ἐπίβλεψον. ¶ Πρόσχημα, πρόφασις, ὑπόκρισις. προκάλυμμα. ¶ Προσχώματα, εἶδος ὑποδήματος ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν. ¶ Προσχόμενον, προτείναντα. ¶ Προσχωρεῖ, συμμίσγεται.

Πρόσχορος, ὁ παρὰ τῷ χορῷ γινόμενος. ¶ Πρόσω, ἔμπροσθεν πρὸ θύρου. ¶ Προσῳδία, μετ᾽ ὀργάνου ᾠδή. ¶ Προσωθεῖται, προστρίβεται. ¶ Πρόσω καὶ ὀπίσω, ἐν τῷ ἔμπροσθεν. ὃ ἐστι μετὰ ταῦτα καὶ ἐν τῷ παρελθόντι χρόνῳ, ἢ τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα. ¶ Προσωκεῖλαι, προσορμίσαι εἰς γῆν.

Προσῶν, ἐνυπάρχων. ¶ Προσῶσον, ὤθησον.

Προσεμπεδοῦντες, ἢ προσεμπεδοῦντες ἐπιβεβαιοῦντες.

Προσωπεῖον, ἡ νῦν καλουμένη τῶν μουσικῶν προσωπίς.

Προσωπεῖον, σχηματισμός.

Πρόσωπον ἐστὶ, σύνδρομὴ ἰδιοτήτων. ¶ Πρόσωπον, τὸ πρόσωπον ὅμηρος. ¶ Προσωπεῖον, προσοψίς.

Προσωπίον, τίς νῆσος ἐν αἰγύπτῳ. ¶ Προσωποποιία ὅταν πρόσωπον ὑποθέμενός τις, εἴπῃ τι.

Προσωπορεία, προκοπὴ ὁδοῦ. ¶ Προσωπεῖα τοῦ πολέμου ἀγγεῖον χαλκοῦν, ἔχον ἐπὶ τοῖς χείλεσι πρόσωπα, ἐν ᾧ τὰ ἱερὰ ἐτίθεντο. ¶ Προσωτάτω, ἐσωτάτω. ¶ Προσωτέρω, ἐγγυτέρω πρὸς γένος.

Πρὸς ὦσιν. πρὸς ὤθησιν, ἢ πρὸς ὄψιν, οὐ καλῶς.

Προτάχθεισα, ἐμίσησα, προσέκοψα. περιεκάκησα, προσήγγισα. ¶ Προτανύνιον, πρὸ μικροῦ. ¶ Προτανύνιον παλαιόν. ¶ Προταμεῖν, τεμεῖν. ¶ Προτάξω, προκρίνω. ¶ Προτάξεως, φανερᾶς μάχης.

Πρότασις, μετ᾽ ἐπιτάσεως, ἡ ἐρώτησις. ¶ Προτεινόμενον, ὁπλωμένον. ¶ Προτείνεται, δίδωσιν ὑπισχνεῖται. ¶ Προτέλεια, ἡ πρὸ τοῖς γάμοις θυσία καὶ ἑορτή. τέλος γὰρ ὁ γάμος, ἀπὸ τῆς εἰς τελειότητα ἄγειν. ¶ Προτελεσσαμένη, προθυμησαμένη.

Προτεμενίσματα, προπύλαια ναῶν. ¶ Προτένθαι, λίχνοι προαρπάζοντες. ¶ Προτενίσματα, προπύλαια. ¶ Πρότ᾽ ἰόντα, προγεγονότα. ¶ Προτερεῖ, προέχει τὰ πρωτεῖα λαμβάνει. ¶ Προτέρημα, πρόκριμα, προτίμησις. ¶ Πρότεροι, προγενέστεροι. ¶ Προτέρω, εἰς τὸ ἔμπροσθεν, οὐδ᾽ ἄρα μοι προτέρω νῆας κίον. ¶ Προτετύχθαι, προγεγονέναι.

Προτιάπτω, προσάπτω. ¶ Προτὶ ἄστυ, εἰς τὴν πόλιν. ¶ Προτιβάλλεαι προβάλλεις μὴ τοῖς καὶ ἀποστρέφῃ. ὡς καὶ ἀττικοὶ λέγουσι προβάλλομαι αὐτόν. οἱ δὲ κωλύεις ἀπὸ μεταφορᾶς διὰ πύκτας προβολῆς, ἔστι δὲ ἀναπόλεκτον ἐπὶ ὁμήρου, ταύτην δ᾽ οὔτ᾽ ἔστι προτιβάλλεαι. ¶ Προτιδέγμαι προσδέχομαι. ¶ Προτιδέγμεναι, προσδεχόμεναι.

Προτιδέγμενοι, προσδεχόμενοι.

Προτιείλειν, ἐγκλίνειν. ¶ Προτιμᾶν, προκρίνειν, ἐκλέξασθαι. ¶ Προτὶ ἴλιον, πρὸς τὸ ἴλιον. ¶ Προτιόσσεται, προορᾶται, προσδέχεται προσκαρτερεῖ.

Προτιόσσεται, προσδοκᾷ. ¶ Προτιπτυσσοίμεθα, ἀσπαζοίμεθα, παρακαλοῖμεν. ¶ Προτμήσιν κατὰ τὸν ὀμφαλόν. ¶ Πρότμησις, ὁ περὶ τὸν ὀμφαλὸν τόπος. ¶ Προτμησῖν, τὸν ὀμφαλόν. ¶ Προτμήσις, ὁ περὶ τὸν ὀμφαλὸν κατὰ τὸν λαγόνα τόπος.

Προτολεῖν, ὑπάρχειν. ¶ Προτομαὶ, εἰκόνες βασιλέων. ¶ Προτομὴ, εἰκὼν βασιλικὴ, ἕως τοῦ ὀμφαλοῦ τοῦ σώματος εἶδος. ¶ Προτόνιον, ὕφασμα.

Πρότονοι, οἱ ἑκατέρωθεν τοῦ ἱστοῦ σχοῖνοι ἐκτεταμένοι εἰς τὴν πρῷραν καὶ πρύμναν ἔμπροσθεν. ¶ Προτόνοισι, τοῖς τὸν ἱστὸν συνέχουσι σχοινίοις. ἐξ ἑκατέρου μέρους. καὶ τοῖς ἐν τῷ ὑφαντικῷ ἱστῷ. ¶ Προτορύμαιο, ἐν τῷ ἀκρορρύμῳ, ὅπου ὁ ζυγὸς δεσμεῖται.

Προτραπέσθαι, ἀποτραπῆναι ὑποδεῖξαι ἔθελον δ᾽ ἄχει, προτραπῆναι παρ᾽ οὐχὶ προθυμηθῆναι, οἷον τῷ τάχους ἀποτραπῆναι. ¶ Προτρέπειν. τὸ προάγεσθαι, ἐνίοτε καὶ τὸ προβιβάζειν. ¶ Προτροπαδὰς ἐπιτροπὴν ἐχόντων. ¶ Προτρέπου, παρακάλει.

Προτρεβεῖς, δριμεῖς καὶ ὀξεῖς. ¶ Πρόσριτα πρὸ πολλοῦ. ¶ Προτρόπα, θυσίας εἶδος. ¶ Προτροπάδην, εἰς τοὔμπροσθεν τετραμμένοι, ἢ φεύγων καὶ διώκων ὡς ἐν μάχῃ. ¶ Προτροπὴ, παράκλησις. καὶ τὰ ὅμοια. ¶ Προτύπως, ἀκολούθως. ¶ Προτροπίς, συνεχής. ¶ Πρότροπος, οἶνος τίς, τὸ γλεῦκος τὸ πρόρυμα. ¶ Προτρυγία, ἑορτὴ διονύσου καὶ ποσειδῶνος. ¶ Προτυχὼν, προστυχὼν, παρατυχών.

Προτόγονος, νέος. ¶ Προῦ, προσέρχου. ¶ Προῦβα, τὸ λευκόν. ¶ Προύβη, προσέβη. ¶ Προυγελᾶν, προπηλακίζειν ὑβρίζειν. ¶ Προυργιαιτέρω, προσφορωτέρῳ. ¶ Προϊέμενο, ἀναβαλλόμενο προϊοῦσα. ¶ Προύθηκα, προέθηκα. ¶ Πρόκας, δορκάδας. Προυλέσι, πεζοῖς ὁπλίταις. ¶ Προῦμος, εἶδος οἴκου. ¶ Προυνικοὶ, οἱ μισθοῦ κομίζοντες τὰ ὤνια ἀπὸ τῆς ἀγορᾶς, οὓς τινὲς σπειλαφίωνας καλοῦσι δρομεῖς ταχεῖς ὀξεῖς, ἀκίνητοι ἱεροὶ μισθωτοί.

Προύνοις. βουνοῖς. ¶ Προυξενεῖς, ξενίζεις.

Προύπεμψε, προέπεμψεν. ¶ Πρόυπτον, πρόδηλον, φανερόν. ¶ Προῦρα, πλεύμων, ἢ πνεύμων.

Προυργιαίτατα, προνοητικώτατα.

Προυργιαίτερον, προκρινόμενον. προτιμότερον. κρεῖττον. ἀναγκαιότερον ὠφελιμώτερον. ¶ Προύργου, ὁμοίως ἑτοίμως. πρὸ ἔργου. ¶ Προύσελα, προύτελα, προτελεῖ. ¶ Προύστημεν, προέστημεν.

Προύστησας, προέστησας. ἐπεστράφης. ¶ Προύστη, προέστη ἐπεστράφη. ¶ Προυτροπάδην, κατὰ τροπήν. ¶ Προύτυψαν, προέτυψαν. προῆλθον προεχώρησαν. ¶ Προύτυψαν, προύρξαντο καὶ τὰ ὅμοια. ¶ Προύχει, προέχει πρωτεύει, κρεῖττόν ἐστι.

Προύχοιο, προφθάζοιο. ¶ Προύχων, προέχων.

Προύχονται, ἐνέχονται. ¶ Προύχοντες, προάγοντες, μέγιστοι. ¶ Πρόχους, ξέστης. ¶ Προύχουσ, παντελοῦς. ¶ Προφαίνων, προλέγων, προδηλῶν. ¶ Προφανεῖς, προφανέστεροι.

Προφανέντες, προελθόντες. ¶ Προφανῶς, προθύμως. ¶ Πρόφαντα, προφητικά.

Πρόφαντον, λόγιον. θεοπρόπιον, προδηλούμενον.

Πρόφασις, αἰτία ἀφορμή. ¶ Πρόφασα, πρόθυ

Π ρόσθ' ἵσταμαι, προΐσταμαι, ἐμπολίζω, ὑπερμαχῶ.

Π ροΐσταται, ἐπιπολάζει, προσκόπτει.

Π ροσίασι, προσέρχονται προσφέρουσι.

Π ροσίει, ἐγγίζει. προσίεμεν, προσερχόμεθα.

Π ροσίενται, προσδέχονται. ¶ Προσίεσθαι, ἐφέλκεσθαι, προσφέρεσθαι. ¶ Προσίεται, ἀρέσκεται προσδέχεται, ἡδέως λαμβάνει. ¶ Προσιζήσαι, προσκαθεσθῆναι. ¶ Προσιζήσαντων, προσκομίσαντων. ¶ Προσιζήσας, προσκαθίσας.

Π ρόσιθι, πρόσελθε. ¶ Προσίκτορος, προσικέτου, ἀπὸ τοῦ προσικνεῖσθαι τοὺς ἱκέτας. ¶ Πρόσιμεν, προσερχόμεθα. πρεσβεύομεν. ¶ Προσίναντες, βλάψαντες. ¶ Προσιοῦσα, παρερχομένη.

Π ροσίρρων, προσέπτων. ¶ Προσίπτεται, προσπίπτεται.

Π ροσίσχεται, προσβάλλεται. ¶ Προσιτὸν, ὃ δυνατόν τις προσελθεῖν. ¶ Προσιών, προσελθών, προσερχόμενος. ¶ Προσκαταπτοῖς, πρὶν καταπλήξας.

Π ρόσκειται, ἐκ προσθήκης κεῖται. ¶ Πρὸς κέντρα λακτίζειν, παροιμία ἐπὶ τοῦ κατὰ τῶν ἐναντίων τι λέγειν ἢ πράττειν. ¶ Προσκηνίς, κατ' ἐπιτιμίαν οἰκεῖοι. ¶ Πρόσκνιψε, προσήμαινε προέλεγε, προμήνυε. ¶ Προσκληθεὶς, προσκαλεσάμενος.

Π ρόσκλησις, προτροπὴ, ὁ πρόσρησις ἐπὶ δίκης.

Π ροσκομιστέον, προσενεγκατέον. ¶ Προσκομιστέον προσενεγκτέον. ¶ Προσκομιδὴ, ἀναφορά.

Π ρόσκομμα, ζημία βλάβη. ¶ Προσκόπτειν, ἁμαρτάνειν προβλέπειν. ¶ Προσκοπὴν, σκάνδαλον.

Π ροσκορῆ, ἀηδῆ ἄχαρι. ¶ Προσκεκρόνσας, ἄλλας ἐπ' ἄλλας κλιμακηδόν. ¶ Προσκρούσαι, προσοργίσαι, προσπλῆσαι. ¶ Προσκρούνιον. πρόφραγμα.

Π ροσκυνεῖ, προσπίπτει. ¶ Προσκορεῖ, προσεγγίζει.

Π ροσκυροῖ, βεβαιοῖ. ¶ Προσλαζόμενα, προσλαμβανόμενα. ¶ Προσλαζύμενοι, προσλαμβανόμενοι. ¶ Πρόσληψις, γνῶσις. ¶ Προσλιπαρῆσαι, παρακαλέσαι. ¶ Προσμελοῦ, ἐπιμελοῦ.

Π ροσμίξας, προσελθών, συνάψας. ¶ Προσμνήστρια, προξενοῦσα νυμφίοις ἢ νύμφας. ¶ Προσόδιον ᾠδὴ θεοῦ ὕμνον περιέχουσα. ¶ Πρόσοδος, ἔντευξις ἢ κέρδους προσθήκη. ¶ Προσοικίσαντες, προσκαθίσαντες. ¶ Πρόσοικος, οἰκεῖος. ὁ πλησίον οἰκῶν. ¶ Πρὸς οἶμον, πρὸς τὴν ὁδόν. ¶ Προσοίσεσθε, προσδέξεσθε. ¶ Προσοκεῖλαι. προσορμῆσαι εἰς τὴν γῆν. ¶ Πρὸς ὄλεθρον, πρὸς θάνατον.

Π ροσὸν, ἐνυπάρχον. ¶ Πρόωσαν, ὤθησαν. ¶ Προσορμίσαντες. προσοκείλαντες. ¶ Προσούειον, πρὸς ποθὲς ἐπιτήδειον. ¶ Πρὸς ὀνείας, τὰ αὐτά.

Π ροσοχὴ, κατανόησις, νῆψις. ¶ Προσοχισμὸς, πρόσκρουσις. λειποπάθεια, πάθος. γνώμης συμπάθεια.

Π ρόσπαιον, πρόσφατον νέον. ¶ Προσπελάζει, προσπελάζει, προσεγγίζει. ¶ Προσπεριβάλλεται, προσπεριλαμβάνεται. ¶ Προσπέφυκεν, ἐκ φύσεως συνῆψεν. ¶ Προσπήγματα, μέρος τι τῆς νεώς.

Π ροσπίξομαι, προσκυνήσω. ¶ Προσπίτνω, λιπαρῶ, ἱκετεύω. ¶ Προσπλάζει. προσπελάζει.

Π ροσπλέξω, πλέξω. ¶ Πρόσπολοι, πρόπολοι, θεράποντα, θεράποντες, δοῦλοι. ¶ Προσποιεῖται, σχηματίζεται. ¶ Προσποιηθὲν, ἐπινοηθέν.

Π ροσπταίει, σκανδαλίζει. ¶ Πρόσπταισμα, πρόσκομμα. ¶ Προσπταιόντων, προσκρουόντων. προσκόπτοντες. ¶ Προσπτύξομαι, προσπτύξομαι, ὑποβαλῶ παραμυθήσομαι. ¶ Προσπτύσσεται, προσάγεται. ¶ Προσσαίνεται, προσκαρτερεῖ, ἀσπάζεται.

Π ροσραίνουσι, προσβάλλουσι προσέρχονται.

Π ρόσρησις, προσηγορία, ἀσπασμός.

Π ροσρηξόμενον τοῖς κύμασι, περιρρηγνύμενον, κυματιζόμενον. ¶ Προσρυέντων, προσελθέντων.

Π ροσσίει. προσεπιτρέχει, προσσείει. ¶ Πρόσσημον, ἐπὶ θανάτου προσηγγελμένου. ¶ Προσσίναντες, βλάψαντες. ¶ Πρόσσω, πόρρω, ἔμπροσθεν, μακρὰν εἰς τοὔμπροσθεν. ¶ Προσσώτερον ἐξώτερον προσωτέρω.

Π ρὸς τάνδε αὐλάν. πρὸς ταύτην τὴν αὐλήν.

Π ρὸς τὰν, πρὸς ταύτην. ¶ Πρὸς τάνδε, ὁμοίως.

Π ροστασία, κυβέρνησις. ¶ Προστατήριος, τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν ἀνιδρύοντο. ¶ Προστάται, οἱ μέτοικοι, καὶ οἱ μὴ ἔχοντες ἀπροστασίου ἐδιώκοντο. ¶ Πρόστημα, κοιτών.

Π ροστάς, πρόστοον. ¶ Προστάτου, ὡς τὸ κρέωντος προστάτου. γεγράψομαι ἀπὸ τῆς Ἀθήνησι νομίμου, ἀναγκάζει εἰς τοὺς ἥρωας, ἔνεμον γὰρ προστάτην οἱ μέτοικοι, καὶ οἱ μὴ ἀπογραφόμενοι τοῦτον, ἀπροστασίου δίκην ὤφλον. ¶ Προστραπισάμενος, προσπτυξάμενος.

Π ρὸς τέρμασι, πρὸς τὰ τέλη.

Π ροστήσας, προαγαγών. ¶ Προστιβάζεται, μερίζεται, προσπορίζεται. ¶ Προστιμᾶται, κατακρίνεται. ¶ Πρόστιμον, ζημία, παραγραφή. ¶ Πρὸς τομὸν, ἐπὶ ξίφους κεῖται. ¶ Πρὸς τοῦ, πρὸς τοῦ ἱεροῦ. ¶ Πρὸς τοὐμφανὲς, εἰς τὸ φανερόν.

Π ροστετιμημένοι, σέβοντες, τιμῶντες. προσκυνοῦντες.

Π ροστρίβεται, προσπίεζεται. ¶ Προστρόπαιος, φονεύς. μιαρὸς, αἵματι μεμιασμένος, καὶ πρός τινα τετραμμένοι δεόμενοι καθάρσεως. ¶ Προστροπαίω, ἱκετεύω.

Π ροστροπαίων, ἱκετευσίμων καὶ ἱκέτων.

Π ροστρατεύεσθαι, ἀποτρατεῦσαι προεστρατηθῆναι.

Π ροστροπῇ, ἱκετείᾳ. ¶ Προσπρόσοδος, τιμή.

Π ρόστροπον, πρόσαντες. ¶ Πρόστροχον, στρογγύλον.

Π ροστυχὼν, ἀπαντήσας. ¶ Πρόστῳ, κοιτῶνι.

Π ρὸς ὑποτύπωσιν, πρὸς σημεῖον. ¶ Προσυπουργεῖσθαι, ὑπηρετεῖσθαι. ¶ Προσφανῆ, θεόφαστος, ἐν μεταλλικῷ χρυσίου συρροάς. ¶ Προσφᾶσθαι, προσειπεῖν. ¶ Προσφάτης, πλάγιος ποσῶν.

Π ρόσφατον, τὸ ἀρτίως γινόμενον νέον νεαρόν.

Π ροσφερῆς κόρρας, ὁμοίως ἀλλήλων κοάρων ῥοάς.

Π ροσφθέγγεται, ἀσπάζεται. ¶ Προσφιλεστάτοις, ἀγαπητοῖς. ¶ Πρόσφορα, τὰ ἐπιτηδείως προσφερόμενα. ¶ Πρόσφορον, ἐπιτήδειον ἁρμόζον δίκαιον ἀκόλουθον. ¶ Προσφυγὴ. ἐνδεκοῦς.

Π ρόσφυγα, καταφυγόντα. ¶ Προσφυεῖς, προσπελαγεῖς. ¶ Προσφυὲς, προσοικειούμενον. ¶ Προσφυεστέροις, προσοικειωθεῖσιν. ¶ Προσφυῆ, προσοικεῖα, ἁρμόζοντα.

προσεκτησάμενον. ¶Προσεχθρεύει, ἀπέχεται.
Προσεχθρεύουσι, προσπταίουσι καὶ τὰ ὅμοια.
Προσεχθρεύοιεν, καλοῦσι. ¶Προσαγωγὴ, προσέλευσις.
Προσαγώγιον, διαβήτης, ἐστὶ τῶν τεκτόνων ὄργανον.
Προσαθύροντες, προσπαίζοντες.
Προσαιθρίζουσα, πέμπουσα φλόγα πρὸς τὸν αἰθέρα ποιοῦσα, ὥστε ἄνω ἀναπέμπεσθαι τὴν φλόγα.
Προσαΐσσων, προσαλλόμενος, προσπετόμενος.
Προσαίτας. πτωχούς. ¶Προσεχές, ἐγγύς.
Προσακεσμόν, πρὸς ὑγίειαν.
Προσάκτειλοι, οἱ ἐπὶ μωλολόγοις πρὸς τῷ στόματι μικροὶ πάσσαλοι. ¶Προσαμύνομεν, βοηθοῦμεν.
Προσαναγεύουσιν, ὑπερπίζουσιν, σφονδύλουσιν.
Προσαντέχειν, προσκεῖσθαι.
Προσάντης, σκληρὸς ἐναντίος δυσχερὴς, ἐχθρὸς ἀηδής.
Προσάντιον, ἐναντίον. ἀντίπαλον.
Προσαμέγχων, προσμιγνύων. κουφίζων.
Προσαυξῶν, προσαύξων. αὔξειν γὰρ τὸ αὔξειν καὶ αὐτὴν τὴν αὔξησιν. ¶Προσαπεῖλαι, τιμῆσαι.
Προσαπειλῶ, τιμῶ, ¶Προσέπλεκε, προσπλέκει συνάπτει. ¶Προσαρασσόμενον, προσρηγνύμενον.
Πρὸς ἄρκτον, πρὸς μεσημβρίαν.
Προσαυξέω, προσέχω. ¶Προσαυχενίζουσα, χερσαία τῇ ἀρχῇ, ὑπὸ τὰ ἄκρας ἢ νότος προσπίπτουσα τῇ ἀρχῇ, δύναται δὲ ἕδοιεν καταλαμβάνουσα, ἐπαυρεῖν γὰρ τὸ καταλαμβάνειν καὶ ἐπιτυγχάνειν.
Πρὸς ἄνεμον, εἰς ἄνεμον. ¶Προσκυρῶν, προστυχών.
Προσαυσάτω, προσφωνείτω.
Πρὸς αὐτὴν τὴν αὐτήν. ¶Πρὸς αὐγῶν, παρ' αὐτ.
Πρὸς ἀφοσίωσιν. πρὸς τιμήν.
Προσάψας, συνάψας. ¶Προσβαίνει, ἐγγίζει.
Προσβάλλοντα, πρὸς τῶν ἄλλων ἔβαλον τοῦ ἀθλήσεως.
Προσβαλῶν, προσβαλών, ἐξ ἀντιστρόφως.
Πρόσβαλον. προσκατακλίθητι. ¶Προσβλῆσαι. κολλῆσαι. ¶Προσβολὴ, τοῦ ἀθλητοῦ συναφὴ καὶ καταρχὴ, καὶ ἡ ὁρμή. ¶Προσβολοχεῖ, προσχαίρειν λέγει.
Πρόσγειος, ταπεινός. ¶Προσγίνεται, προσοδ.
Προσγράφει, προσκρίνει.
Προσδεῖται, προσδέεται. ¶Προσδέδορκας, προσεῖδες. ¶Πρὸς δέ με, πρὸς δὲ τούτοις ἐμέ.
Προσδέχεται, προσποιεῖται. ¶Πρὸς Διός, παρὰ τοῦ Διός. ¶Προσεβίβασε, προέβη.
Προσδιατρίψαι, χρονίσαι. ¶Προσεγκεῖσθαι, ἐγκεῖσθαι, ἐπικεῖσθαι. ¶Προσεδρεύει, χολάζει.
Προσνομὴ, ἁρπαγή. ¶Πρόσεδρος, ὁ παρακαθήμενος, σχολάζων. ¶Προσέθου. προσθεῖσα.
Προσεζεύξαντες, προσκομίσαντες. ¶Προσεῖναι. ἐνυπάρχειν. ¶Πρόσειπε, ἄσπασαι προσαγόρευσον προσκύνησον. ¶Προσείσας, προσανακινήσας, καὶ δῖον ἀπαγγείλας ἀπὸ τῶν σαλευόντων τὰ πρὸς ἅπαντα ὅπου βούλεται. μὴ δὲ θαλλοὺς σείοντας ἐπιδίδοσαν.
Πρόσεισι, προσέρχεται.
Προσεκάμενοι, προσλαβόμενοι.
Προσεκτέα, σπουδαστέα. ¶Προσεκτέον, τὸ προσέχειν κελευστικῶς.

Προσεκτικώτεροι, νηφαλιώτεροι.
Προσέλει. προσπελακίζει.
Προσεληνίδες, αἱ ἀρκαδικαὶ νύμφαι.
Προσελιάσθη, λίαν προσήγγισε.
Πρὸς ἐλιφορές, πρὸς τὸ κεκλεισμένον.
Προσελθών, προσβαλών.
Προσεμάξατο, κατεμάξατο. ¶Προσεμπλάκη, ἐπλησίασεν. ¶Προσεμπεδοῦντες, ἐπιβεβαιοῦντες.
Προσεμπρῆσαι, καῦσαι. ¶Προσεννέπει, προσαγορεύει.
Προσεμβαίνουσί με, προσβάλλουσι προσέρχονται.
Πρὸς ἐνώπια, ἔμπροσθεν πρὸς τὰ κατάντικρυ τῆς αὐλῆς. ¶Προσενώχλησε, προσηνώχλησε.
Προσεπέλασε, προσήγγισεν.
Προσεπεμβαίνει, ἐπιβαίνει, ἐπιπηδάζει, ἐπιγελᾷ.
Προσέπτυξαν, προσήλωσαν. ¶Πρὸς ἐπίπεδον, πρὸς βάσιν. ¶Προσεπιδιώσω, προσεπιπήξω.
Προσεπιποιέσω, ἐσχημάτισα. ¶Προσερεύγεται, ἐρεύγεται. ¶Προσερρύσωμαι, ἐπεφρόντισα.
Προσεράχεται, τεταγμένοι ἦσαν.
Προσερπύσῃ, προσέλθῃ. ¶Προσέσθαι, ἐκδῦναι.
Προσέτι πρὸς τούτοις. ¶Προσέχε, προσέλθε, προσέπλευσε, προσωρμίσατο. ¶Πρὸς εὐθεῖαν, πρὸς ὀρθότητα. ¶Προσερρύη. προσῆλθεν. ¶Προσέφυ, προσεγένετο. ¶Προσέφη, προσεῖπεν. ¶Προσεχές. ἐγγὺς ἐφόρου συνεχές. ¶Προσεχεῖ, ὁμοίως.
Προσεχὴς, γείτων σπουδαῖος. ¶Προσεχῶς, σπουδαίως. ¶Προσεψιλὰ, προσαγόρευσις, καὶ ἡ πρός τινα ὁμιλία. ¶Πρὸς ἕω, πρὸς ἀνατολήν.
Πρὸς ζόφον, πρὸς δύσιν. ¶Προσηγορία, ὀνομασία.
Προσήγορος, προσκυνητής. ¶Προσήϊκται, προσέοικε. ¶Προσηκάμενοι, προσλαβόμενοι.
Προσήκατο, προσηνέγκατο, ¶Προσήκει. πρέπει, διαφέρει, χρὴ, ἁρμόττει, συμφέρει. ¶Προσήκοντες, συγγενεῖς. ¶Προσηκόντως, ὀφειλομένως. πρεπόντως ὀφειλομένως. δεόντως. ¶Προσήλια. πρὸς ἀνατολήν. ¶Προσηλώσαμεν, προσέπτυξαν, ἐσφίγξαμεν.
Προσήλωται, ἀνήρτηται. ¶Προσήλυτος, πάροικος, ἀλλοεθνής. ¶Πρὸς ἡμῶν, ὑπὲρ ἡμῶν.
Προσήναντο, ἐβλάψαντο. ¶Προσηνὲς, καλὸν ἡδὺ ἐπιεικές. ἀγαθόν. πρᾶον, χρηστόν. ¶Προσηνής, προσφιλής. ¶Προσηνῶς, ἡδέως καὶ τὰ ὅμοια.
Προσήνιον. ὑψηλὸν τίμιον. ¶Προσήρεισε, προσέθηκεν. ¶Προσηρτημένοι, κεκολλημένοι. ¶Προσήσεται, προσεγγίζει. ¶Προσηύδα. προσεῖπε, προσελάλει. ¶Προσηύρετο, προσέτυχε προσήγαγεν.
Πρὸς ἠῶ. πρὸς ἀνατολήν. ¶Προσθεῖναι, τὸ παραδοῦναι τῷ ἐσωνημένῳ ὑπὸ κήρυκι, ὅπερ νῦν κῦρσαι φασί.
Προσθεὶς, προσθήκην λαβών.
Προσθήματα, τὰ πυγαῖα. ¶Πρόσθεν, ἔμπροσθεν, πρὸ τούτου, ἄνωθεν ἢ ἔνθεν. ¶Προσθέοντα, ἔμπροσθεν τρέχοντα. ¶Πρὸς θεοῦ, τὸ τυχόν. ἀττικοὶ δὲ χάριτι θεοῦ φασιν εἶναι.
Προσθέσεις, λυτρώσεις. ¶Πρὸς θεόν. κατὰ τὸν θεόν. ἀντὶ τὸν θεόν. ¶Πρόσθη, πρόσθεσις.
Προσθιάξειν, ἀφελεῖν τὰς ἐκ τῆς ὀσφύος τρίχας.

Π ροκόμβυλα. τὰ μετὰ τοὺς κονδύλοις ἐν ταῖς χερσί.

Π ροκόννησος. πόλις καὶ νῆσος παρὰ κύζικον.

Π ρόκοος, πόλις. ἡ πενορός. ℂ Προκοπτός, αὐξόμενος.

Π ροκοπὶς, ἡ χαίτη. ℂ Προκόττα, εἶδος κουρᾶς, ὁ κεφαλῆς τρίχωμα, κόττος γὰρ ἡ κεφαλὴ, καὶ οἱ ἀλεκτρυόνες κόττοι, διὰ τὸν ἐπὶ τὴν κεφαλὴν λόφον.

Π ρόκρισις, προτίμησις. ℂ Προκριθὲν, ἐκλεκτὸν, ἐκλελεγμένον. ℂ Προκρὶς, θυγατὴρ ἐρεχθέως.

Π ροκρόσσαι, ἐπάλληλοι ἄλλαι ἐπ' ἄλλας, καὶ ναῦς αἱ κατ' ἀλλήλων νενεωλκημέναι. ὅτι οἱ κροσσοὶ τὰ ἄκρα, ὁ αὐτὶ κέφαλοι. ℂ Προκρόσσας, ἄλλας ἐπ' ἄλλαις κλιμακιδόν. ℂ Πρόκροσσον, οὐ καθαροῦν κλιμακωτόν. ℂ Προκυκλὶς, ὁ προμνήστρια. ℂ Προκυλινδόμενος, προκυλιόμενος.

Π ρόκυμον, πρόθυμον. ℂ Προκυρεῖν, τὸ ἐγχωρεῖν.

Π ροκώνια, τὰ ἐκ τῶν μὴ πεφυραμένων κριθῶν ἄλφιτα

Π ρόληψις, πρόγνωσις. ℂ Προλόβιον, τὸ προέχον τοῦ λοβοῦ. ℂ Προλογίζει, προλέγει.

Π ρολογία, θυσία πρὸ τῶν καρπῶν τελουμένη ὑπὸ λακώνων. ℂ Πρόλογος, ὁ προεπιθέμενος τοῖς προβαλοῦσιν ἐπὶ δεῖπνον, καὶ ὁ περιστερεὼν τῶν ὀρνίθων, ὃν οἱ παλαιοὶ γεργερέων. ℂ Πρόμαχοι. βασιλεῖς τὰ τείχη. προμαχῶνες δὲ, οἱ ἐπὶ τῶν τειχῶν πρόβολοι. ℂ Προμάλας, μάζας προμεμαγμένας.

Π ρόμαλος, μυρίκη, ἡ ἄγνος.

Π ρομαλαχατεύειν, μεταξοποιεῖν.

Π ρομαχεῶν, πύργος. ℂ Πρόμαχος, ὑπὸ κρητῶν μάζα ἐσθιομένη παιδίῳ γινομένη. ℂ Πρόμοι, λέγοντες προαγορευταί. ℂ Προμένοι, ῥοιαὶ τινές.

Π ρομήθεια, πρόνοια, ἐπιμέλεια. ℂ Προμηθέστεροι, προνοητικώτεροι. ℂ Προμηθεὺς, ἐπικίνδυνος, ἐπισφαλῶς ἔχων καὶ ὄνομα. ℂ Προμηθεὺς, σώφρων. ℂ Προμηθούμενος, προνοούμενος, προβλέπων. ℂ Προμήτωρ, πατρὸς μήτηρ.

Π ρομνηστῖναι, ἑτέρα παρὰ τῆς ἑτέρας, οἱ δὲ ἑξῆς καὶ ἐκ διαστημάτων ἀναμένουσαι ἀλλήλας.

Π ρομνηστῖναι, ἐπιμνίαν, ἀπὸ τοῦ προσμένειν.

Π ρομνήστρια, ἡ συνιστῶσα ἀλλήλοις τοὺς γαμοῦντας.

Π ρομνώμενοι, προμνηστευόμενοι.

Π ρόμοις. προμάχοις. προαγωνισταῖς, προεστῶσι προηγουμένοις. ℂ Πρόμολε, πρόελθε.

Π ρομόλη, ὁδὸς προσδόκησις. ℂ Πρόμος, πρόμαχος, αὐτίδικος. ℂ Προμόνης, προπετὴς καὶ προασπιστὴς, οἱ δὲ πρόθυμος, προσηνὴς ὡς.

Π ρόμουλος, πρόβουλος. ℂ Προμοχοὶ, τὰ προβεβλημένα τῶν τοίχων. ℂ Προμολέα, θεὸς ἱδρυμένη ἐν τοῖς μύλωσι. ℂ Προμοχλίζει, χαλκοδεσμῶν ὅπλων ἀντὶ τοῦ προοχυρεῖου.

Π ρόναος, προπυλῶν. ℂ Προναίας, ἀθηνᾶς τέμενος ἐν δελφοῖς. ℂ Προνοεῖ, ἐπιμελεῖται.

Π ρόνοια, προενθύμησις, ἐπιμέλεια φροντίς.

Π ρονομέα, προβόσκησις. ℂ Προνομεύει, θεσπίζει. ἁρπάζει κατασύρει αἰχμαλωτεύει.

Π ρονόμια, τὰ ὀφειλόμενα κατ' ἀξιώματι, ἢ ἡ ἐκ τῶν νόμων ἐξουσία, ἢ διαρπαγή.

Π ρονόμιον, προβληματεῖον.

Π ρονοοῦ, ἐνθυμοῦ ἐπιμελοῦ.

Π ρονώπως, προτεταμένως. προνενευκώς, οἱ δὲ προπετὸς ἕτοιμος πρόχειρος. ℂ Προνώπια, τὰ ἔμπροσθεν τῶν πυλῶν. καθάπερ ἐνώπια. τὰ ἔνδον ὅπου αἱ εἰκόνες τίθενται. ℂ Προνώπιον, τὸ προκείμενον, οἷον πρόθυρον. ℂ Προξενεῖ, μαρτυρεῖ.

Π ρόξενοι, οἱ προεστῶτες καὶ ξενίας ἐπιμελούμενοι, ὅσοι τοὺς ξένους ὑποδεχόμενοι. ℂ Πρόξενος, φίλος ὁ ἐν τῇ ἑαυτοῦ ξενίᾳ προεστάμενος.

Π ροοικίαι, παρὰ κλεισθένει ἐν ἴσῳ κατὰ δῆμον.

Π ροοίμιον, πρόλογος. ἀρχὴ παντὸς λόγου.

Π ρόοιντο, προσδέσονται δώσουσιν.

Π ροολεῖ, καταλείπει. ℂ Πρόοπτον, προφανές.

Π ρὸ ὁδοῦ, ἔμπροσθεν τοῦ ῥύπου, ἢ ἔτερος τοῦ ἑτέρου.

Π ρόουρον, τὸ ἀπόστεγμα τῆς σταφυλῆς πρὶν πατηθῆ.

Π ροπαιδίζων, προβαίνων ὑπὸ τῆς ἀσπίδος.

Π ροπαιδεύματα, προπαθόματα,

Π ρόπαις, ὁ προαγωγὸς, μαστροπὸς καὶ μάντις μαστροπευσις. ℂ Προπαλῶς, δαψιλῶς.

Π ροπάροιθεν, ἔστιν ὅτι ἐπὶ χρόνου, εἰ δὲ θέλεις ἐπίμετρον, ἐγὼ δ' εἶμι προπάροιθεν. ℂ Πρόπας, ἅπας.

Π ροπάστιον, τὸ πρὸ τῆς παστάδος τόπον.

Π ροπάτωρ, πατρὸς πατήρ. ℂ Προπηλακίσαι, καθυβρίσαι. ℂ Προπίπτει, προδίδοται.

Πηκτίδες καὶ σύριγγες, ὄργανα μουσικά. ¶Πηκτίδος, πανδουρίου. ¶Πηκτὶς, πανδούριον, ψαλτήριον, σύριγξ. ὄργανον. ¶Πηκτὸν, ἐκ πολλῶν ξύλων πεπηγμένον. ¶Πηκτὸν ἄροτρον, τὸ ἀπὸ δύο ἀρότρων ἐστὶ γὰρ τὰ μονόβολα. ¶Πηκτὸς, θάνατος. ὁ τοῦ βαλαμινίου αἴαντος τοῦ μανέντος, ὅς τῷ ξίφει ἐπιπεσὼν ἀπέθανεν. ¶Πηλάγονες, γέροντες. παλαιοὶ γηγενεῖς. ¶Πῆλαι, κραδᾶναι. σεῖσαι. ¶Πηλαμὶς, εἶδος τι ἰχθύος ἐν πόντῳ. ¶Πῆλαι, ἐπάλλειν.

Πηλέως μάχαιρα, παροιμία ἣν ἐκ πλάτωνος ἀριστοφάνης ἀναγράφει οὕτω. μέγα φρονεῖ μᾶλλον, ἢ ὁ πηλεὺς τῇ μαχαίρᾳ. ἐδόκει γὰρ σωφροσύνης γέρας εἰληφέναι.

Πηλειάδης, τοῦ πηλέως παῖδα. ¶Πηληκίσματα, φενακίσματα. ¶Πήληξ, περικεφαλαία ἀπὸ τοῦ πάλλεσθαι, ὅ ἐστι κινεῖσθαι, κηδεμος. ¶Πηλιάδα, τὸ δόρυ. ¶Πηλιὰς, ἰδίως τὸ τοῦ ἀχιλλέως δόρυ, καταχρηστικῶς δὲ, καὶ πᾶν. ¶Πηλιδνὸν, πελιδνόν.

Πηλίκον, οἷον ὁποῖον κατὰ τὴν διάφορον.

Πηλίκοις, διαφόροις, καὶ τὰ ὅμοια. ¶Πηλίνοις, χοϊκοῖς. ¶Πήλινος, ἐκ πηλοῦ χοϊκός.

Πήλιον ὄρος ἐν θεσσαλίᾳ καὶ πήλιον.

Πηλὸς, οἶνος, ἴωνες. ἔνθεν καὶ κάπηλος ὁ τὸν οἶνον πωλῶν. ¶Πηλὸς αἰγυπτιος, περὶ τὴν λιβύην ἐστι τόπος καὶ τὸν ὁρίζοντα ὠκεανόν. ¶Πήλυξ, ῥαγάς.

Πῆμα, βλάβη ἀνατημονή. ¶Πημαίνει, βλάπτει, κακοποιεῖ. ¶Πημαινούσης, κακούσης, καὶ τὰ ὅμοια.

Πήμασι κακοῖς, πήμασι βλάβαις.

Πημέματον, τοῦ προθυμεῖσθαι. ¶Πῆμος, πηνίκα.

Πῆν; πῆκαι; πῆμ, ἀντὶ τοῦ καταπάσαι καὶ καταπάσσειν.

Πῆνα, ἀπήνη. ¶Πηνειὸς, ποταμὸς ἐν θεσσαλίᾳ.

Πηνελόπη, ὄνομα κύριον.

Πηνέλοψ, ὄρνις ποιός. ¶Πηνικίζειν, ἀπατᾶν.

Πηνικισμάτων. φενακισμάτων.

Πήνιον, τὸ ἀνάπτειν. λέγεται ἡ ἐργασία. ¶Πήνια, ἐντίθεταί τινα τοῖς πλακοῦσι λεπόμενα πηνία. ἔστι δὲ λευκὰ καὶ προσόμοια τοῖς πηνίοις ὄντως. ¶Πηνίκα, ποτὲ, ἢ τότε ¶Πηνίκα δὲ, ὅτε δὲ, ἢ ποτὲ δέ.

Πήνη, θρὶξ. ἐμπλοκή. ¶Πηνίον, πανούκλιον, ὃ ἄτρακτος, εἰς ὃν εἱλεῖται ἡ κρόκη. ¶Πηνειὸς, ποταμός. ¶Πῆνος, ὕφασμα. ¶Πηνώμενον, πηνιζόμενον. τειβόμενον. ¶Πῆξαι, κατασκευάσαι, στῆσαι.

Πήξας, στήσας, βαλών. κατασκευάσας. ¶Πῆξε θυμὸν, ἔπληξε τὴν ψυχήν. ¶Πηοὶ, συγγενεῖς, οἱ κατ' ἐπιγαμίαν οἰκεῖοι ἀπαθοί. ἀναγκαῖοι αὐθαίρετοι.

Πήραξον, ἀφόδευσον. ¶Πηρεφονία, περσεφονεῖα, λάκωνες. ¶Πηρεία, ἀπήνδοι, τὴν χώραν τοῦ ἀγροῦ. Πηρεία πόλις ἐν θεσσαλίᾳ. ¶Πήριξ, περδιξ κριτοῦ.

Πηρὶς, ὄχθη. κύλη, αἰδοῖον, καὶ ἱερείου ταμεῖα.

Πηροῖς, βλάπτοις. ¶Πηρὸν, ἐστερημένον τῆς φωνῆς ἐνεὸν δὲ, πεπηρωμένον καὶ βεβλαμμένον ἀπὸ τὴν διάνοιαν τὸν ἐνεὸν καὶ ἄφωνον, προσπαρατιθεμένως δὲ τὸν τυφλόν. ¶Πηρὸν, τὸν παντάπασι μὴ ὁρῶντα.

Πήρωσις, βλάβη λύπη τύφλωσις.

Πήσασθαι, μέμψασθαι. ¶Πήτεα, πίτυρα.

Πητεῖτη, πιτύελοι ἄρτοι λάκωνες. ¶Πηχέων, πηχῶν. ¶Πῆχυς, νεῦρον, ὃ ἐστι τοῦ τόξου μέσον. ἔνιοι τὰ ἄκρα, κιθάρας δὲ πῆχυς ὁ ἀγκὼν, ἢ ὁ εἷς καὶ ἥμισυ ποῦς. ¶Πηῶν, φίλων, συγγενῶν.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Ι.

Πιαζόμενος, θλιβόμενος. ¶Πιαίνει, στεύει.

.π λιπαίνει. ¶Πιανάτω, λιπανάτω.

¶Πιαινέτω, λιπαινέτω. ¶Πιαλέον, λιπαρόν. ¶Πιανεῖ συνῳδὰ, τῷ θρηνητικῷ ὕμνῳ.

Πιαλὸν, παράλευκον. ¶Πῖαρ, τὸ κράτιστον, καὶ στέαρ, τὸ πέρας καὶ λιπαρόν. ¶*Πιάριε, τὸ ἄσημον ἀργύριον. ¶*Πίγγαλος, σαυρὸς ὁ καλούμενος χαλκίς. ¶Πιγγανεύσατιον, ἀμεθίας γλαυκόν.

Πίδακες, σκοπιές. ¶Πιδακοέσσης, καθύγρου.

Πίδαξ, λιβὰς, κρήνη ἀναβολὴ ὑδάτων, πηγὴ, ἄκρον ὕδατος. ¶Πίδαξι, πηγαῖς. ¶Πιδηέσσης, καθύγρου.

Πιδακώδεις, καὶ ἡμεῖς πίδακα λέγομεν τὸ ἀναβάλλον ὕγρόν. ¶Πίλατι. προσπελάζει. ¶Πιδὼ λιμὸς ἐν ἰθάκῃ. ¶Πιέειν, πιεῖν. ¶Πιέζειν, κατέχειν. θλίβειν. σφίγγειν. μαλάσσειν, βρέχειν. ¶Πίειρα λιπαρά. εὐδαίμονα πλούσια, καὶ πίειρα. ¶Πιερία, ὄρος, ὁ λιπαρά. ¶Πιερίδες. αἱ μοῦσαι ἐν μακεδονίᾳ. ¶Πιερίη ἡ ἀκρώρεια τοῦ ἐν μακεδονίᾳ ὄρους.

Πιέσαι, πιάσαι. ¶Πιεσθεὶς, δαμασθείς. ¶Πιῆλαι, ὠφελῆσαι, αὐξῆσαι. ¶Πιθάκναι· καὶ πιθάκνια, οἱ μικροὶ πίθοι καὶ σκεῦαι. ¶Πιθανὰς, πιστούς. 15 ¶Πιθανολογία διάλεξις ἀληθής. 18

Πιθανὸν, ἀληθινὸν πιστὸν εὐπειθές. ¶Πιθήνης, πόλις.

Πιθήσας, πιστεύσας. ¶Πειθεὶς, πισθεὶς.

Πιθαρχεῖ, πείθεται. ¶Πειθοῖ, πισμονὴ, πίστις.

Πιθοίγια, ἑορτὴ ἀθήνησι. ¶Πιθραύσκεται, φανεροῦται. ¶Πίσκον, πείσας. ¶Πικράσι, πικροῖς.

Πικειν, ξαίνειν. ¶Πίκεται, κτενίζεται.

Πικὸν, πικρὸν χαλδαῖοι. ¶Πικρὸν, χαλεπὸν ἀργαλέον. ¶Πικρῶς, κατακόρως ἀκράτως.

Πίλημα, ζώνη μίξα. ¶Πιλιπασμὸς, ποιότης φωνῆς.

Πίλνα, προσήγγιζε. ¶Πίλναι, προσιγγίσαι.

Πίλναται, προσπελάζει. ¶Πιλνάμενον, ἐμπελαζόμενον, πιεζούμενον. ¶Πίλνασθαι, ἐγγίζειν, πλησιάζειν. προσάγειν. ¶Πίλναρ, προσπέλαζε, προσήγγιζε. καὶ τὰ ὅμοια,

Πιλνὸν, φαιὸν, κύπριοι. ¶Πιλοῖς. πιλωτοῖς. ¶Πιλὸς, κοχλιός.

Πεσσοῖς, πεττοῖς βολίοις, κύβοις. ❡Πέσσον, ὄρος. Χαλδαῖον κύπριοι. πέδιον αἰολεῖς. τινὲς ὁμαλίς.

Πεσσός, οὕτως ἐκάλουν τὰς ψήφους αἷς ἔπαιζον. καὶ τὸ πολὺ τὴν κόρην μέλαν τοῦ ὀφθαλμοῦ. ❡Πεσσοῖσι, τοῖς κύβοις παρὰ τὸ πίπτειν ἀνῳδ. ❡Πέσσω, ὀπτῶ, σφάττω. ❡Πεσσυμπεῖν, σκυτίον. ❡Πεσσύπτω, σκυτεύειν. ❡Πέσσυρα, πίσυρα τέσσαρα.

Πέσσυρες, τέσσαρες αἰολεῖς. ❡Πεστὸν, πέχον.

Πέτα, πλῶσαι σάχυδα. ❡Πετάζει, ἁπλοῖ σκεπάζει

Πεταιτέ. μετέωρα ἀμπλουργία, ὡς αἱ ἀναδενδράδες

Πετάλα, ὀνόματα θήλεια καὶ βοῦς. ❡Πέταλα, οὐδέτερος τὰ φύλλα. ❡Πεταλίζειν. βλαστεῖν, φυλλολογεῖν. ❡Πεταλισμός, ὁ διὰ φύλλων ὀστρακισμὸς γινόμενος. ❡Πέταλον, φύλλον, καὶ ἐπὶ ἐλαιοσίδος, τὸ καλύπτον τὸ σῶμα. ❡Πεταλώδην, ἀκμαιότατον δυσειδέστερον. ❡Πεταλίδων, ἠῶν μετέχειν ἀπὸ τοῦ μόσχου, πέταλοι γὰρ οὗτοι λέγονται.

Πεταλοῦνται, ἐξαπλοῦνται, ἐκφύουσιν. ❡Πέτακνον, ποτήριον, ἐκ πέταλον δὲ αὐτὸ καὶ πέταχνον.

Πετάσας, ἁπλώσας πανύσας. ❡Πεπάσθαι, πεμβρωκεκτῆσθαι. ❡Πετάσειεν, ἁπλώσειεν, κουφίσειεν, ἀπὸ ἐνεστῶτος τοῦ πετάζω. ❡Πέτασος, τὸ τῶν ἐφήβων φόρημα. πέταυρα, τίνα. ❡Πέταυρον, ξύλος παγίδος. ❡Πετελκές, καμπύλον.

Πετεινῶν, πτεινῶν. ❡Πετέσθαι, ἐπαίρον τὸ δυϊκῶς.

Πέτευρον, σανίς, ἐφ' ἧς αἱ ὄρνεις κοιμῶνται. καὶ πᾶν τὸ ἐμφανὲς ῥυτῷ. καὶ ὄργανον ποιὸν, καὶ πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ, ἔστι δὲ λεπτὸν ὅπερ ἐν μετεώρῳ κείμενον ἢ πέτευρον λέγεται ἢ καὶ πέντευρον.

Πετεών, πόλις. ❡Πέτηλας, τοὺς μικροὺς καὶ θαμνώδεις φοίνικας. ❡Πετηλίς, ἀκρίς. ❡Πετηνίς, κόρις. ❡Πέζαι ἠλίβατοι, ὑψηλοὶ κρημνοί, ἀκρώρειαι. ❡Πετρέμβατοι, ὑψηλοὶ κρημνοί.

Πετραδίλαι, οἱ μὲν τοὺς ἀποπνευματισμοὺς, οἱ δὲ, εἶδος ἰχθύων. ❡Πετρεφράμη, θρασεῖα, θερμή.

Πετριτ' ὠλενίη, πόλις. ❡Πέτρον, λίθον. ❡Πεττείαν παίζει. ❡Πεττεία ἡ διὰ κύβων παιδιά. ❡Πετταῖς, κύβοις τάβλαις παιδιλαῖς. ❡Πεττεύει. διαπαίζει, μεταστρέφει, κυβᾷ. ❡Πέτρος, ἐπιλύων ἐπιγινώσκων, οὕτως καὶ σίμων καὶ κηφᾶς καὶ συμεὼν ἐλέγετο. ❡Πεττοὶ, βόλια ἐν οἷς παίζουσι.

Πεττεύουσι, κυβεύουσιν. ❡Πέττουσιν, ἑψοῦσιν.

Πευθρία, ἀρτοθήκη. ❡Πεύθεται, πυνθάνεται, ἀκούει.

Πεύθετο, ἤκουεν, ἐπυνθάνετο. ❡Πεύθη, πύστις ἐρώτησις. ❡Πευθῖνες, πιστοὶ μάρτυρες. ❡Πευθίς, ἐψηθείς. ❡Πευκίδες, λαμπάδες. ❡Πευκαλέεται, ξηραίνεται, ἢ αὐτὶ τοῦ ζητεῖται, ἀεισίας.

Πευκαλέον ξηρὸν ἀγγεῖον. ❡Πευκαλίμαις, συνεταῖς ὀξείαις, πικραῖς ἢ ἀγαθαῖς. ❡Πευκαλίμη, θερμὸ θρασεῖα καὶ φλεγμαίνουσα. ❡Πευκαλίμῃσι, πυκναῖς, συνεταῖς, καὶ τὰ ὅμοια. ❡Πευκάνα, πυκνονία ἱστοῦ παρὰ πλέγμα. ξωχίαι. ❡Πευκεδανόν. ἐχεπευκὲς πικρόν. ❡Πευκέτιοι, οἱ πολὺ τὸ βρεττέσιον οἰκοῦντες. ❡Πευκινόδακρυ, πίσσαν. ❡Πεύκλα, ἁμαξοχεῖαι. ❡Πεῦσις, ἐρώτησις, ἀπόκρισις.

Πεύσομαι, ἐρωτήσω, ἀκούσω, ἐρευνήσω, μάθω.

Πευστὸς ὑπήκοος. ❡Πέφανται, πεφανέρωται, ἢ πεφονευμένοι εἰσίν. ❡Πεφάσθαι, φονεύεσθαι καὶ ἀναιρεῖσθαι, ὅθεν καὶ φάσγανον. ❡Πεφασμένον, φανερὸν, ἀνῃρημένον, ἢ πεφανερωμένον. ❡Πεφάσσουσι, ἐνθουσιωδῶς ὁρμῶσι. ❡Πέφαται, εἴρηται τέθνηκεν ἀνῄρηται, πεφόνευται. ❡Πεφαύλαχεν, ἠμβλυκεν. ❡Πεφαυλισμένον, ἀποδεδοκιμασμένον:

Πεφένακεν, ἠπάτησεν. ❡Πεφενακισμένος, ἐξηπατημένος. ❡Πέφη, ἐφάνη, ἢ πεφύκασι. ❡Πεφίμωσο, παῦσον. φιμώθητι. ❡Πεφόνακεν, ἠπάτησεν. ❡Πέφηνεν, ἐφανερώθη, ἐφάνη, ὑπῆρχεν.

Πεφηνώς, ἔτοιμος φανερός. ❡Πεφίσαι, τολμήσεις ὑπομεῖναι, τεθνήξεις. ❡Πεφίσεται, φανεροποιήσεται. ❡Πεφείδεσθαι, φείδεσθαι. ❡Πεφλάζει. βράζει. ❡Πέφλοιδε. τὸν φλοιὸν ἀποβαλών.

Πεφλοιδέναι, φλυκτενοῦσθαι. ❡Πέφνειν, κτεῖναι.

Πέφνεν, ἀνεῖλεν ἐφόνευσεν. ❡Πεφοβημένοι, εἰς φυγὴν τετραμμένοι. ❡Πεφοβῆσθαι, κεκοσμῆσθαι κομᾶν δεδοικέναι. ❡Πεφοινιγμένη, ᾑματωμένη, πεπυρωμένη. ἀπὸ φόνου, ἢ φοίνικος. ❡Πεφοινικότες παραγενόμενοι. ❡Πεφορημένα, ἐνυφασμένα, πεπληρωμένα κεχορτασμένα. ❡Πεφορύνθαι, μεμιάνθαι. μεμολύνθαι. ❡Πέφραδεν, εἶπεν ἐσήμηνεν.

Πέφραδε, δεδηλωμένος ἐστιν. ❡Πεφρασμένος. παρεσκευασμένος εἰς τὸ φρασθῆναι προσηκτικὴν ἔχων δύναμιν. ❡Πεφρίκασι. δεδοίκασι. ❡Πεφρικυῖα δεδοικυῖα. ❡Πεφοβῆσθαι, πεφρικέναι. ❡Πεφυρμένον, τὸ εἰς τὴν χεῖρα φυρασόμενον, ἢ πεφυρᾶται.

Πεφυγμένος, πεφευγώς. ❡Πεφυζότες, μετὰ δέους φεύγοντες. ❡Πεφύκαμεν. ἐσμὲν ὑπάρχομεν.

Πέφυκεν, ὑπάρχει ἐγένετο. ❡Πεφυκώς, ὑπάρχων.

Πεφυραμένοις, μεμιγμένοις. ❡Πεφυρμένοι, μεμιασμένοι. ❡Πέφυρται, μεμίανται. ❡Πεφυσιγγωμένοι. ἀπὸ τῶν ἐν τοῖς σκορόδοις φυσίγγων, ὅπερ ἐστὶν ἐντερίων. ❡Πεφυσιωμένοις, ὀγκωμένοις κενοδοξοῦντας ἐπηρμένοις. ❡Πεφωραμένα, ἐληλεγμένα, κατειλημμένα, φωράσαι γὰρ τὸ ἐλέγξαι.

Πέχεις, ἔλαφος ἀμείας. ❡Πέψαι, ἑψῆσαι, ἐλεῖν κατασκευάσαι, ἢ πραῦναι. ❡Πέψις, ἀρτοποιΐα.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Η.

Πῆ, πῇ, πᾶς. πῶς εἴς τινα τόπον: ❡Πήγαδα, τὴν οὐ πολλῷ ὕδατι κεχρημένην γῆν, ὕστερον πεπηγυῖαν ξηρὰν καὶ πεπηγυῖαν. ❡Πηγάζει, ἀναβλύζει. ❡Πηγαὶ, τῶν ὀφθαλμῶν οἱ πρὸς τῇ ῥινὶ κανθοί. ❡Πηγαῖον, τὸ ὄστρακον, ὃ καὶ ἀρδάνιον ὁμοίως λέγεται. ❡Πηγαῖον ὕδωρ, τὸ πολὺ καθαρὸν τὰ πρὸς τῆς οἰκίας τοῦ ἀποπεμπομένου, ὅτε ἐξεκόμιζον. ❡Πηγεσιμάλλῳ, εὐπαγεῖς καὶ εὐτραφεῖς ἔχοντι μαλλοὺς, πηγὸν γὰρ τὸ εὐτραφές. τινὲς δὲ λευκὸν τὸ πηγὸν, οἱ δὲ μέλαν. ❡Πηγόν, οἱ μὲν λευκόν. οἱ δὲ μέλαν καὶ εὐτραφῆ ἢ μέγαν.

Πηγυλίς, ψυχρία παγετώδης. ❡Πηδαῖος, πόλις καὶ ὄνομα κύριον: ❡Πηδάλια, τῶν ἀκροστόλων οἱ ὀπίσθιοι πόδες. ❡Πηδαλίοις, οἰαξιν.

Π ερισκελίς, δυσχερές. ¶Περίσκεψο, φρόντισον ποίησαι καὶ ἐπιμέλειαν, ἀντὶ τοῦ λαβοῦ καὶ περιδράξασθαι.

Π ερισχέσθαι, ἀγαπῆσαι. ¶Περίσχεν, ἠγάπησεν. ἐφείσατο. ¶Περισκελίς, εἶδος ὑποδήματος εὐτελές. ¶Περισχόμεθα, περισσῶς ἐρχόμεθα, ἀντιλαμβανόμεθα. ¶Περισχών, περιτείνας ἢ ἐπισχών.

Π εριτέμνεσθαι, περιαιρεῖσθαί τι ἀπὸ αὔλακος.

Π εριτεμνόμενοι, περιελαύνοντα μεταφορικῶς ἀπὸ τῶν γειτόνων. ¶Περί τ' ἀμφί, κύκλῳ πέριξ.

Π ερί τ' εἰμί, ὑπερέχω· ὑπερφρονῶ. ¶Περιπελομένων, πληρουμένων περιερχομένων. ¶Περιτέρμα λαβοῦσα περιελάσας τὴν καμπτῆρα. ¶Περιτετάσθαι, ἁπλῶσθαι ἐπὶ τὰ ἴχνη. ¶Περιτεύξεται, συντύχῃ ἢ περιπέσηται. ¶Περιτευξοίμεθα, περιτύχοιμεν. ¶Περιτευξόμενος, περιτυχεῖν μέλλων. ¶Περιτιλλόντων, συλώντων. ¶Περὶ τὴν λέξιν, ἐν αὐτῇ τῇ λέξει. ¶Περιπάτια τῶν πεζῶν, περίπτες μὲν οἱ φύλακες, περίπτεια δὲ μακεδονικὴ ἑορτή. ¶Περιτίθεται, περιβάλλεται.

Π εριρμίς, μέρος τι ἐπὶ νεώς. ¶Περιτόνιον, μέρος τι ἐπὶ νεὼς καὶ τοῦ δένδρου. ¶Περιτρέπεται, ἰλιγγιᾷ.

Π εριζέσατο, περιεσπάσατο. ὅθεν καὶ ῥοφαλὶς τὸ πεπηγμένον. ¶Περιτρεβομένων, πλεκομένων.

Π ερίτριμμα, τετριμμένον.

Π εριτροπέων, περιτρεπόμενος μέλλων τελειοῦσθαι ἢ περιερχόμενος. ¶Περιτρόπου. ἴλιγγος.

Π εριτρόπιος, ἐπάνω ἐπὶ τρόπιδος ἐπὶ ἀγρῶς.

Π εριτροπεόντων, περιχορευόντων. ¶Περίτροχον, στρογγύλον. ¶Περιττοί. περισσοί. περίσχοι.

Π εριφαλλία, πομπὴ Διονύσῳ τελουμένη τῶν φαλλῶν.

Π εριφάνεια, λαμπρότης δόξα. ¶Περιφανέστερον, ἐμφανέστερον. ¶Περιφέρεια, διαστροφὴ κύκλος.

Π εριφερές, στρογγύλον. ¶Περιφέρεται, πλανᾶται.

Π εριφερόμενα, λαλούμενα. ¶Περίφημος, ὀνομαστός. ¶Περιφίτης, ὁ κορωνίτης.

Π εριφθείρεται, ὁ ὡς φθεῖρας συλλέγει, ἢ μειοῦται, ἐλαττοῦται. ¶Περιφοιτῶντα, περιερχόμενον περιγινόμενον. ¶Περιφορά, ἡ κατὰ κύκλον κίνησις.

Π εριφοραί, ὁμοίως. ¶Περιφορᾶς, περισπασμοῦ. πλάνης. ¶Περιφραδέως, περιπεφρασμένως ἐμπείρως. ¶Περιφραστικῶς, δύο λέξεων τὸ αὐτὸ σημαινουσῶν ὄνομα. ¶Περιφρονεῖς, περισσοφρονεῖς ὑπερφρονεῖς. ¶Περίφρων, σωφρονέστερος, ἢ περισσῶς φρονῶν συνετώτερος.

Π εριφρῦναι, περιλαβεῖν, περιπλακεῖν.

Π ερίχαρις, χαιρόμενος. γελωτοποιός.

Π εριχάσκειν, ἀνοῖξαι τὸ στόμα. ¶Περιχεύας χρυσῷ, περιπάσας χρυσίῳ. ¶Περιχειλοῦντες, ἀντιπάλιν κορεσθέντων. ¶Περιχλανίζεται, περικαλύπτεται καλλωπίζεται. ἢ στρατεύεται.

Π εριχόρευ, περιχορεύω. ¶Περιχορίζειν, ἐνόπλως συντόνως ὀρχεῖσθαι. ¶Περὶ χροΐ. περὶ τὸ σῶμα. ¶Περὶ χροῒ ἕσσατο, περιεβάλετο.

Π εριχωρεῖ, συμμίσγεται. ¶Περιχώριον, μέγιστον, πλείστον. ¶Περίψημα, περικατάμαγμα ἀντίλυτρα ἀντίψυχα. ἢ ὑπὸ τὰ ἴχνη πάντων.

Π εριψύκτης, περιπαθής. ἐκ ψυχῆς ὅλης ἀσπαζόμενος. ¶Περιώσια, ἐπίσαξα, οἱ δὲ τὰς κνημίδας αἱ περιπίπτουσι ταῖς ἁμάξαις. ¶Περιώκαλα, ὑπέρσεμνα ὑπερβαλόντως καλά. ¶Περιωπή, ἄποψις τόπος ὑψηλὸς ὅθεν ἔστι περισκοπῆσαι, ἀκρώρεια. ¶Περιωπῆς, προσόψεως. ¶Περιώζοις, ὠθοῦσας, ζώσας. ¶Περιῶσιν, ζῶσιν ὑπάρχουσιν.

Π εριώσιον, περισσῶς περισσῶς. ¶Περιωσόν, μέγα ἢ πολύ. ¶Περκάζει, μελανίζει ποικίλλει, ἢ πεπαίνεται. ¶Περκαίνειν, διαποικίλλεσθαι καὶ τὰ ὅμοια. ¶Πέρκαινα, τὰ ἱστοῦ περιπλέγματα.

Π ερκνόν. μελανόν, ποικίλον. ¶Περκνός, γλαυκὸς μέλας καὶ τὰ ὅμοια. ¶Περκώματα, τὰ ἐπὶ τοῦ προσώπου ποικίλματα. ¶Πέρκωσος καὶ περκώτη πόλις. ¶Πέρμησος, ποταμός. ¶Περνᾶται, πωλεῖται. ¶Περνάμενα, πωλούμενα.

Π ερνᾷς, πωλεῖς. ¶Πέρναξ, θρίδαξ. ¶Πέρνο, ἔνιοι μετὰ τοῦ τ πτέρνο. ἔστιν γὰρ τι ἀκρωτήριον ἐπὶ Αἴτνης οὕτω προσαγορευόμενον. ¶Περνᾶν, ἐμπωλᾶν.

Π έρνησον, πώλησον. ¶Περομνύναι, ἐλέγχεσθαι.

Π ερόναι, πόρπαι καὶ τὰ ἀντικείμενα τῇ κνήμῃ ὀστᾶ.

Π ερόνη, ῥαφίς. ¶Περονήσατο, ἐπορπήσατο. ἐπερονήσατο, διείρατο. ¶Περόχια, τὰ ῥάκη.

Π ερπερᾶ, προπετεῖ. ¶Περπερεύεται, κατεπαίρεται.

Π έρπερος, μετὰ βλακείας ἐπαιρόμενος.

Π ερὶ πολλοῦ ποιεῖται, τιμᾷ. θεραπεύεται.

Π έραμος, βασιλεύς. ¶Περρεθήκαρ, πεποιθήκατο.

Π έρρεια, πρὸς Ἀθήνησι τιμᾶται.

Π ερρέχειν, ὑπερέχειν. ¶Περρησπασίαν, τὴν ἀναξέουσαν ἵππον. ¶Πέρρισαι τῆς Ἀττικῆς δῆμος ἐν ἀφνίδαις. ¶Περσί, πρός σε.

Π ερσάντων, ὀλεσάντων, πορθησάντων, ἀνελόντων.

Π έρσαι, τὰ αὐτὰ καὶ τὸ ἔθνος. ¶Πέρσης. κυβευτικοῦ βόλου ὄνομα. ¶Περσίδα. πόλιν περσικὴν ὃ ἐστιν ὑπόδημα. ¶Περσηΐα. ἡ ἀφροδίτη.

Π ερσικαί. εἴδη καρύων, ὁ εὐτελοῦ ὑποδήματα καὶ ὀρθοὶ βακτηρίαι καὶ ὄρχησις περσική. ¶Περσικὸς ὄρνις, ὁ ἀλεκτρυών. ¶Πέρσος, ἰχθὺς ποιὸς ἐν ἐρυθρᾷ γινόμενος. ¶Περσινόν, ἔφηβον τὸν ὑπὸ ἐφέβων.

Π έρυσι, ὁ παρεληλυθὼς χρόνος.

Π έρφερες, θεωροί. ¶Περφίλα, σπάδιος, κύειον ὄνομα. ¶Περώσιον, μέγα. ¶Πεσέσθαι, πεσεῖσθαι.

Π έσημα. πτῶμα. ¶Πεσκέων, δερμάτων.

Π έσκος. πικρὸν, ἢ κώδιον, ἢ δέρμα. ¶Πέσμα, πίεσμα ἢ μόσχος. ἔστι δὲ ὃ σὺν τὸ φύλλον ἤρτηται.

Π εσοῦνται, πεσοῦσιν. ¶Πέσσει, πέσσειν, ἢ πέττειν καὶ νέμειν καὶ τεχνάσθαι τῇ διανοίᾳ. ¶Πεσσά, πεντέγραμμα καὶ κύβων βολάς, σοφοκλῆς ναυπλίῳ πυρκαεῖ, παρ' ὅσον πέντε γραμμαῖς ἔπαιζον, διαφέρει δὲ πεττεία κυβείας. ἐν ἧ μὲν γὰρ τοὺς κύβους ἀναῤῥίπτουσιν. ἐν δὲ τῇ πεττείᾳ αὐτὸ μόνον τὰς ψήφους μετακινοῦσι. ¶Πέσσει, πεπαίνει. θεραπεύει. κατέχει. ἢ καταπραΰνει. ¶Πεσσῶν, πεσεῖν. ¶Πέσσεται, ὁπλᾶται. ἀρκάδες ὁπλίσαι. ¶Πεσσεύων, μετατίθεσαι τὴν γνώμην πρὸς τὸ κρεῖττον. ¶Πεσσήματα, πλάσεις. ¶Πεσσημάτος. πλάσεως. πλάσματος.

τὸ ἐκ διαλειμμάτων ἐπιπεσὸν ὄνομα. ἡ χρόνος, ἡ κύκλος, ἡ ἐν λόγοις καὶ ἡ περὶ γῆς περιήγησις. καὶ ἡ τάξις τῶν αἰώνων, καὶ ἡ περὶ χορὶς ἰατροῖς, καὶ ἡ ψῆφ. καὶ μέτρον τι τῶν μετάλλων. ¶ Περιόδων, χρόνων κύκλων. ¶ Περιοδῷ, κυκλώσει. ¶ Περιοίκιον, ὁ περὶ τὴν πόλιν, ἢ τὴν ἔπαυλιν τόπος, τινὲς δὲ περίβολον. ¶ Περιοίσει, αὐήσει ἐκ τοῦ νόσου.

Περιοκωχὴ, περιωπή. ¶ Περιωπὴ, ἀκρωτήρια, ὕψος, τόπος ὑψηλός. ¶ Περίοπτον, ἐπιφανῆ, πολυθέατον, περίβλεπτον. ¶ Περιορᾶν, ὑπερορᾶν.

Περιθεία. ἑορτὴ ἐν Κύπρῳ. ¶ Περιόργως, ὑπερόργως καὶ παρωρμημένως. ¶ Περιοριζόμενοι, περιεχόμενοι, γνωσκόμενοι. ἐξωλισθαίνοντες. ¶ Περιορίσαι, περινοῆσαι. ¶ Περιορισθῆναι, γνωρισθῆναι, διορισθῆναι. ¶ Περιοριστὸν, περιγραπτόν.

Περιουσία, περισσὸς πλῆθος. ¶ Περιουσιασμοῦ, πλήθους. ¶ Περιούσιον, πολὺ, περισσὸν, περιττόν. ¶ Περιούσιος, πλούσιος πολύς.

Περιοχὴ, περίστασις καὶ ὑπόθεσις καὶ φυλακὴ καὶ ἡ περὶ πάντων πολιορκία. ¶ Περιοχῆς, τετειχισμένης. ¶ Περιόψεται, καταφρονήσει.

Περιπαθῶς, συμπαθητικῶς. λυπηρῶς. διαπενθίς.

Περιπαλαχθῆναι, περιπλακῆναι. ¶ Περὶ πάντων, ὑπὲρ πάντας τοὺς ἄλλους. ¶ Περίπατοι, αἱ ἰσοεῖαι καὶ οἱ λόφοι, ἢ τόποι διακινήσεων. ¶ Περιπέζαι, τὰ περὶ ῥὶς πόλας. ¶ Περιπεζία, πεπηνῶος. ¶ Περιπείρω, περικεντήσει. Περιπέπαλκα, περιπεπάλυκα, περιπεπάληγμαι. ¶ Περιπετάσας, περιβαλών. ¶ Περιπεπλεγμένα. περιπεπλεγμένα τοῖς μέλεσιν, οἱ γὰρ ἀλεῖπται, τὸ σῶμα πλέγμα λέγουσιν. ¶ Περίπεπλον, τὸ περιπεπημμένον. ¶ Περιπτύσσεσθαι, πτύξας περιαπλώσας.

Περιπεπλῆχθαι, διαλλαχέναι τὰ σκέλη ἀσχημόνως.

Περιπέτεια, ὑπόθεσις, συμπλήρωσις, σύμβασις.

Περιπετεῖς, περιερχόμενοι, ἐναντίοι, ἢ προπετεῖς, ἢ περιπεσόντες. ¶ Περιπεφρίξεσθαι, περικρούεσθαι.

Περίπτερον. πανταχόθεν, ἐξέχον. ¶ Περιπευκὲς, ἢ περίπευκος, περισσῶς πικρὸν διὰ τὸ χεῖσθαι, πικρὰ γὰρ ἡ πεύκη. ¶ Περιπυγίς. πόρνος μάχλος.

Περιπυγὶς, περιπυγὶς ἐμπυγίς. ¶ Περιπλὴξ, περιπλέγδην περιβάλλειν. ¶ Περιπλήξ. περιειληφώς. ¶ Περιπλεὶς, λίαν πλεονάκις.

Περιπλομένων, περιπλανωμένων ἤγουν περιερχομένων. ¶ Περίπλοας, περιόδους. ¶ Περὶ πόδα, οὕτως ἐκάλουν τὸ ἁρμόζον. μεταφέροντες ἀπὸ τῶν συμμέτρων τοῖς ποσὶν ὑποδημάτων, ἢ ἀκριβῶς.

Περίπολος, ἀντὶ τοῦ ἁρμόζοντος καὶ περὶ πόδα. τὸ ἡρμοσμένον ἀπὸ τῶν ὑποδημάτων. ¶ Περιποιεῖται, προξενεῖ, ζωοποιεῖ. ¶ Περιποίησις, πλεονασμὸς, κτῆσις. Περιποιητικὸς, διοικητικός. ¶ Περιπολεῖ, περιοδεύει, περιέρχεται. ¶ Περιέπει, ἀναστρέφεται. περιπολεύει, κυκλεύει καὶ τὰ ὅμοια.

Περίπολος, φρουρὸς ἔφορος. ¶ Περὶ πολλοῦ ποιοῦμαι, θεράπευε. ¶ Περιπόνηρος, ἀρτέμων, παρὰ τὴν παρωνυμίαν τὴν περιφέροντος ἀρτέμωνος, εἰσὶ δὲ ἀρτέμωνες δύο. ¶ Περιπτεύει, ὅταν ἀφῇ αὐτὸν ὁ

ἄλλῃ ὁδῷ. ¶ Περιπρωκτιῶσι, συμφερομένῳ τῇ πυγῇ. ¶ Περιπτύσσομαι, καταφιλῶ.

Περίπτερα, οἱ ἀποσπινθηρισμοί. ¶ Περίπτερον, ὑψηλόν. πανταχόθεν ἐξέχον, ἢ στέγην ἔχουσαν ἐξοχήν.

Περιπτώσαντες. περιδραμόντες. ¶ Περιπτυχαί, περίβολοι. ¶ Περιπτύσσει. καταφιλεῖ. ¶ Περίπυσα, διαβόντα. ¶ Περιρραίνεσθαι, περιρραντίζεσθαι ῥαντίζεσθαι. ¶ Περιρρέζειν, τὸ ἐπὶ τοῖς καθαρσίοις θύειν. Περιρρεμβεῦσαι, περιφοιτῆσαι.

Περιρρίον, περὶ τὸ ἀκρωτήριον. ¶ Περὶ ῥέθει, περὶ ταῖς παρειαῖς. ¶ Περιρρυδὴς, περικεκλασμένος.

Περισσοβηθεὶς, οἱ δὲ περιερριμμένος, ἢ ὑπτιασμένος.

Περισαίνοντες κολακεύοντες περὶ τὸ σαίνειν ὡς τῶν κυνῶν τὴν οὐρὰν κινούντων. ¶ Περὶ σοί. περὶ σοῦ, ἐγγύς σου γνησίως διάκειμαι. ¶ Περὶ σοῖο, περὶ σοῦ καὶ περὶ σοῖο περὶ σοῦ. ¶ Περισσεία, τὰ πλέγμα φιλότητος. ¶ Περίσημον, διαβόητον. ¶ Περισπᾶν, ἀφέλκειν τοῦ προκειμένου. ¶ Περισκαίρουσι, περισκαρίζουσι. ¶ Περισκελὲς, σκληρὸν, δυσχερὲς, ἢ μέχρι τῶν σκελῶν. ¶ Περισκέπτῳ, πάντοθεν ὁρωμένῳ. οἱ δὲ μόνῳ κεχωρισμένῳ, ὥστε ἀπ᾽ αὐτοῦ περισκέπτεσθαι. ¶ Περίσκεψις, βάσκανος. ¶ Περισκύπτειν, περιβλέπειν. ¶ Περισσεῖν, ἐν κύκλῳ σείειν. ἢ περιτρέχειν ἢ φωνεῖν ἢ διώκειν. ¶ Περισσομένη, περιθεομένη. ¶ Περίσσονται, περιποιήσονται.

Περισσοκοπῆσαι, περισσολογῆσαι. ¶ Περισπᾶσθαι, περιποιήσασθαι. ¶ Περισπέρχου βοὸς, ὑπερεπειγούσης. ¶ Περισπερχὴς, περιώδυνος. ¶ Περισκέλια βρακκία φιμινάλια. ¶ Περὶ σπονδῶν, περὶ εἰρήνης. ¶ Περιστατὸν, περιστάντες. ¶ Περιστενὸς, οὕτω δράκων καλεῖται. ¶ Περισταλεὶς, κοσμηθεὶς, ἤτοι ταφείς. ¶ Περιστέραλον, περιστεζόμενον. περιερρόμενον τῷ χόλῳ. ¶ Περιστατήρια, σπλάγχνα.

Περιστατὸν, τὸ ἀναστατόν. ¶ Περίστασις, θλίψεις ἀνάγκη μέριμνα. ¶ Περιστεγανὸν, περιοστεγανόν.

Περιστένειν, ἐκθυμενεῖν. ¶ Περιστέλλεται, περικαλύπτεται. ¶ Περιστέλλειν, συγκαλύπτειν. συνάγειν. ¶ Περιστέλλει, καλύπτει, συστέλλει, κοσμεῖ σκέπει, φυλάττει περιβάλλει. ¶ Περιστελοῦμεν, τὰ αὐτά. ¶ Περιστένεται, πάνυ στενοχωρεῖ. ¶ Περιστήθιον, ἱερατικὸν ἔνδυμα. ¶ Περιστίρια, κοσμάρια ποιά. ¶ Περιστίαρχος, ὁ περικαθαίρων τὴν ἑστίαν καὶ τὴν ἐκκλησίαν. ¶ Περιστίξαι, περικυκλῶσαι, περιελθεῖν. περιελάσαι, ἀπὸ τοῦ στίχειν. ¶ Περιστιβεῖν πᾶν τὸ νεκρὸν ἐκπέμψαντες ὑπορρίψασι καὶ τὸ καθάρσιον ποιήσασιν. ¶ Περιστλεγγίσαι, περιξύσαι, στλεγγὶς γὰρ ἡ ξύστρα. ¶ Περιστοιχίσαντες, περιλαβόντες. ¶ Περιστολὴ περιβολὴ ἔνδυμα. ¶ Περιστόμιον, ὁ περιεπλωτίδος τόπος ἐν τῷ βρόγχῳ.

Περιστῷον, περίστυλον. ¶ Περίστροφος, ὁ τῆς ὑποσφαγίδος τόπος. ¶ Περίστῳον, περίστυλον. ¶ Περισυρεῖ, σύρει. ¶ Περίσφακτα, τὰ ἐπιθρήνητα, καὶ ἐπιμελῆ καὶ μοχθηρᾶς ἐπιφωνήσεως ἄξια. ¶ Περισφέτως, περιωδύνως, περιβοήτως. ¶ Περισχαλὴς, ὁ ὑποκρινόμενος τὸ πρόσωπον ὡς περικοχὸν καὶ φανίμωρφον, ψίαθρον ἐν ᾧ περιειλοῦσι τὰς ἰσχάδας.

Περίαλλον, περιφανῶς καλόν. ¶ Περίαλλοι, συνθῆκαι.

Περίδου, σύνθου, ἀπὸ δὲ παραβάλλεσθαι λέγεται. ἢ συνθήκας θέσθαι. ¶ Περὶ δουρί, περὶ τοῦ δόρατι.

Περίδρομοι, τοῦ ἄκτου τὸ ἀπειρόμενον χοινίον διὰ τὸ ἄνω καὶ κάτω βρόχοις, καὶ πάντη περιέχεσθαι. τόποι περιφερεῖς στρογγύλοι. ¶ Περιδρόμοις, τείχεσι. περὶ τοὺς βεβλημένους τείχεσι κύκλῳ. ¶ Περιδρύφη, περιξέει. ¶ Περιδύεται, περιβάλλεται, κρύπτεται. εἰσδύεται. ¶ Περιδῦσαι: περιδύσασθαι.

Περίδυσον, ἀπόδυσον περιδύω ὅμοιον. ¶ Περιδώμεθα, συνθώμεθα. ¶ Περιέβαλλον, ἐκύκλωσαν.

Περιεδύσομαι, συνθηκοποιήσομαι. ¶ Περιέγραψε, περιεγένετο. ¶ Περιέδινε, περιεκύκλωσε.

Περιεδρύφθη, περιεξέσθη. ¶ Περιεζόμενον. περιεχόμενον. ¶ Περιέθει, περιέτρεχεν. ¶ Περιειλημμένως, περιεκτικῶς. ¶ Περιείληπτο, περιέγραπτο, ὃ ἐκεκράτητο, ἐκ τοῦ περιλαμβάνεσθαι.

Περιεῖναι, περιττεύειν. ¶ Περιεῖναι. ἔτι μέλλειν.

Περιείργασμαι, ποιήσας ἐποίησα. ¶ Περιεκώκυτο, περιηχεῖτο. ¶ Περιεκτικόν, τὸ περιέχον, ὅτι γενικόν, ἢ περιληπτικὸν ἐκ τοῦ περιβάλλειν, ἢ ὑπερέχον.

Περιεκτικώτατον, ὁμοίως. ¶ Περιεκτικώτερον, γενικώτερον. ¶ Περιέλαι, κόψον ἔπαρον ἀφελοῦ.

Περιελόμενος ἐπάρας. ¶ Περιελιχμήσατο, τῇ γλώττῃ ὡς δράκων περιεκάθηρεν. ¶ Περὶ ἐμέ, πρός με.

Περιέπει, περιέρχεται. περιεργάζεται. φυλάττει. θεραπεύει. ¶ Περιέπηξαν, ἔπηξαν. ¶ Περιεπλισμένη, περιεξεσμένη, περικεκαθαρμένη. ¶ Περιέπων, ἐνεργῶν. ¶ Περιεργία, ἡ πρᾶξις περισσή.

Περίεργον, περιττὸν ἢ στρεβλόν. ¶ Περιιερεία, καθαρσία. ¶ Περιερέττων, κωπηλατῶν. ¶ Περιέσομαι, περιγενήσομαι κρατήσω νικήσω, κατισχύσω, ὃ μέλλω περιγενέσθαι. ¶ Περιεσπάσθη. ἐσχίσθη. περισπᾶται. ¶ Περιεστήξει, περιστασθήσεται περιφράξει ἢ περικυκλώσει. ¶ Περιεστοιχισμένοι, οἱ περιέχοντες καὶ περιεχόμενοι. ¶ Περιετέμοντο, περιήλασαν. ¶ Περιετίθουν, ἐκρέμων. ¶ Περιέτυχον, συνέτυχον. ¶ Περιευτίζεσθαι, ἀπολοῦναι αὐτόν.

Περιέφραξαν, ἐσκέπασαν. ἐφύλαξαν.

Περιέχομαί σου, ἀντιποιοῦμαί σου. ¶ Περίζωμα, περιβόλαιον. ¶ Περιέχοντες, περιλαβόντες καὶ τὰ ὅμοια. ¶ Περίζυξ, ὁμόζυγος, σύζυγος.

Περιηγές, κυκλοτερὲς περιφερές. ¶ Περιήγε, ἔξω γράφει. ¶ Περιήγητος. ὁ περιπόρφυρος χιτών.

Περιηγμένα, περιφερόμενα. ¶ Περιήεσαν, περιήρχοντο. ¶ Περιήθλεν ὀγάπα. περίηθλον ὀγάπαν.

Περιηθέλωσεν, ἀκόντισεν. ¶ Περιώκασι, περιώρυξε περιέγραψε. ¶ Περιήκοντα, περιέγραψαν ὤρυξαν. ¶ Περίηλος, περίολος. ¶ Περιημεκτεῖ ἀγανακτεῖ, ἀνιᾶται. δυσκολαίνει. ¶ Περιῆν, ὑπῆρχεν ἐπλεόναζεν. ¶ Περιηρημένον, κεκομμένον.

Περιιόντα, περιιοῦσα. ¶ Περιηχήθη, περιεψιθυρίσθη.

Περιθείης, μάθοις πειραθείς. ¶ Περιθειῶσαι, περικαθᾶραι θείως κίσσος(?). ¶ Περιθέσθαι, περιποιήσασθαι, προσλαβέσθαι. κυκλῶσαι. ¶ Περιθοίδαι, δῆμος φυλῆς Οἰνηίδος. ¶ Περιθραυσθέντα, περιθραυσθέντα ῥαγέντα. ¶ Περιθρεκτέον, περιδραμητέον. ¶ Περιθυρεῖν. τὸ περὶ τὰς θύρας ἵστασθαι.

Περιίδμεναι, περισσῶς εἰδέναι. ¶ Περιιόντας, περιερχομένους. ¶ Περιιπτεύοντας, περιτρέχοντας.

Περιίσταται ὥρας, περιέρχεται τὰς ὥρας.

Περιισάμενος, κυκλεύσας. ¶ Περιίσκεψον, κύκλευσον σκόπησον, περίφρυγε, ἀνάστρεψον. περιστοιχίσασθαι, περιέλθη. ¶ Περιιών, περιερχόμενος. ¶ Περικάθαρμα. ¶ Περικαθαίρων, ἀναλύων τὸν περιφαρμακευμένον, ἢ τὸν γοητευμένον. ¶ Περικαλλές, λίαν καλόν. ¶ Περικαλλέως. περισσῶς καλοῦ.

Περικάμπτεται, περικιρᾶται. ¶ Περὶ καπνῷ, περὶ τὸν καπνόν. ¶ Περικάρδιος, ὑμήν, ὁ περὶ τῇ καρδίᾳ.

Περικάρπιος, τὸ λέπυρον σκέπασμα.

Περικεφαλαία, ἡ τῶν τριχῶν γεγονυῖα περιθετικὸν μέρος τῆς κεφαλῆς, ἢ κάσσις. ¶ Περικέχυται, περιείληφεν. ¶ Περικήδεο, φείδου φροντίζων. ¶ Περίκηλα, περισσῶς ξηρὰ τὰ περικεκαυμένα, περιεσχισμένα. ¶ Περὶ κῆρι, κατὰ ψυχήν. ¶ Περικλυτῷ, σφόδρα ἐνδόξῳ. ¶ Περικλυζόμενος, ὁραζόμενος λίαν. ¶ Περίκλομος, ὁ πλουτῶν. καὶ περὶ ὁ κυκλάμινος. ¶ Περικλυτός, ἔνδοξος, περισσῶς καὶ λίαν ὀνομασμένος διὰ τὴν τέχνην.

Περικνημίς, σκεπαστήριον τῆς κνήμης. ¶ Περικοῖται, κλοπαί, λῃστεία. ¶ Περίκουροι, οἱ ἐκ τοῦ κυκλωθῆναι ἁλισκόμενοι ἐν ταῖς μάχαις. ¶ Περικτιόνων, περίοικοι γείτονες. πέριξ οἰκούντων.

Περικτιόνεσσι, περιοίκοις. ¶ Περίκυκλον.* ἵνα ὑπερφῇ. ¶ Περίκωμα, κοίμημα. ¶ Περικωλεῶσαι. περιδρομῆσαι. ¶ Περιαγαγεῖν, στρογγύσαι. ἢ περισπάσαι λακώνων. ¶ Περιλαβεῖν, περιβαλεῖν καὶ τὰ ὅμοια. ¶ Περιλέγειν. τὰ περισσὰ φράζειν. ¶ Περιλεπτές, περιποίκιλον. ¶ Περιλεσχήνευτος, περίπυστος περιλάλητος. ¶ Περιληπτικόν, ἐφαπτόμενον. ¶ Περιλῆσαι, περιτρέψαι.

Περιλιχμώσασα, περιλείξασα. ¶ Περιλυγίζεσθαι, περιστρέφεσθαι. ¶ Περιμάχητον, ὑψηλὸν μέγα, ἰσχυρόν. ¶ Περὶ μέν, περισσῶς μέν. ¶ Περὶ μὲν φάσθαι, καταφρονοῦντας λέγειν. ¶ Περίμετρον ὑπέρμετρον μέγα, τινὲς δὲ ἔγκυκλον. ¶ Περιμήκεος, μακροτάτου. ¶ Περιμήκης, ὑπερμεγέθης.

Περιμήκετος, ὑψηλὸς ὑπερμήκης, ἢ περισσῶς μακράν, καὶ ὑψηλὸν ἐλάτην ἀναβὰς περιμήκετον.

Περιμήκει ῥάβδῳ. ἁλιευτικῷ καλάμῳ. ¶ Περίνεα, περίνεον τὸ αἰδοῖον. ἀφ᾽ οὗ καὶ τὸ περινεῖσθαι.

Περινάμενα περισπασκόμενα. ¶ Περιναίεσαι, περιβόλαια, οἱ ἐν κύκλῳ περιφέρεια παράκειται.

Περίνεως, ὁ δεύτερος ἱστὸς καὶ καθάπαξ τὰ διπλᾶ τοῦ νεὼς σκεύη. ¶ Περινῆσον. ἱμάτιον ἔχον πορφύραν κύκλῳ. ¶ Περινοεῖ, περισσῶς νοεῖ.

Περίνοια, μηχανὴ τέχνη. ¶ Περινομαία, περιφορά.

Περίναιος, τὸ αἰδοῖον. οἱ δέ, τὸν καυλόν, ἢ τὸ τῶν διδύμων δέρμα, ὅ ἐστιν ὁ ταῦρος.

Περινοστεῖ, περιέρχεται. ¶ Περινοστησάντων, περιελθόντες. κυκλεύσαντες ἢ ἐξιόντες. ¶ Περινοστοῦντες, περιφερόμενοι. ¶ Πέριξ, κύκλῳ. ¶ Περίοδος,

Π επαρμένος, φανερός. ¶ Πεπορεῖν, δοῦναι.
Π επερθῆναι, ἀπολωλέναι συντετελέσθαι.
Π επορπημένη, τῇ περόνῃ συνεχομένη. ¶ Πεπωρωμένοι, τετυφλωμένοι. ¶ Πέπαυθε, πεπαύσθατε.
Π έπυσμαι, ἀκήκοα. ¶ Πεπτήκασι, ἔπτηξαν.
Π επραδίλαι, εἶδος ἰχθύων. ¶ Πεπρημένος, πεφυσημένος. ¶ Πεπραχαμεν, ἐπράξαμεν. ¶ Πεπρά τορα, θαυμάσια. ¶ Πεπρίλος, ἰχθῦς ποιός.
Π επρυμένοι, σωροί. ¶ Πεπρωμένη, εἱμαρμένη.
Π επρωμένον, μεμοιραμένον. ¶ Πέπρωται, τετύπωται. ὥρισται. τὸ εἱμαρμένον ζητεῖν. ¶ Πεπρυτανευκώς, ἐπιμεμηνιευκὼς καὶ προσανηλωκώς.
Π έπλασθαι, ἀνεωχθῆναι. περιέχειν. ¶ Πέπλασται ἔπλασται. ¶ Πέπλη, προκύπτει τὴν στροφήν.
Π επλέον, φυλακτέον, ὁρατέον. ¶ Πεπλήνασ, περιβλεψάμενος. ¶ Πεπληκώς, δι' ἀσθένειαν καὶ ἡλικίαν πεπληκώς. Πεπισμένοι, μαθόντες, ἢ εἰδότες.
Π επύθωνται, ἀκούσωσιν ἀττικῶς. ¶ Πεπυκασμένα, ἐσκεπασμένα περικεκαλυμμένα. ¶ Πεπυρακτωμένα, πεπυρωμένα. ¶ Πέπυσμαι, ἀκήκοα, ἔμαθον, ἴδον. ¶ Πεπύσμεθα, ἠκούσαμεν καὶ τὰ ὅμοια.
Π επυσμένος, ἴδων καὶ τὰ ὅμοια. ¶ Πέπυσο, ἠκηκόει.
Π επασμένον, κεκλασμένον. ¶ Πέπωκα, ἔπιον.
Π έπων, ἔκλυτος ἀσθενής. ¶ Πεπωρωμένοι, ἐσκληρωμένοι. τετυφλωμένοι. ¶ Πέρα, πλέον, ἐπέκεινα, ὑπεράγω. ¶ Περάαν, διεκπερᾶν. ¶ Περαιβοί, ἔθνος θεσσαλικόν. ¶ Περαίνει. ἐπὶ πέρας ἄγει πληροῖ. κινεῖ. ¶ Περαίνειν, ἀνύειν, ἀποπληροῦν.
Π έραιοι, οἱ πυλαιοικοὶ τὰ περὶ τοὺς ἀριθμούς.
Π ἐρραίτατον, πορρώτατον. ¶ Περραιτέρω, πλείω ἐμπροσθεν μετὰ τὸ τέλος ἄλλο. ¶ Περαιωθῆναι, τελειωθῆναι. ¶ Πέρα λόγου, ὑπὲρ λόγον.
Π έρας, τὸ τέλος καὶ ἡ λύσις, καὶ τὸ ἐπὶ γῆς πέρας.
Π εράσαι, διαβῆναι, ἀποδόσθαι ἐπὶ πέρατι τῆς γῆς, ἢ εἰς τὸ πέρας διελθεῖν. ¶ Πέρατα, τὰ τέλη.
Π έρασας, εἰς τὸ πέρας τῆς θαλάσσης διαπεράσας, ἐπώλησας. ¶ Περατεύει. ὀργίζει. στέλλει. λέγει.
Π εραιουμένην, ἐκπληρουμένην. ¶ Περγάμιον, δήμιον. ¶ Πέργαμος, ἡ ἀκρόπολις τῆς ἰλίου.
Π εργία, θεὸς ἡ ἄρτεμις. ¶ Περγοῦλον, ὀρνιθάριον ἀργειλωκόν. ¶ Πέργης, πρέσβεις οἱ αὐτοί.
Π έρδικας, καπηλεῖον, χωλὸς κάπηλος ὁ πέρδιξ ὅμεν ἐνθένδε τὴν παροιμίαν φασὶ διαδοθῆναι.
Π εραιώμεθα, συνθήκην παράσχωμεν. ¶ Περαιούμενοι, τελειούμενοι. ¶ Περαιοῦσθαι, διαπερᾶν πλοίῳ ἐπιβάντα. ¶ Περιέπισαν, ἐτίμησαν.
Π έρσαι, διαπράσαι. ¶ Παράτεια, ἡ παραγγέλλουσα τὴν ὥραν τοῖς κεκτημένοις. ¶ Πέρθαι, πορθῆναι. ¶ Πέρθετο, ἐπορθεῖτο. ¶ Πέρι, περισσὸν πλεῖσται. ¶ Περιαγκάμπτοις, καμπαῖς.
Π εριαγγέλλειν, τὸ συνάγειν ὄχλον ἐπὶ τὰς ἐκφορὰς τῶν τετελευτηκότων. ¶ Περιάγει, περιφέρει, ἢ κάμπτει. ¶ Περιάγνυται, περικλᾶται συντρίβεται. ¶ Περιέρχεται, περιχεῖ. ¶ Περιάγνυτο, περιεκλᾶτο καὶ τὰ ὅμοια. ¶ Περιαγρεῦος, περίλογος περιαγρευτής. ¶ Περιαιδεῖσθαι, περιέρχεσθαι, περιϊπνοοι. ¶ Περιαθρεῖν, περισκοπεῖν. ¶ Περιαίνυτο, περιελάμβανεν περιεῖχεν. ¶ Περίαλος, τὸ ἰσχίον. ὅταν εἰλεῖν. ¶ Περιαμπισάμενος. θερίσας.
Π εριαμμάτων, περιάπτων. ¶ Περικοιλος, ὁ ἐγκύκλιος αὐλή. ¶ Περιάπτων, περιαμμάτων.
Π εριαυθαδίζεται, ἐν ὑπερηφανίᾳ ἀναστρέφεται. ἢ μεγαλοφρονεῖ. ¶ Περιεαυτίζεσθαι, τὸ ἐν ἑαυτῷ ἐνδιατρίβειν, ἢ ἀποδιδόναι ἑαυτόν. ¶ Περιαυτίζεται μεγαλοφρονεῖ. ¶ Περὶ αὐτόν. πρὸς αὐτόν.
Π εριβάλλειν, περιλαμβάνειν. πείθειν, στρέφειν. εἰλεῖν.
Π εριβάλλουσιν, ὁμοίως. ¶ Περιβάλλεσθαι, ὑποβάλλεσθαι. ¶ Περίβαρα, ὑποδήματα.
Π εριβαρίδες, ὑποδημάτων εἶδος γυναικεῖον.
Π εριβασώ, ἡ ἀφροδίτη. ¶ Περιβεβυσμένος, περιπεφραγμένος. ¶ Περιβῆναι περιπλακότας, ὑπερασπίσαι ὑπερμαχῆσαι. ¶ Περίβησαν, ὑπερήσπισαν καὶ τὰ ὅμοια. ¶ Περιβλέπεται, περισκοπεῖ.
Π ερίβλεπτος, ἔξοχος, περιβόητος. ¶ Περιβόητος ὁ ἐπὶ κακοῦ ἢ ἀγαθοῦ φήμην ἔχων. ¶ Περιβολή. περίβολος. περιστέρματος ὑπέρτιμος. ¶ Περίβολοι τείχη πόλεων, ἢ περίδρομοι. ¶ Περιβομβεῖσθαι. περιηχεῖσθαι. ¶ περὶ γάρ. περιττῶς γάρ.
Π εριγηθής, περιχαρής. ¶ Περίγειος, πρὸς τὴν γῆν.
Π εριγίνεται, περιοικεῖ περιττεύει. ¶ Περιγλαγέας, γεγαλακτωμένας. ¶ Περιγλαγές, περίπλεων γάλακτος. ¶ Περιγράφει, περιγίνεται, χωρεῖ ἢ συλλαμβάνεται, ἢ ἐν ἀγρῷ ὤν. ¶ Περιγραφή. περιαίρεσιν τοῦ πράγματος. ¶ Περίγραφον. οἱ διατίζοντες τοῖς μὴ ἀποδιδοῦσι τὸ ἀργύριον περιέγραφον. καὶ οὐχ ὑπερέβαινον ἕως * λύσωσι. ¶ Περιγείδας, περιφερείας. ¶ Περὶ δ' ἄλλων, ὑπὲρ τοὺς ἄλλους. ¶ Περιδαρδάπτεσθαι, κατεσθίεσθαι.
Π εριδαρδάπτειν κατεσθίειν. ¶ Περιδέδρυφθη. περιεξέσθη. ¶ Περιδεής, περίφοβος. ¶ Περιδείδιθι φοβοῦ. ¶ Περιδινεῖσθαι, περικινεῖσθαι, περιπορεύεσθαι, περιστρέφεσθαι περιέρχεσθαι. ¶ Περιδινήθητην περιεστρέφοντο ὅμοιον. ¶ Περιδινήσεως, περιόδου καὶ τὰ ὅμοια. ¶ Περιδινηταί, περικινηταί καὶ τὰ ὅμοια. ¶ Περίδειμον, περατήν.
Π εριδεινός, περιπαθής. ¶ Περιδινοῦσι, περιστρέφουσιν. ¶ Περιδινοῦντα, περιοδεύοντα.
Π ερίδειρον, τὸ κατώτατον τῆς περιγραφῆς τοῦ τραχήλου. ¶ Περιδίσκος. περισσῶς δίσκος, περισσῶς εὐλαβηθείς. ¶ Περιδεῖσθαι, συντετάχθαι.
Π ερίδεχλίσιον θέ πάντη. περιτετειχισμένον δὲ κλίσιον, κύκλῳ περιβέβληται καὶ παρέχει τὸ κλίσιον τὸ ἐν κύκλῳ κρηπίδωμα βαθροειδὲς ἔχειν.
Π εριδέξιον φρόνιμον ὀρθόν. μηδὲν ἀριστερὸν ἔχον. καὶ οἱ μὲν περισσῶς δεξιόν, περὶ τὴν τοῦ δόρατος βολήν. οἱ δὲ ἀμφοτέραις ταῖς χερσὶν ὡς τῇ δεξιᾷ βάλλων.
Π εριπνοή, ἡ πνοὴ δὲ τοῦ βορρᾶ. ¶ Περιδέραια περιτραχήλια. ἢ ἐνώτια. ¶ Περὶ δ' ἐστὶ, ὑπερέχει τε δὲ ἢ ὑπάρχει τε, ἢ κρατεῖ τε. ¶ Περιδευκές, περισσῶς πεποικιλμένον. ¶ Περιδέων, ἐμφόβων.

Πέλτη, ἀσπὶς, ἴτυν οὐκ ἔχουσα, ἢ ὅπλον σκέπασμα ἀκόντιον. ¶ Πέλτης, θράκιον ὅπλον καὶ εἶδος τάξεως. ¶ Πέλω, εἰμὶ δίδωμι, γίνομαι.

Πέλωρ, μέγας ὑπερφυής. ¶ Πέλωρα, θεῖα. δεῖματα, τέρατα, σημεῖα μεγάλα. ¶ Πελωρεύει, φανερῶς ποιεῖ. ¶ Πελώρης, τινὲς εἱμαρμένης.

Πελώρια, μεγάλα τέρατα. ¶ Πελώριος, μέγας δεινός. ¶ Πελώρου, θείου. ¶ Πέμμα, εἶδος πλακοῦντος καὶ πᾶν πεπεμμένον. ¶ Πέμματα, ποικίλα ἐδέσματα πληθυντικῶς. ¶ Πεμπάδος πεντάδος πεμπαζόμενοι, ἐπισκεπτόμενοι, ἐκπληττόμενοι, μεριμνώντων. ¶ Πεμπάς, φιακάς. ¶ Πεμπάσσασθαι, ἐξαριθμήσασθαι. ¶ Πεμπάζεται, κατὰ πέντε ἀριθμεῖται, τὰ γὰρ πέντε αἰολεῖς πέμπε λέγουσι· καταχρηστικῶς δὲ καὶ ψιλῶς ἀριθμεῖται. ¶ Πέμπε, αἰολεῖς πέντε. ¶ Πέμπελον, στωμύλον. λάλον, οἱ δὲ, λίαν γηραλέον. ¶ Πέμποι, ἀναπέμποι.

Πέμπουσιν, ἔπεμψαν, ἀνέπεμψαν κατέπεμψαν.

Πεμπώβολους. πέντε ὀβελίσκους, ἐκ μιᾶς λαβῆς συνεχομένους σφηνοειδῶς. ¶ Πέμφελα, δύσκολα, τραχέα βαθέα. ¶ Πεμφίδος, πομφόλυγος καὶ πληνώρ ψυχεῖ. ¶ Πεμφιδώδης πυρετός, φλεκταινώδης πνευματίας. ¶ Πεμφίξ, πνοή, ψυχὴ καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες. ¶ Πέμψις, ἐνεχυρασμός. ¶ Πενεῖν, πενητεύειν. ¶ Πενία, ἀχρημοσύνη, ἀπορία.

Πένεται, πονεῖ ἐνεργεῖ, ἀχρηματεῖ, κάμνει.

Πενέσται, οἱ μὴ γόνῳ δοῦλοι. οἱ πενόμενοι εἰργάζοντο τὴν γῆν. τινὲς δὲ οἱ εἵλωτες. τινὲς δὲ λάτρεις, ἢ ἐργάται πένητες ἢ ὑπήκοοι. ¶ Πενεσταδεῖν, κατεπαιστεῖν.

Πένης, ὁ αὐτοδιάκονος. ¶ Πένησσα, πτωχή.

Πενθεριάσειν. τὴν προῖκα δώσοι. ¶ Πενθερός, τοῦ νυμφίου ὁ τῆς κόρης πατήρ. ἡ πενθερὰ ἡ μήτηρ, τίθεται δὲ καὶ ἐπὶ τοῦ γαμβροῦ. ¶ Πένθος, συμφορὰ θρῆνος λύπη. ¶ Πέννα. πτέρνα. ¶ Πονεῖν, μεμελακωμένον. ¶ Πένοντο, ἐνήργουν. ¶ Πενταετήρων, πεντεετῶν. ¶ Πεντάχοινον, στάδιον. ¶ Πεντάχειρ, ὁ χείρ, ἡ εἰς πέντε μέρη. πένταχα. ¶ Πένταχος, ὃν πέλαφοι Βοιωτοί. ¶ Πεντεκτενῆ, ἐνδύματα οἷον πριόνων ὀδοῦσιν ἐμφερῆ πεποικιλμένα.

Πεντεκοῖται, τοσοῦτοι τοῖς κωμικοῖς ἐκεῖνον, οὐ μόνον ἀθήνησιν, ἀλλὰ καὶ ἐν σικελίᾳ. ¶ Πεντελία, ὄρος ἀρκαδίας ἐξ οὗ λάδων ὁ ποταμὸς καταφέρεται.

Πεντεσκτήριον, πενταετῆ. ¶ Πεντεσύριγγον ξύλον, πέντε ὀπὰς ἔχον καθ' ἃ δεσμωτήριον. τέσσαρας μὲν εἰς ἃς οἱ πόδες καὶ αἱ χεῖρες ἐδεδοῦντο. μίαν δὲ, δι' ἧς ὁ τράχηλος. ¶ Πεντετηρὶς, πενταετηρίς.

Πεντηκοντόγυιον, πεντήκοντα γύας ἔχον. ἤτοι, πεντηκοντόπλεθρον. ¶ Πεντηκοντομέσολμιν. πλύσιμον, ἀργόν, μέσολμα, στέγα. ¶ Πεντηκόντορον. ὅπου οἱ στρατιῶται ἀνάγονται. ¶ Πεντόζος, χείρ.

Πεντόροβον, ἡ γλυκυσίδη. ¶ Πέξαι, κεῖραι, κτενίσαι. ¶ Πεξαμένη, κτενισαμένη τὰς τρίχας καὶ ξάνασα. ¶ Πεξίς, ψίλωσις. κουρά. ξύρησις.

Πεπάγουσα, ἁπαλή. ¶ Πεπαιδεῦσθαι, πεπαιδεῦσθαι. ¶ Πέπαιχεν, ἐπέπαιξεν. ¶ Πεπαίνεται, μελανοῦται, ὀπτᾶται, μαλάσσεται, πέπειρον γίνεται, πραΰνεται. ¶ Πεπαλαγμένον, μεμολυσμένον. αἵματι καὶ λύθρῳ, ἢ λελευκασμένον.

Πεπαληκέναι, ἐκπεσεῖν. ¶ Πεπαλημέναι, βεβλαμμέναι. ¶ Πεπαλμένος, βεβλαμμένος. ἐξάρθρος γεγονώς. ¶ Πεπαλόεντος, τραχέος. ¶ Πεπαλόεσσα, τραχεῖα.

Πεπασμένος, κεκτημένος.

Πέπαχνα, πλακοῦντα. ¶ Πεπάνναι, πραῦναι.

Πεπανὸς, ὁ πολὺν χρόνον ἔχων παρὰ τὸ ὀπτηθῆναι.

Πεπαρεύσημον, εὔφραστον σαφές. ¶ Πεπαρεῖν, ἐνδεῖξαι, σημᾶναι. ¶ Πεπάρθαι, πεπαρκέσθαι.

Πέπαμαι, δι' ὅλου κατέχομαι. ¶ Πεπαρόνημαι, καθήλωμαι. ¶ Πεπαρμένον, ἀνειρμένον.

Πεπαρονημένον, καθηλμένον, κατεσχημένον ἐμπεπαρονημένον. διαπεπαρονημένον. ¶ Πεπαρφυηκότων, ἀπακτησάντων ὑβρισάντων, παροινία γὰρ ἡ ὕβρις.

Πεπᾶσθαι, κεκτῆσθαι. ¶ Πεπάσονται, πότητας γάμοι. ¶ Πέπασα, ἐγέγευσα, ἐπεπληρώτο.

Πέπαυται, πέπαυται. ¶ Πεπαλαχωμένας, πεπυκνωμένας. ¶ Πεπεδημένος, δεδεμένος.

Πεπίθοιμεν, πείσοιμεν. ¶ Πεπιθοῦσα, πείθουσα. ¶ Πέπειρα, γραῖα. ¶ Πεπειρῆσθαι, γεγυμνάσθαι πεπαρθενεῦσθαι. ¶ Πέπειρον, τὸ πανθεὼ ὥριμον ἐκπεπλημένον ἀκμαῖον. ¶ Πεπείρους, ἑψημένας ἢ ἐπὶ ὀπώρας λαβεῖν, ἤτοι σταφυλάς.

Πέπεισμαι, ἐλπίζω θαρρῶ. ¶ Πεπεμμένην, ζυμωθεῖσαν ἐν κλιβάνῳ ἄρτον γενομένην. ¶ Πεπαίνεται, μαλάσσεται καὶ τὰ ὅμοια.

Πεπόραγκέναι, ἠνεγκέναι.

Πεπερασμένος, πεπληρωμένος. ¶ Πεπερημένος, ὁ πεπειρωμένος. ¶ Πέπευται, πέπεκται.

Πεπεσμένος, τεθλιμμένος. ¶ Πεπαλεσμένον, μεμολυσμένον. ¶ Πεπλαδηκώς, σεσηπὼς ὑγρανθείς.

Πεπλασμένον, μὴ ἀληθὲς ψεῦδος. ¶ Πέπλαται, ἥπλωται. ¶ Πέπληται. πέπληκται.

Πεπλισμένον, κοσμημένον, ἐκτενισμένον πεπλεσμένον. ¶ Πέπληγεν, ἔτυψεν, ἐκρότησεν. ¶ Πεπληγυῖα, πλήξασα. ¶ Πεπληγώς, πλήσσων.

Πέπληκται, κεῖται. ¶ Πέπλον, ἢ πέπλος, ἱμάτιον ἢ ἔνδυμα γυναικεῖον. ¶ Πεπλοιῶν. ἐνδυτῶν. θεραπόντων. ¶ Πεπνυμένοι, σώφρονες συνετοί.

Πεπνυμένον στόμα, σεσωφρονισμένον σιγηλόν.

Πεπνυμένος, φρόνιμος συνετός. ¶ Πέπνυσαι, συνετὸς εἶ. ¶ Πέπνυται, συνετός ἐστι. ¶ Πεποδήγημαι, δεδίδαγμαι, ὡδήγημαι. ¶ Πεποιημένον, ποιότητα ἔχον. ¶ Πεποίηται, πέπρακται.

Πεποιθώς, θαρρῶν. ¶ Πεποίθασιν, ἐλπίκασι πιστεύουσι, θαρροῦσιν. ¶ Πεποιθήσεις, θαρρήσεις, πιστεύσεις, ἐλπίσεις. ¶ Πεποιθυῖης, θαρρούσης. ¶ Πεποίθησιν, ἐλπίδα προσδοκίαν. ¶ Πεποιθέτατε, προσφιλέστατε φίλε. ¶ Πεποιθώς, ἐλπίσας πιστεύσας.

Πεποίωται, ὅταν τι ῥέπει. ¶ Πεποιωμένον, ποιότητα ἔχον, ἢ ἀναδεξάμενον. ¶ Πεπόλισται, ἔκτισται. ¶ Πέπομφα, ἔπεμψα. ¶ Πέπον, προσφιλέστατε προσηνέστατε, ἔκλυτε, μαλακέ.

Πέπονθα, ἔπαθον.

σωμαι. ¶ Πειράσονται, διάπειραν λήψονται.

Π ειρότιζε, πείραζε. ¶ Πειροτίζειν, πειρᾶσθαι, πειρᾶσθαι, προβιβᾶσθαι. ¶ Πειθεῖος. πιστὸς καὶ ἀστεῖος.

Π είρινθοι, νύμφαι ἐν κύπρῳ. ¶ Πείρινθος, πλέγμα τὸ ἐπὶ τῆς ἁμάξης τὸ πλινθίον τὸ ἐπιτιθέμενον τῇ ἁμάξῃ τετράγωνον. ¶ Πειρῶ, ἀντὶ τοῦ πείραζε.

Π ειρώμενος, πειράζων. ¶ Πειρῶν τὴν πόλιν, πειράζων διαφθείρειν. ¶ Πείσαντες, πιστεύσαντες, ὑγιάναντες. ¶ Πείσεα, λειμῶνες ἕλη. περὶ ποταμοί, πιώδεις ὑδατώδεις τόποι.

Π είσεα ποιέντα, τοὺς διύγρους τόπους καὶ βοτανώδεις.

Π είσεσθαι, παθεῖν. ¶ Πείσεται, ὑπομενεῖ.

Π είσῃ, πεισματικῇ χώρᾳ. τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μενε. ¶ Πείσματα, σχοινία. ἀπόγεια, πρυμνήσια περιβόλαια. ¶ Πεισόμενον, παθεῖν μέλλοντα.

Π είσονται, πείσονται. ¶ Πείχεσον, δοκίμασον.

Π έκτει, κτένει, τίλλει, κείρει. ξαίνει.

Π εκτοῦμαι, τείχομαι, τίλλομαι.

Π εκτούμενον, τιλλόμενον τίλλοντα, πεκτεῖν γὰρ τὸ κείρειν. ¶ Πελάγια, τὰ κρόταλα, οἱ δὲ, ῥῖνα πλάγια. ¶ Πελαγίζειν, τοὺς ὀδόντας συγκρούειν καὶ περὶ πέλαγος ἀβαρῆ καὶ ἀλαζονεύεσθαι καὶ ψεύδεσθαι μεγάλα. ¶ Πέλαγος, μέγεθος. πλῆθος. βυθός. πλάτος θαλάσσης. ¶ Πελαγίζειν. ἐγγίζειν, πλησιάζειν. ¶ Πελαζόμενοι, ἐγγιζόμενοι.

Π έλαργη, τὸ ἐπακτόν. μέγιστον. ¶ Πέλανα, πόπανα μειλίγματα. ¶ Πελάνα, ὁ σκαλμίς. ἐν τοῖς χρησμοῖς, ἢ τὰ ἀπὸ τοῦ ἄλλου πράγματα καὶ θυσίαι ἢ πέμματα. ¶ Πέλανοι, πέμματα εἰς θυσίας ἐπιτήδεια.

Π έλανον, ἀφρὸν τὸν περὶ τὴν γῆν ἀφρὸν ἢ πέμμα τὸ πλακουντῶδες. ¶ Πέλανος, πέμμα ῥύπον ἔχον ῥυπαρόν, ὃ τὸ ἐκ τῆς πόλης πέμμα, οἱ δὲ ἐπὶ τοῦ κηρίου τιθέασι καὶ τὸ περιπεπηγότα τῷ στόματι ἀφρόν.

Π έλανον, τὸ τετράχαλκον λάκωνες.

Π ελαργικοὶ νόμοι, τὸ ἀντιφέρειν τοὺς γονεῖς πελαργικὸν ἀντὶ τοῦ πελασγικόν. πελαργοὺς γάρ φησι τὴν ἀττικὴν οἰκῆσαι ἀπὸ τῶν πελασγῶν, μεταφερόντων ἐπὶ τὰ πτηνά. ¶ Πελαργὸς, ἄγγος τὶ κεράμεον.

Π έλας, γείτων, ἐγγὺς πλησίον. ¶ Πελάσαι, ἐγγίσαι πλησιάσαι. ¶ Πελάσαιμι, προσεγγίσω.

Π ελασγοὶ, οἱ θεσσαλοί. καὶ πελασγικὸν ἄργος, ἡ θεσσαλία καὶ ἔνιοι τῶν βαρβάρων, καὶ γένος ἀπὸ πελασγοῦ τοῦ ἀρκάδος γενόμενον πολυπλάνητον.

Π έλασε, προσήγγισεν. ¶ Πέλασσεν, ἐγγίσαι ἐποίησεν ἐπλησίασεν. ¶ Πελασγικὸν τεῖχος οὕτω ἐν ἀθήναις καλούμενον τυρρηνῶν κτισάντων.

Π ελάται, οἱ διὰ τὴν ἀναγκαίαν τροφὴν μισθῷ δουλεύοντες, τρεῖς μίσθαρνοι ἀπὸ τοῦ πέλας, ἢ θρέμματα.

Π ελάχνην βυβλίον ἐκ πέπλου. ¶ Πελιδνοὶ, οἱ τὰ ἀσπιδίσκια ἔχοντες. ¶ Πελεθοβάψ, θεόδωρος ὁ κωμικὸς ὁ ὑποκειτὰς οὕτως ἐπικαλεῖν. τινὲς δὲ ποιητὴν αὐτὸν φασὶ γεγονέναι. ¶ Πελέθισμα, τὸ ἀφόδευμα. ¶ Πέλεθρον, μέτρον γῆς, ὃ φασι μυρίους πόδας ἔχειν, τινὲς δὲ σταδίου ἑκατόν.

Π ελεθρόνιον, ποικιλοφάρμακον.

Π ελεθρόνιος, ὁ χείρων ἀπὸ τοῦ πελεθρόνου, ἐν ᾧ ἐτράφη. οἱ δὲ πολυφάρμακος διδῶσι γίνεται.

Π έλει ὑπάρχει ἐστί. ¶ Πέλειαι, περιστεραί, καὶ αἱ ἐν δωδώνῃ θεσπίζουσαι μάντεις. ¶ Πελειοθρέμμονα νῆσον ἀριστοτέλης φησὶ διαφέρειν περιστερὰς καὶ πελείας.

Π ελείοις, κώοι. καὶ οἱ ἠπειρῶται τοὺς γέροντας καὶ τὰς πρεσβύτιδας. ¶ Πελεκὰν, ὄρνεον τὸ κολάπτον καὶ τρυπῶν τὰ δένδρα. ¶ Πελέκεα, πέλεκυν δίστομον.

Π ελεκκὸς, στελεὸς, ὃ ἐπὶ ξύλον εἰς τὴν ὀπὴν τῶν πελέκεων βαλλόμενον. ¶ Πέλεκρα, ἀξίνη.

Π έλεκυς, ἀξίνη δίστομος. ἢ σταθμὸν ἑξαμνιαῖον ἀρχαῖον οἱ δὲ δωδεκαμνιαῖον. ¶ Πελεκύστερον, τὸ στελεόν.

Π ελεμίζειν, σείειν, κραδαίνειν. ¶ Πολεμίζειν, διασεῖσθαι. ¶ Πέλον, ἦν ὑπῆρχεν. ¶ Πελενά, ζεῦγος βοῶν. ¶ Πελεός, ἀχαιὸς φθεὶξ καὶ μήποτε τὸν παρ' ὁμήρῳ πελεόν, δύναται δὲ ἢ τὰ πέλη τὰ ἐνθεσσαλία λεγόμενα δηλοῦν. ¶ Πελεσόθριον, νῆσον τὴν σαλαμινίαν. ¶ Πελεαστύδραι, συστρέμματα ὑδάτων. ¶ Πέλεται, ὑπάρχει γίνεται.

Π έλης, περιστερᾶς καὶ περσικῆς τὸ ἥμισυ λάκωνες.

Π έληται, γίνηται. ¶ Πελοδὸς, γέρων.

Π ελειάδες, περιστεραί. ¶ Πέλιαι. μέλαιναι, περιστεραί: φάσσαι. ¶ Πελιανόν, μολύβδῳ ἐοικὸς κατὰ τὴν χρόαν. ¶ Πελιγᾶνες, οἱ ἔνδοξοι, παρὰ δὲ σύροις οἱ βουλευταί. ¶ Πελίγξαι, ἐπιστραμμένη.

Π ελιδνὸς, μελανός, μόλυβδος, ἢ ὕφαιμον.

Π ελικᾶν, εἶδος ποτηρίου ξυλίνου διὰ τὸ πεπελεκίσθαι, ἄλλοι, ξυλίνη λεκάνη. ¶ Πέλιοι, μέλανες, ὠχροὶ ἢ χλωροί. ¶ Πελινναῖος, ὁ ζεὺς ἐν χίῳ.

Π ελιδνόν, πέλεθον. ¶ Πέλλα, λίθος.

Π έλλαι, ἀγγεῖα τινὰ, εἰς ἃ ἀμέλγεται τὸ γάλα, οἷον πέλλοι τινὲς οὖσαι, ἐν αἷς τὸ πῖος ῥυτέστι τὸ πέλα ὑπάλεῖται. ¶ Πελλαιόν, φαιὸν, καὶ μακεδονικόν.

Π ελλάνιος, ποσειδῶν ἐν κυρήνῃ.

Π ελλαντῆρα; ἀμολγία. ¶ Πέλλας πέλληρος, πρέσβυτης. ¶ Πέλλας καὶ πέλλαι, ποιμενικὰ ἀγγεῖα.

Π ελλασταί, ὑποδήματα ἃ περιτίθεσιν οἱ δρομεῖς περὶ τὰ σφυρά. ἵνα μὴ ἔξω στρέφηται: ¶ Πελλαχρόν, ἢ πελλαχνόν, πυρρόν. ¶ Πελλήν, κούφην καὶ φαιὰν τῷ χρώματι. ¶ Πελλήνη, πόλις ἐν ἄργει περὶ ἣν καὶ χλαῖναι, ἐπὶ διαφέρειν ἐδόκουν αἱ ἐν πελλήνῃ γενόμεναι, ὡς καὶ ἆθλα τοῖς νικῶσι δίδοσθαι.

Π έλληνον, στέψον. ¶ Πέλληρ, πολυφέγγες, ἀμολγεύς.

Π ελλητῆρες ὁμοίως. ¶ Πελλία, ἐπέλεθοι.

Π έλλιξ, κράνος. ¶ Πελλίς, ἢ πελλάς, λεκάνη.

Π ελλόν, φαιὸν χρῶμα. ἐμφερὲς τῷ πελιδνῷ.

Π ελλοπλαύραστον, ὀξύθυμον ἢ ἔκλαμον.

Π ελλύρον, μετέωρον. ¶ Πελλυταί, οἱ δεσμοὶ οἱ περὶ τὰ σφυρὰ καὶ τοὺς ἀστραγάλους τῶν δρομέων περιελισσόμενοι εἰς τὸ μὴ ἐκτραπῆναι.

Π ελλυτα καὶ πελλύτημα. δεσμός.

Π έλμα, τὸ κάτω τοῦ ποδός. ¶ Πελοπίδα, ἀγαμέμνονος γένος. ¶ Πελοπόννησος, πόλις τοῦ ἄργους. ¶ Πέλωρ, μέγα τέραστον.

Π έλτη, εἶδος ὅπλου δόρυ, ἢ μικρὰ ὅπλα.

καὶ ἡ μητραλοίας οὕτω συντίθεται. ¶ Πάτραι, πόλις τῆς ἑλλάδος. ¶ Πατρέμβατοι, ὁ ψιλοί.

Π άτρην, πόλιν, ἐπιτροπίας φυλὴν πατρίδα.

Π άτρης, πατρίδος, σημαίνει δὲ καὶ τὴν ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσιν. ¶ Πατριαί, φυλαί. ¶ Πατρῶαι, πατρίδι. ¶ Πατρίδα αἶαν πατρῴαν γῆν.

Π ατρίδος αἴης, πατρῴας γῆς. ¶ Πάτρην, τὴν πομπήν. ¶ Πατρίς, φυλῆς, πατρίδος. ¶ Πατριώτης, παρὰ ἀθηναίοις ὁ βάρβαρος καὶ ὁ πολίτης.

Π ατρόθεν, ἀπὸ πατρός ἀπόδειξις ὅτι πατέρων εἰσὶν ὄνων ἡμιόνων.

Π ατροκασιγνήτῳ, τῷ τοῦ πατρὸς ἀδελφῷ. ¶ Πατρόπολις, ἡ πατρῴα οἰκία. ¶ Πατρῴζουσαι, τὰ τοῦ πατρὸς φρονοῦσαι. ¶ Πατρῷον, τὸ τοῦ πατρὸς κατὰ τὸ πατρῷον. ¶ Πατρῷος, πατρικός. ¶ Πατραλοίας, ὁ τὸν πατέρα τύπτων ἢ κτείνων. ¶ Πάτρωνες, οἱ πρῶτοι τῶν ἀξιωθέντων τῆς ῥωμαίων πολιτείας ὑπὸ ῥωμύλου ἑκατὸν ὄντες, ὥσπερ δευτέρων πατέρων τάξιν ἐχόντων. ἐκ τρίτου οἱ κρινόμενοι βοηθοὶ παραγινόμενοι. ¶ Πατρῷος ζεὺς, ναὸς καθιδρύθη πατρῴου διὰ καὶ ἄλλοι πολλοί. ¶ Πατοῦσαι, διατριβούσας. ¶ Παύεται, ἡσύχως γίνεται.

Π αῦλα, ἄνεσις ἀνάπαυσις. ¶ Παῦνον μικρὸν, οἱ δὲ μέγα ἢ ἀγαθόν. ¶ Παῦνις, ἀπὸ χειρὸς πανῦνον μέγα.

Π αῦρα, ὀλίγα εὐαρίθμητα. ¶ Παυράκις, ὀλιγάκις, ἢ οὐδὲ ὅλως. ¶ Παυρακίς, τὴν ὑπὸ πλείω σκιμάλλεσθαι καλοῦσιν. ¶ Παῦροι, ὀλίγοι ἐλάττους ὀλιγώτεροι. ¶ Παυσιβάκτρων, ἰσχυρῶν βακτηρίων χρωμένων.

Π αύσειεν, καταπαύσειεν. ¶ Παυσικάπη, μηχάνημα τροχῷ ἐοικὸς δι' οὗ τὸν τράχηλον εἴργουσιν ὡς μὴ δύνασθαι προσενεγκεῖν τὴν χεῖρα. ¶ Παυσηνεία, ἥρω τῆς ἀχαΐας ἐν ᾧ οἷς ὁ ἀρείων ἀπέθανε. καὶ προβλήματα ἢ φράγματα. ¶ Παυσωλή, ἀνάπαυσις τελευτή, κατάληξις.

Π αφλαγόνες, ἔθνος. ¶ Παφλάζει, βράζει, ἀφάζει.

Π αφλάζοντα, ἠχοῦντα, καχλάζοντα, ἀναβράζοντα. θερμαίνοντα. ¶ Πάφων, κτένας. ¶ Παχεία χειρί, τῇ ἰσχύϊ. ¶ Παχεῖν δραχμήν, τὸ δίδραχμον ἀχαιοί.

Π άχετον, παχύτερον. ¶ Πάχετες, πλούσιοι παχεῖς.

Π άχνη, ἡ ψυχρότης ἀπὸ τοῦ πήξεως, ἢ λεπτὴ χιὼν, ἢ παχεῖα δρόσος. ἢ τὸ πηγνύμενον ὕδωρ ὑπὸ ψύχους.

Π αχνουμένης, αὐξωμένης. ¶ Παχνοῦται, θυμοῦται πήσσεται, παρὰ τὴν πάχνην, φρίσσει, λυπεῖται ἀνιᾶται. ¶ Παχύμεδρον, τὸ μεδίμνιον λεγόμενον.

Π αχυμερῶς, ἀδρῶς. παχέως. ¶ Παχύνη, παχὺν νοῦν ἔχοντες ἀνόητοι. ¶ Παχύπολις, ὃν ὑπὸ λιμοῦ καὶ φιλαργυρίας διδόασιν. ¶ Παχύτερον, ἀδρότερον οὐκ ἀκριβῶς. ¶ Πεαῶται, συγγενεῖς οἰκεῖοι λάκωνες.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Ε.

Π εάρ, γλαυκίας. λιπαρόν. ¶ Πέδα, μετά, ἢ γῆ. ¶ Πεδάγρεον, μεταμέλειον, μεταλλητὸν, ποικίλην μεταλλακτόν.

Π έδη, δεσμὰ ποδῶν σκελίδος. καὶ κρίκοι ἐσκυτωμένοι ἐπὶ νεὼς τοῖς ποδεκλίοις καὶ τοῦ ἱστοῦ. ¶ Πέδιλα, ποικίλα. ¶ Πεδελθούμενος, μεταμελόμενος, μεταλλακόμενος. ¶ Πεδανῷ ὕπνῳ, ἢ πεδανῷ κούφῳ ἴσον ἀσκμένον, τινὲς δὲ ἢ βεβαίῳ. ¶ Πεδανὸς, ταπεινὸς ἐπιδεινός, ἢ ὁ τῷ μάντει διδόμενος μισθός.

Π εδάρσιον, μετέωρον ὕψου. ¶ Πεδιανά, τὰ ἐκ πεδίων καὶ ὁμαλοειδῆ πετρώδη. ¶ Πεδαχνοῦται, ὀξυπλίσσεται καὶ τρυφᾷ. ¶ Πεδαεισμός, ἵππος φρυαγματίας καὶ μετεωρισμός. ¶ Πέδιλα, ὑποδήματα.

Π έδηθι, ἱκέτευσον μέτελθε. ¶ Πεδιλύει, ἱκετεύει μετέρχεται. ¶ Πέδρα, ὕστερα λάκωνες.

Π έδορον, ὕστερον. πέλορ. ὀπίσω.

Π έδη, εἶδος ἱππασίας καὶ ποδοσκελὶς δεσμός.

Π έδησιν, ὑποχείριον ἐποίησεν. ¶ Πεδιῆται, πεδινοὶ μέροι. ¶ Πεδιάδα γῆν, τὴν φωκίδα.

Π εδάλλαι, μεταπέμψασθαι, μεταλαβεῖν.

Π εδακὰ πρόβατα, πρόβατα ἀπὸ πεδιάδος καὶ οὐ λειμῶνος. ¶ Πεδιά τινες, πύλαι, τὰς πλησίον τοῦ θυμβραίου ἐν ἰλίῳ φησὶ, ἃς τινὲς ἐπιχειλὰς καλοῦσι.

Π έδιλα, ὑπόδημα, καὶ ἔστιν οἷον ποδοΐλλα.

Π εδόθεν ἀρχῆθεν ἐκ ῥίζης ἀπὸ γενέσεως ἐκ παίδων.

Π εδοίκης, μερίκους. ¶ Πεδοίκου, χελιδόνος συνοίκου, αἰχμάλωτις τροφῆς. ¶ Πέδον, γῆ ἔδαφος.

Π έδορος, μετέωρος. ¶ Πέδιτα, ἡμέρα ἐν ἡ οὖ γίνεται ἑορτή. ¶ Πεδώ, ἡ νῦν καλουμένη κλεψύδρα κρήνη ἐν ἄστει. ¶ Πέζα, ἡ ἀρχὴ τοῦ ῥυμοῦ διὰ τὸ πρὸς τῷ πέλῳ ὅθεν καὶ πέζα ἱματίου λέγεται ἡ ᾤα ἡ πρὸς τῷ πέλῳ τὰ κατώτατα μέρη. ¶ Πέζαι, μόσχοι. οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου. ¶ Πεζετέροις, τοῖς περὶ τὸν βασιλέα δορυφόροις. ¶ Πεζὴ λέξις, κοινὴ λέξις.

Π έζην, τὴν συνήθη ἢ κοινήν. ¶ Πεζὸς, κοινὸς ταπεινός. πεζοῖς δὲ τοῖς ἐκ ποδῶν πεζεύουσιν.

Π εζοφόροις ζώμασιν, αἰσχύλος ῥηΐτησιν ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων, τινὲς δὲ ποδήρεσι. ζῶμα δὲ τὸ ἔνδυμα. ¶ Πεζῶν, τῶν ὁδευόντων.

Π εζολόγοι τοῦ φίλου. καὶ πέζας ἑταίρας ἔλεγον τὰς μισθαρνούσας χωρὶς ὀργάνου. ¶ Πιθανίτης, πιστότης. ¶ Πειθαρχήσαντες, πεισθέντες.

Π είθειν, πείθειν. ¶ Πείθεσθε, πείθητε.

Π ειθήνιοι, ὑπήκοοι πειθόμενοι. ¶ Πειθήμων, πειθής.

Π ειθώ, πεισμονὴ πίστις. ¶ Πείθονται, πειθήνιοι εἰσίν.

Π ειθώ, ἡ ὀγδοάς. ¶ Πεικαμμοῦς, ὀξείας καὶ λεπτοὺς

Π εικεῖν, ξαίνειν. ¶ Πεικὸς, ξεῖον ξάμμα.

Π εικόν, πικρὸν πυκεδανόν. ¶ Πειλὸς, πᾶν τὸ πιλούμενον. ¶ Πεινέων, πεινῶν.

Π εινυρόν, εὔπορον. ¶ Πεινεῖν, πεινᾶν.

Π εῖραρ, πέρας. ¶ Πειράζων, ἐνεδρεύων ληστεύων.

Π ειραίδα, πειραϊκὸν παῖδα. ¶ Πειραιεύς, δῆμος.

Π εῖραι, πειρατικοὶ δόλος. ¶ Πειρᾶν, πειράζειν.

Π εῖραν ποιούμενος, πειράζων.

Π είραντες, ἐκκεντήσαντες. ¶ Πείρατα, πέρατα τέλος. ¶ Πειραταί, κακοῦργοι λησταὶ θηρευταὶ ἐν ὕδασι. ¶ Πειρᾶται, πεῖραν λαμβάνει, πειράζει, ἐνθάδε λῃστῶν πειρατεύεται. ¶ Πειρατήριον. τόπος λῃστῶν. ¶ Πειρᾶσθε, πειράσθητε. ¶ Πείρησαι, πείρασον. ¶ Πειρήθητε, πεῖραν λαμβάνετε.

Π ειρᾶσθαι, ἔσθ' ὅτε λῃστεῦσαι. ¶ Πειράσομαι, πειρά

Παρυφά. ἡ ἐν τῷ χιτῶνι περιφύρα.

Παροχετεύει, παραπλησιάζει, προσεγγίζει, παραπλησιάζει. ¶ Παραφέρει, παρορμᾷ. ¶ Παρυγρότας, αἱ τὸ ἔλαιον ἔχουσαι. ¶ Πάροχοι, παραβάται παρὰ πομποὶ καὶ οἱ συμπορευόμενοι τῇ νύμφῃ ἐπὶ τοῦ ζεύγους ἢ παράνυμφοι. ¶ Πάροχος, παράνυμφος.

Παροχῶν, διορυγμάτων. χαρισμάτων.

Παρψίς, ὀξυβάφιον, ἢ ἐμβάφιον. ¶ Πάρπατρος, ὁ ἄνω τῆς θύρας μάνδαλος. ¶ Παρπαρος, ἐν ᾧ ἀγὼν ἤγετο καὶ χοροὶ ἵσταντο. ¶ Παρπασιδόντες, παραπίπτοντες. παραλογισάμενοι. ¶ Παρ πυλεῶνα, παρὰ πυλεῶνα. ¶ Παρ πυμάτην, παρὰ τὴν ἐσχάτην.

Παῤῥασία, πόλις ἀρκαδίας. ¶ Παῤῥάσιον, ὄρος ἀρκαδίας. ¶ Παῤῥήκος, πάντα πράττων ἐπὶ κακῷ.

Παῤῥησία. ἐξουσία. ἄδεια. ¶ Π*αρσουλάκης, ὁ τὴν τρίβωνα ὅταν γίνηται ὡς θύλακος.

Παρτάδαι, ἄμπελοι. ¶ Πάρταζον, ὕγρανον λάκωνες. ¶ Παρτέλλεται, παρανατέλλεται.

Π*αρτετύμβει, παραφρονεῖ, ἡμάρτηκεν. ¶ Πάρτοι, πάρεστί σοι. ¶ Παρυμίς, μικρὸν τοῦ μήκει βιβλίον. ¶ Παρυφή. ὕφασμα. ¶ Παρυφίς, μεγάλην ῥοῦς ἐν ὕμνιδι. ¶ Παρφάμεν, παραβῆναι ἀπατᾶν.

Παρφάμενος, παραπείσας εἰπών, παρηγορήσας.

Πάρφασις, παραίνεσις συμβουλία παρηγορία ἢ ἀπάτη.

Παρφυσίδες, βάτραχοι. ¶ Παρῷ, παραλείπω ἢ συνῶ. ¶ Παρωάς. παρὰ καὶ λέγονται, ἵπποι τινὲς τὸ χρῶμα πυῤῥοί. ¶ Παρῳδοῦντων, παραγραφόντων χλευαζόντων ἢ λεγόντων.

Παρῳδοῦντων, ἐκβαλλόντων. ¶ Παρωκλασεν, ἐκοινώπισεν. ¶ Παρωλένια, τῶν χειρῶν τὰ ὄπισθεν.

Παρώλισθεν. ὠλίσθησεν, ἐξέπεσεν.

Παρώλεφα, τὰ ἀπὸ τῶν τενόντων μέρη. ¶ Παρώνυμα, παρωνυμίασμα. ¶ Παρώνυμον, ἐκ τοῦ συμβεβηκότος καλούμενον. ¶ Πάρωος, εἶδος τι πυῤῥοῦ χρώματος ἵππου. Παρώπαλα, τὰ περὶ τοῖς ὀφθαλμοῖς ἐν τῇ περὶ ἱπποτροφίας. ¶ Παρώπανος, ἐμβρόντητος. ¶ Παρώπια, τὰ τοῖς ἵπποις παρατιθέμενα δέρματα ἅτινες αὐθόλια λέγουσι παρὰ τοῖς ὀφθαλμοῖς. ¶ Παρωπῆσαι, παρεωρᾶται.

Παρωπῆσαι, παρεωρᾶτο. ¶ Πάρωρον, παρὰ καιρόν.

Παρωσάμενος. ἀπωθήσας ἀποβαλών. ¶ Παρώσας, ἐξαναστήσας ὠθήσας, ἐκβαλών. ¶ Παρώσατο, ὥσατο καὶ ὤθησεν. ¶ Παρωσμένων, διωκομένων.

Παρώξυναν, παρώξυναν. ¶ Παρώχετο, παρῆλθεν ἐπορεύετο. ¶ Παροχετεύων, ὅταν ἀπὸ ῥύσου τὸ μέρος στρέφῃ τὸ ὕδωρ εἰς ἄλλον ὑδραγωγόν.

Παρωχημένας, παρελθούσας. ¶ Πᾶς, ὅλος ἕκαστος.

Πᾶσαι, ὅλαι. ¶ Πασάμενος, γευσάμενος, κτησάμενος. ¶ Πασάμην, ἐδεξάμην.

Πᾶσαν ἐπ᾽ αἶαν, πᾶσαν τὴν γῆν. ¶ Πάσαρνος, ἀρπόλης, ἢ ἀρτέμης. ¶ Πάσασθαι, γεύσασθαι.

Πάσατο, ἐγεύσατο, ἐκτήσατο. ¶ Πασάτο, ῥανάτω.

Πᾶσι δίκαιον. περὶ πάντων δή. ¶ Πᾶσις, κτῆσις.

Πάσκος, πηλός. ¶ Πάσμα, ὃ συνήρτηται πρὸς τὸ τοῦ φοροῦ φύλλον. ἔνιοι μᾶλλον ἐξίου. ¶ Πάσον, πᾶς λάκωνες. ¶ Πασπάλη, τὸ τυχόν, οἱ δὲ κέγχρον, ὁ ἄλευρα κέβινα. ¶ Πασπέριος, ὁ ἀπόλλων παρὰ παρίοις καὶ παρμιανοῖς. ¶ Πασσακίζουσι, πασσαλεύουσι. ¶ Πασσακίω. πασσάλῳ.

Πάσσακον, πάσσαλον. ¶ Πάσσαλοι, σφῆκας.

Πασσάλιον, τὸ ζυγοῦ ἐπὶ κιθάρας τὸ μέσον. ¶ Πασσαλόφιν, τοῦ πασσάλου, ὁ δὲ σχηματισμὸς βοιώτιος.

Πασσάλειος, σταυρός. ¶ Πάσσε, συνήθως ἡμῖν, πάσσε δ᾽ ἄλλος θεῖοι κρατευτάων καὶ ἐνεπίπλησε. πολέας δ᾽ ἐνέπασσεν ἀέθλους. ἔνθεν ἢ πάστος τὸ ποικιλόν ποικίλμα. ¶ Πάσσεται. ἐσθίει. ¶ Πάσσιρος, ὁ τὴν εἰρήνην κτήσας ἀποβόρειος, ἐκαλεῖτο εἰρήνη καὶ πελασσοῦς. ¶ Πάσσονα, παχύτερον, ὁ πλατύτερον καὶ πάσσοις ἐστίν. ¶ Πάσσουρς, εἰς ἀέρα χέοντος. ἢ σκορπίζοντος ἢ ῥίπτοντος. ¶ Πασσυδία, ὁμοῦ πάσῃ σπουδῇ ἢ ὁρμῇ. τινὲς δὲ πανδημεί.

Πασσυδίῃ, ὁμοίως. ¶ Πασσύεσον, ἀντὶ τοῦ πασσυδίῃ αἰολεῖς, τὸ πασσύεσον ὁμῶν ἀπάντων γένος. ¶ Πασσύρως, ἀθρόως. πανοικί. ¶ Πάσσων. ῥίπτων. χέων, σκορπίζων ἐπιπάσσων. ¶ Πάστα, βρῶμα ἐκ τυροῦ αὐάλου μετὰ σεμιδάλεως καὶ σησαμίου σκευαζόμενον, οἱ δὲ, ἔτνος, ἀλφίτοις μεμιγμένον. ¶ Παστάδαι, παστοὶ σκιαί. καὶ τῶν ἀμπέλων αἱ συστάδαι, καὶ τόποι ἔνθα ἐδείπνουν, ἀπὸ τοῦ πάσασθαι, ἴσως δὲ καὶ οἱ διαγεγραμμένοι οἶκοι, πάσαι γὰρ τὸ ποικίλαι καὶ ἔτι τοῦτο ὅμοιον. ¶ Παστάξ, πάσσαλος. ¶ Παστάς, στοά, πρὸς τὰς παστάδας νυμφῶν. ¶ Παστήεια, σπλάγχνα. τὰ ἐνεπτίδια κοιλία. ¶ Παστοφόριον, τὸ ὂν παστόν, φέρον, ἢ οἰκονομία. ἢ συναγωγή, ἢ ναὸς ἀνθός.

Παχαλκεῖς, πολύτεχνος. ¶ Παχητιᾶ, πάχει θάλλει, ἢ ἀκόλαστος ἢ αἰσχρᾶς ἡδονῆς ἡττᾶται.

Πατταγεῖ, ψοφεῖ. κτυπεῖ. ¶ Πάταγος, ψόφος κτύπος.

Παταικοί, θεοὶ φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας τῶν νεῶν. ¶ Παττάλοις, πασσάλοις. ¶ Πάτανα, ξυβλία. ¶ Πατάνια, τὰ ἐκπέταλα λοπάδια ἢ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ παλάχεια καλοῦσι. τινὲς δὲ διὰ τοῦ β βατάνια λέγουσιν.

Παταπῶ, πάλαι ποτέ. ¶ Παταρίς, πόλις καὶ ὄρος λυκίας. ¶ Πάταξε, ὑπὸ ἀγῶνος ἐπλήσσετο, ἐταράττετο. ¶ Πατάσσει, πλήσσει, κρούει, ξέμει, πάλλει φοβεῖται. ἅλλεται. ἢ παταξαι. ¶ Πατάσσω, ἠχῶ, δέρω, πλήσσω. ¶ Πάταχνον, σκεῦος λεπαδιω ἐμφερές. ¶ *Πάτειθι, εὐθύνεται.

Πατεῖν, πορεύεσθαι. ¶ Πατέοντο, ἐγίνοντο.

Πατέοιεν, καταπατοῦσι. ¶ Πατεούσιν, καταφρονήσουσιν. ¶ Πατεῖσθαι*, ἐσθίεται. ¶ Πατέρων, πλούσιοι ὁ πρόγονοι. ¶ Πατευτικόν, θηρευτικόν.

Πατηνόν, τὸ πεπατημένον κοινόν. ¶ Πατήρ, ὁ φύσας

Πατήεια, ἐγκύκλια, καὶ περὶ λίμνας μέρο τινά.

Πατηταί, οἱ ξυσταί. ¶ Πατίαι, χῶραι.

Πάτησαν, κατεπάτησαν. ¶ Πατικαλὶ ὑπὸ πάρθων. ¶ Πατικώματα, στιγάσματα οἴκου.

Πάτον, ἐδὸν πεπατημένην. ¶ Πάτος, ὁ πεπατημένος καὶ λεωφόρος ὁδός, καὶ ἔνδυμα τῆς ἥρας καὶ κόπρος.

Παξάλλαφος, θεῖος πρὸς πατρός.

Παῦλος, θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβουλος.

Παξαλοίας, ὁ τὸν πατέρα ἀτιμάζων, παξοτύπτης.

λεται. ¶ Παρεῤῥωγότα, κατεῤῥωγότα. ¶ Παρεσκευασμένη γῆ, ἐφ' ἣ τις ὀφείλει δάνειον, καὶ ἡ ἐκδεδομένη ἐπὶ γεωργίᾳ. ¶ Πάρεσχεν, παρῆσαν.

Π αρεσθίεται, παραβιβρώσκεται. ¶ Πάρεσιν, ἄφεσιν, συγχώρησιν. ¶ Παρέσσεσθαι. πάρεσται.

Π αρέσμεθα, ἥλθομεν. ¶ Πάρεσο, παραγενοῦ.

Π αρεσόμεθα, παραγενόμεθα. ¶ Παρεσόμεθα, παρεῖναι μέλλομεν. ¶ Παρέσσυθεν, παρώρμησε καὶ παρεσσυμένη παραγινομένη. ¶ Παρεσπονδημένοι, ἔκσπονδοι παρανομημένοι. ¶ Παρεστήκει, παρεγίνετο.

Π αρέστησε, παρεγένετο, ἐξέστη. ¶ Πάρεστιν, ἔστιν ἐγγύς.

Π αρέσφηλεν, παρεσφάλλετο ἀποτυχεῖν ἐποίησεν.

Π αρέσφαλεν, ὁμοίως. ¶ Παρέσχεν, ἔδωκεν.

Π αρετάξατο, ἐν πολέμῳ τέθνηκεν.

Οὖλα, τὰ τῶν ὀδόντων. ℭ Οὐλαφηφορεῖ. νεκροφορεῖ.
Οὔλαφος, νεκρός. ℭ Οὐλίοιεν, ἐν ὑγιείᾳ φυλάσσοιεν. ℭ Οὐλή, ἐπιπόλαιον ἕλκος εἰς ὑγείαν ἧκον, ἢ χλαῖνα μαλακή. ἢ στῦψις ὀπίων. ℭ Οὐ λογισάμην, οὐ παυομένην. ℭ Οὖλοι λευκὴ θρὶξ λευκή.
Οὐλία, ὀλέθρια. ℭ Οὐλιᾶσθαι, ὄνησιν τινὰ ἔχετε.
Οὐλιμός, ὀλέθριος. ℭ Οὐλίμων, ὀλεθρίων.
Οὐλαμὸς μάχη. ℭ *Οὖλος, μεμισημένος. ℭ Οὔλιος ἀστὴρ, ὀλέθριος καὶ χαλεπὸς, λέγει δὲ τὸν κύνα.
Οὐλοβάται, οἱ κολοβοί. ℭ Οὐλόθυμος, σχέτλιος, δυσνόθυμος. ℭ Οὐλόμεναι, ὀλέθριαι πληγαί.
Οὐλομένην, ὀλεθρίαν, ἐξώλη. ℭ Οὐλόμενος, ὀλέθριος. ℭ Οὖλοι, οὖλα δράγματα. ℭ Οὐλοθυσία, τελεία, θυσία. ℭ Οὐλομελής, οὐκ ἔστι δὲ ὑγιὲς ὁλόκληρον. ℭ Οὐλομελίη, καθόλου συλλαβεῖν, ἄλλοι ὑπὸ τῆς ἀθρόας τῶν ὅλων φύσεως, τὸ γὰρ ὅλον οὖλον λέγει. ℭ Οὖλον, ποτὲ μὲν τὸ μαλακὸν καὶ ἁπαλὸν, ποτὲ δὲ τὸ ὑγιὲς καὶ ὁλόκληρον, καὶ τὸ ὀλέθριον, κυρίως δὲ τὸ συνεστραμμένον. ℭ Οὖλος ἄρης, ἀντὶ τοῦ ὀλετὴρ δεινός, ἢ παραχθὲν δὲ οὖλον.
Οὐλοχύτον, ἀγγεῖον εἰς ὃ αἱ οὐλαὶ ἐμβάλλονται πρὸς ἀπαρχὰς τῶν θυσιῶν. ℭ Οὐλόχυτα, τὰ κατάργματα.
Οὐλοχύτας, ὅτε μὲν τὰ κενὰ ἐν οἷς τὰς οὐλὰς αἳ εἰσὶ κριθαὶ τῶν ἱερείων, κατέχεον. φαίνεται δὲ ἀγγεῖα δηλοῦσθαι ἢ κριθὰς πεφυρμένας. ℭ Οὐμά, μὰ τὸν
Οὐμά, ὑμέτερα. ℭ Οὐμαλακικκᾶς, παροιμία τὸ μαλακὸν σημαίνουσα ὠνὴ τῆς δὲ κικκᾶς οὐ μάλα φαίνεται καὶ στράτις ἐν ζωπύρῳ πολεμουμένῳ τῶν οὐ μάλα τέθηκα κεκοκκᾶν ἐπικρατεῖ. ℭ Οὐμάν, οὐμόν.
Οὐμ' εἴας, οὐ συνεχώρεις με. ℭ Οὐ μάτην, οὐκ ἀληθῶς μένανδρος ἐν ὀργῇ. ℭ Οὐ μεθείς, οὐκ ἐῶν.
Οὐμενάμος δὲ οὐδαμῶς δὲ γάμος δέ. ℭ Οὐμενοῦν, οὐδαμῶς. ℭ Οὐ μέντοι νῦν ἐστιν ἀπὸ δρυός, οὐδ' ἀπὸ πέτρης. ἀπολυτικῶς εἶχον οἱ παλαιοὶ ὡς ἐκ δρυῶν καὶ πετρῶν τῶν ἀνθρώπων γενομένων. ℭ Οὐ μετὰ δήν, οὐ μετὰ πολὺν χρόνον. ℭ Οὐ μετεψέξας. ℭ Οὐ μεταμελεῖ οὐ μετανοήσει. ℭ Οὐ μετρίως, μεγάλως
Οὐμὸν, ἀλλ' ἀμὸν οὐδαμῶς. ℭ Οὐμὸν, ἀλλ' ἔτι ἡμῶν.
Οὐμὸν δὲ. οὐδαμῶς δέ. ℭ Οὐμὴ πρόσωμαι, οὐ παραχωρήσω. ℭ Οὐμὴν, οὐ μόνον. ℭ Οὐμὴ σε αἰδῶ, μὴ ἀνασχέσθω. ℭ Οὐκ ἀνασχέσω, οὐ μὴ σε ἐάσω.

Οὐ μόνον, οὐχ ἕως τούτου. ℭ Οὑμός, ἐμός.
Οὐμὴν δὲ, οὐδαμῶς δέ. ℭ Οὐμ' εἴας, οὐ συγχωρεῖς.
Οὐνα δεῦρο, δράμε ἀρκάδες. ℭ Οὕνεκα, διότι.
Οὕνεκα, χάριν. ℭ Οὐ νέμεσις, οὐ μέμψις. ℭ Ὄνασθε, ὄνησίν τινα ἔχετε. ℭ Οὐ νέομαι, οὐ πορεύομαι.
Ὤνος. κλέπτης κλεπτῶν συνηθεία. ℭ Οὔνομα, ὄνομα. ℭ Οὖνον, ὑγιές. κύπριοι δράμον. ℭ Οὐνίας, ἴονις, δρομεὺς κλέπτης. ℭ Ὄνασθε, ὄνησίν τινα ἔχετε, κατ' εἰρωνείαν. ℭ Οὔνυτοι, τοῦ σοῦ ὅ σου ὁ οὐδαμῶς. ℭ Οὐ οἱ, οὐδαμῶς αὐτῷ. ℭ Οὔνου χελὶν
Οὐ παντὸς ἀνδρὸς ἐς κόρινθον ἐσθ' ὁ πλοῦς, ἀριστοφάνης ἐπὶ δοκεῖ πρὸς ἐς κόρινθον εἰσπλέουσι ξένοις χαλεπή τις ἡ πόλις εἶναι διὰ τὴν τῶν ἑταιρῶν γοητείαν, ἐσπούδαζον γὰρ ὑπὸ τούτων οἱ κορίνθιοι, ἢ ῥᾳθύμως διὰ τοῦτο διῆγον. ℭ Οὐ παρελεύσεται, οὐ παρέλθῃ, οὐ παραλείψει
Οὐ παρεξερχόμενον, οὐ παρελθών. ℭ Οὐ παρομαρτεῖ, οὐ παρακολουθεῖ. ℭ Οὐ πεπλασμένον, ἄπλαστον.
Οὐ περανοῦσιν, οὐ τελειοῦσιν. ℭ Οὐ πολεάσει, οὐ πολυχρονήσεται. ℭ Οὔποθι, οὐδαμοῦ. ℭ Οὐ πολιᾷ, οὐ γηράσκει. ℭ Οὔποτε, οὐκ ἄν ποτε οὐδέποτε.
Οὐ προσαμύνει. οὐ βοηθεῖ. ℭ Οὐ προσείλετο, οὐκ ἠθέλησε. ℭ Οὐ προσεπιβλέπειν, οὐκ ἠγάπησεν.
Οὐ προσήκαντο, οὐ προσεπιέζετο. ℭ Οὐ προσίονται, οὐ προσδέχονται, οὐκ ἀρέσκονται. ℭ Οὐ προσίεταί μοι, οὐκ ἀρέσκει μοι. ℭ Οὐ προσεπιχήνησεν. οὐκ ἀπεγράφησεν. ℭ Οὐ πρὸς σέ, οὐ κατὰ σέ, οὐκ ἄξιόν σου
Οὐ προτιμᾶν, οὐκ ἔχειν λόγον. ℭ Οὔπω, οὐδέπω.
Οὔπω ποτέ, οὐδέποτε. ℭ Οὐρά, ἡ κέρκος καὶ τὸ αἰδοῖον. ℭ Οὖρα, ὁρμήματα. ℭ Οὐρὰ ὀξεῖα ἀπὸ τοῦ στρατιᾶς τέλος. ℭ Οὐραγεῖν, ὑστερίζειν.
Οὐραγία, στρατιᾶς οὐρά. τουτέστι τὸ τέλος τῆς στρατιᾶς καὶ τῆς τάξεως. ℭ Οὐράγιον, ἔσχατον.
Οὐραγός, τῆς οὐρᾶς ὁ ἔσχατος ἡγεμὼν καὶ τοῦ εὐωνύμου κέρατος φύλαξ. ὁ δὲ τοῦ δεξιοῦ δεξιοφύλαξ.
Οὐραῖον, οὐκ εὔχειρες. ℭ Οὐραγίαν, τὴν ὄπισθεν ἀκολουθοῦσαν στρατιάν. ℭ Οὐραδίως, κακῶς θουκυδίδης.
Οὐρανίαν, ὅταν τὴν σφαῖραν ἀναβάλλωσιν, καὶ τὴν τοιαύτην δὲ καθόλου παιδιάν, οὐρανίαν καλοῦσι καὶ οὐρανιάζειν, παρὰ τοῦτο σύμπαιξον ἀριστοφάνης.
Οὐρά, ἡ κέρκος ἐστὶ τὸ αἰδοῖον. ℭ Οὐρανίδην, ἀπὸ τοῦ οὐρανοῦ. ℭ Οὐρανίη δ' αἴξ, ὥσπερ λέγει τις τὸ τῆς ἀμαλθείας κέρας. ὅτι γὰρ τις εὔξαιτο ἐλάμβανεν ὁ ἔχων τοῦτο. ἐπήκοος δὲ ἐστὶν αὐτὸ ἴσως, ὅτι κατ' ἐνίας ἡ σελήνη τῇ αἰγὶ ἐποχεῖται. ταύτῃ δὲ τὰ γίνεται εὐχόμενα διὰ τὸ καὶ αὐτὴν πρὸς τὸν ἐνδυμίωνι τὰ αὐτὰ παθεῖν. ὅθεν καὶ εὐκταίαν φασὶν αὐτὴν ἔνιοι
Οὐρανίζετο, πρὸς τὸν οὐρανὸν ἐκινεῖτο. ℭ Οὐράνιον, ἄχος, τὸν κονιορτὸν. δηλοῖ δὲ καὶ τὸ μέγα καὶ ὑψηλόν.
Οὐράνιοι, οἱ τὸν οὐρανὸν κατοικοῦντες. ℭ Οὐρανίωνας θεοὺς ἀπὸ τὴν οὐρανοῦ ἀρχὴν τεταγμένους. ℭ Οὐρανόθι πρό. πρὸς τοῦ οὐρανοῦ. ℭ Οὐρανομήκη, ὑψηλὸν λίαν. ℭ Οὐρανός. ὁ κατηστερισμένος τόπος. πέρσαι δὲ τὰς βασιλείας σκηνὰς καὶ αὐλὰς, ὧν τὰ καλύμματα κυκλοτερῆ οὐρανούς. ℭ Οὐρανοσκόπος, ἰχθὺς ποιός. ℭ Οὐρανοφοιτᾶν, ἐν οὐρανῷ διατρίβειν.
Οὐράσται. οὐκ εὐχερῶς. ℭ Οὐρ*δικος, ἐπιφθεγμένου.
Οὐρεα, ὄρη. ℭ Οὐρέας, ἡμιόνας. ℭ Οὐρῆες, φύλακες

χιστον διωνυκίταρ δοῖς ἐπέθεντο ἐν γὰρ τοῖς λεγομένοις πλακιτίοις τὰ σέλινα καὶ τὰ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία οὔπω. οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος. καθάπερ οὐδὲ οἱ εἰς τοὺς κήπους εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν. ¶ Οὐδ᾽ ὄνυπως, οὐδαμῶς. ¶ Οὐδένυπερ, οὐδὲ ὕπαρ. ¶ Οὐ δεόντως, παρανόμως. ¶ Οὖδας, ἔδαφος. ¶ Οὐδέ τι δεῖν, οὐκ ἔστιν. ¶ Οὐδ᾽ ἐπὶ νυκτὶ δὶς, οὐδὲ ἐπὶ μιᾶς νυκτὸς, οὐδὲ πρὸς μίαν νύκτα. ¶ Οὐδ᾽ ἐπηρώτων, οὐδ᾽ ἠρώτων οὐδ᾽ ἐρέοντο, οὐδ᾽ ἀπεπυθάνοντο. ¶ Οὐδέτερον, οὐδὲ ἓν τῶν δύο. ¶ Οὐδέ πω, οὐδέποτε οὐδαμῶς. Οὐδ᾽ ἐξύπασε κρόκην οὐδ᾽ εἰργάζετο. ¶ Οὐδὲ φυὴν, οὐδὲ τὴν φύσιν. ¶ Οὐδ᾽ ἠβαιὸν πρὸς ὀλίγον, οὐδ᾽ ὀλίγον ἢ ὡς ὀλίγον. ¶ Οὐ δηναιὸς, οὐ χρόνιος. ¶ Οὐδ᾽ ἠντινοῦν, οὐδὲ τὴν τυχοῦσαν. ¶ Οὐδ᾽ ἴσχει, πρίασθαι. ἀποδόσθαι. ¶ Οὐ δῆτα, οὐδαμῶς. ¶ Οὐ δίκαιον, οὐ δίκαιον. ¶ Οὐ διεκρίθη, οὐκ ἀμφέβαλεν, οὐκ ἐδυσπίστησεν. ¶ Οὐδ᾽ ἥμαρτεν, οὐκ ἀπέτυχεν.
Οὐδαμινοῦ ἢ οὐτιδανοῦ, εὐτελοῦς οὐδενὸς λόγου ἀξίου.
Οὐ διωσάμεθα, οὐκ ἀπεβαλλόμεθα οὐκ ἀπερρίψαμεν.
Οὐδ᾽ ὄχα πρὶν, οὐδὲ αὖθις καὶ πρίν. ¶ Οὐδ᾽ ὄθομαι, οὐδὲ ἐπιστρέφομαι. ¶ Οὐ δοκεύουσιν, οὐ προσδοκῶσιν οὐ νομίζουσιν. ¶ Οὐδ᾽ ὅλως, οὐδὲ τοῦ τυχόντος.
Οὐδ᾽ ὀνομήνω, οὐδ᾽ ὀνομάσω. ¶ Οὐδὸς βαθμὸς, βαθμὶς ἡ πρὸ τῆς θύρας. βαθμὸς καὶ ὁδός. ¶ Οὐδ᾽ ἤιξα, οὐδ᾽ ἂν ἐνοήθην. ¶ Οὐδ᾽ ὁτιοῦν, οὐδὲ τὸ σύνολον.
Οὐδρακία, ὀβελεία μέζον τι. ἀττικοῦ μέτρου ἥμισυ.
Οὐ δραίνει, παρακαθαίρει λάκωνες. ¶ Οὐδίνεται, ἐθέζει. ¶ Οὕνεκεν, διότι ἕνεκεν. ¶ Οὐ ἴθεν, οὐδαμῶς αὐτοῦ. ¶ Οὖδας, σπίλος, ὀδός. ¶ Οὖθαρ, τὸ πιότατον τῆς γῆς ἤτοι τῆς χώρας. καὶ τῶν ζώων δὲ λέγεται τὰ περὶ τοὺς μαστούς. ¶ Οὐθαρ, ἐπὶ ἀσκοῦ, ὁ κατὰ δὲ οὗ ὁ τόπος. οἱ δὲ πολλοὶ ὃν στρέφεται ὁ χορός. ἢ ὁ ζοχός. ¶ Οὔθατα, μαστοί. ¶ Οὔθατα βόσκει, μαστοὺς βόσκει. ¶ Οὐθείς. οὐδὲ εἷς. ¶ Οὐ θέμις, οὐ δίκαιον.
Οὐθὲν, οὐδέν. ¶ Οὐθένεια, μηδαμινὴ εὐτελής.
Οὐθενίας, ἀσθενείας. ¶ Οὐθ᾽ ἕτερον, οὐδὲ ἓν τῶν δύο.
Οὐθὲν, οὐ μὴν οὐ διὰ πάντες. ¶ Οὐ ἰδὼν, ἀλλ᾽ ὑπ᾽ ἐνίων αὐτόν. ¶ Οὐ ἀλεγίζω, οὐ φροντίζω. ¶ Οὐκ ἀγλευκῆ, οὐκ αὐχμηρὰ ἀταλαίπωρα. ¶ Οὐκ αἰδεσθείς, οὐκ αἰσχυνθείς. ¶ Οὐκ ἀθεεὶ, οὐκ ἄνευ θεοῦ, ἢ οὐ χωρὶς θαύματος. ¶ Οὐκ ἀΐεις, οὐκ ἀκούεις. ¶ Οὐκ ἀεικὲς ἐοικὸς, οὐκ ἀκούσεις δὲ πρέπον. ¶ Οὐκ ἀέκοντες, οὐχ ἑκόντες. ¶ Οὐκ ἀλαπαδνὸν, οὐκ ἀσθενές. ¶ Οὐκ ἀλεγίζω, οὐ λόγον ἔχω. ¶ Οὐκ ἀλέγοντες, οὐ φροντίζοντες. ¶ Οὐκ ἄλκαρ, οὐ βοήθεια. ¶ Οὐκ ἀλώσιμα οὐκ εὔληπτα. ¶ Οὐκ ἄμοιρος ἦν, οὐκ ἐκτὸς μοίρας ἦν.
Οὐκ ἀμώμητος, οὐκ ἄψεκτος, οὐχ ὑγιής. ¶ Οὐκ ἂν δὴ οὐδαμῶς ἄν. ¶ Οὐκ ἀναλίσκεται, οὐκ ἐκλείπει.
Οὐκ ἀνεύθυνον, οὐκ ἀπαίτητον. ¶ Οὐκ ἀνέχομαι, οὐ καταδέχομαι. ¶ Οὐκ ἀνίει, οὐκ ἀφίει. οὐκ ἐπιζήτει.
Οὐκ ἀνήσει, τὰ αὐτά. ¶ Οὐκ ἄν τι, οὐδαμῶς ἄν.
Οὐκ ἀξιοχρέως, οὐχ ἱκανῶς. ¶ Οὐκ ἀπᾴδοντα, οὐκ ἀλλότρια. ¶ Οὐκ ἀπᾴδοντος, ὅμοιον. ¶ Οὐκ ἀπαναίνεται, οὐκ ἀποστρέφεται. ¶ Οὐκ ἀπόχρη, οὐ παραιτεῖται. ¶ Οὐκ ἀπεικός. οὐκ ἄπειρον. ἄξιον, ὀφειλόμενον. πρέπον. ὅμοιον. εἰκὸς δὲ ἐστι παρὰ τὸ ἐοικός, εἶτα ἀπεικὸς τὸ ἀπρεπὲς τὸ ἀνόμοιον. καὶ τὸ οὐκ ἀπεικὸς διὰ δύο ἀρνήσεων μία συγκατάθεσις, ὡς τὸ ἥκιστα οὐδαμῶς. οὐχ ἥκιστα τὸ μάλιστα. οὐκ ἀπεικὸς οὐκ ἀπρεπές. ¶ Οὐκ ἀπέχρη, οὐκ ἤρκει. ¶ Οὐ καταδυνεῖς, οὐ καταβιάσῃ, οὐ καταβλάψει. ¶ Οὐκ ἀπεδῶμεν, οὐκ ἀπεγνούμεθα. ¶ Οὐκ ἀπηξίωσεν, ἠξίωσεν.
Οὐκ ἀπίθανος, πιθανός. ¶ Οὐκ ἀπολείπεται, οὐκ ἀποστερεῖται. ¶ Οὐκ ἀπορεῖ, οὐκ ἀρκεῖ εὐπορεῖ.
Οὐκ ἀπορηθήσεται, οὐ χρήζει. ¶ Οὐκ ἀπορρυήσεται, οὐ κατακλάσεται. ¶ Οὐκ ἀποφώλια, οὐκ ἀδίδακτα, οὐ μάταια. ¶ Οὐκ ἀπόχρη, οὐκ ἀρκεῖ. ¶ Οὐκ ἀπρακτήσεις, οὐκ ἀποτεύξεις. ¶ Οὐκ ἀπώνατο, οὐκ ὠφελήθησαν. ¶ Οὐκ * ἀρὸς, ὀνεικός. ¶ Οὐκ ἀτρεπεία ἢ δ᾽ εἰ, οὐ φρόνιμος εἶ. ¶ Οὐκ ἄσημοι, ἐπιφανεῖς οὐκ ἀφανεῖς οὐκ ἄδοξοι. ¶ Οὐκ ἀσκίῳ οὐκ ἐσκίφομεν, τ᾽ ἄρ᾽ ἐμορμολύττετ᾽ αὐτοὺς εἶτ᾽ ἄλλ᾽ εἰς ἀληθεῖ. παροιμία ἐπὶ τῶν τὰ κενὰ δεδοικότων. ἐπεὶ κενὸς ὁ ἀσκός. ¶ Οὐκ ἄστικτος. οὐ φορητός, οὐκ ἀβάστακτος. ¶ Οὐκ ἀσυντελές, οὐκ ἀχρήσιμον.
Οὐ κατὰ κόσμον, οὐ κατὰ τρόπον. ¶ Οὐ καταναρκήσω, οὐ καρκινήσω, οὐ κατασυμφανὴς δῆλον.
Οὐ κατενάρκησα, οὐ κατεβάρησα. ¶ Οὐκ ἀβαχὴς, οὐκ ἀβραχὺ βραχύς. ¶ Οὐκ ἄωρον, κατὰ καιρὸν οὐ παρὰ καιρόν. ¶ Οὐκ ἔασεν, οὐκ ἀφῆκεν.
Οὐκ ἔασκον, οὐκ εἴων. ¶ Οὐκ ἔγρυξεν, οὐκ ἐφθέγξατο.
Οὐκ ἐδέξατο, οὐ προσήκατο. ¶ Οὐκ εἴασκεν, οὐκ ἤθελεν ἐκώλυσεν. ¶ Οὐκ ἔην, οὐ δυνατὸν ἦν. ¶ Οὐκ εἴκασεν, οὐχ ὑποχώρησεν. ¶ Οὐκ εἰσῄεις. οὐκ εἰσήρχου. ¶ Οὐκ ἐσμενίσκεν, οὐκ ἐχάρισεν.
Οὐκ εἰῶ, οὐκ ἐῶ. ¶ Οὐχ ἑκὼν, οὐ βουλόμενος.
Οὐκ ἐλελήθεις οὐκ ἔλαθες. ¶ Οὐκ ἐκάθισεν, οὐκ ἐνέμεινεν. ¶ Οὐκ ἐμβαρεῖ. οὐ φρονεῖ, ἀπὸ τοῦ ἐμβάρου φρονήσεως. ¶ Οὐκ ἐμφορούμενοι, οὐ πληρούμενοι.
Οὐκ ἔναιμος, οὐ δίκαιος. ¶ Οὐκ ἐναπισθώσομαι, οὐ καθοπλισθήσομαι. ¶ Οὐκ ἐνδέχεται, οὐ δυνατόν ἐστιν. ¶ Οὐκ ἐνδώσει, οὐ χαυνώσει. ¶ Οὐκ ἐρᾶν, οὐκ ἠδύνατο. ¶ Οὐκ ἐνήνοχά σοι, οὐκ ἀγήοχα οὐκ ἤνεγκά σοι. ¶ Οὐκ ἐνὸν, οὐ δυνατόν. ¶ Οὐκ ἔξεροι, οὐκ ἄκαιροι, οὐκ ἄκληροι. ¶ Οὐκ ἐπέοικεν. οὐ πρέπον ἐστίν. ¶ Οὐκ ἕπεται, οὐκ ἀκολουθεῖ.
Οὐκ ἐπέπυστο, οὐκ ἀκηκόει. ¶ Οὐκ ἐφέσπετο, οὐκ ἠκολούθει. ¶ Οὐκ ἐπιεικὲς, οὐ μέτριον. ¶ Οὐκ ἐπιγλωττήσομαι, οὐ βλασφημήσω. ¶ Οὐκ ἐπιλήσομαι, οὐκ ἐπιλαθήσομαι. ¶ Οὐκ ἐπιτεύξεται, οὐκ ἐπιτυχὴς ἔσται. ¶ Οὐκ ἐρηρεισμένος, οὐκ ἐστηρειγμένος.
Οὐκ ἔσθενον, οὐκ ἴσχυον. ¶ Οὐκ ἐτάλασσεν, οὐκ ἐτόλμησεν. ¶ Οὐκ ἔστρεξεν, οὐχ ὑπέμεινεν. ¶ Οὐκ ἔσφαλεν, οὐκ ἐκινδύνευσεν. ¶ Οὐκ ἐτὸς, οὐ ματαίως οὐκ ἀληθῶς. ¶ Οὐκέτι, οὐχὶ, ἢ οὐ. ¶ Οὐκ ἐτρώθη, οὐκ ἐπαισχύνθη. ¶ Οὐκ εὐδιάθετος, οὐ δυναμένη εὐχερῶς γνωσθῆ ἢ εὐμαρῶς εἰκασθῇ. ¶ Οὐκ εὐσκόπου. οὐκ ἀκριβῶς ἢ ὀρθῶς βλέποντος. ¶ Οὐκ ἐφέσπετο, οὐκ ἠκολούθει. ¶ Οὐκ ἐφίετο, οὐκ ἐπεθύμησεν.
Οὐκ ἐφικνεῖται, οὐ φθάνει. ¶ Οὐκ ἔχραεν, οὐκ ἐχρήσατο.
Οὐχ ἥκιστα, οὐ μάλιστα. ¶ Οὐκ ἤμειψεν, οὐκ ἤλλαξεν

νοοῦντο, προσεώρων. ¶ Ὄσσοντο δ' ὄλεθρον, πρὸ ὀφθαλμῶν εἶχον, τουτέστι προσεδόκων ἢ προεσήμαινον καὶ ἐμφάσιν ἐποιοῦντο. ¶ Ὀσσυπηρόν, εὐπηρόν.

Ὅσσφιν, ὅς αὐτοῖς. ¶ Ὀστᾶσθαι. κλυδωνίζεσθαι.

Ὄσσων, βλεφάρων, ὀφθαλμῶν. ¶ Ὀσταθείς, διαγωνισθείς. ¶ Ὀστακός, εἶδος καράβου, οἱ δὲ ἀστακὸν λέγουσιν. ¶ Ὀστάλαιξ, πλόκαμος, ἕλιξ βοστρύχος, ἢ τὸ ἐν τοῖς βότρυσι γινόμενον. ¶ Ὀσταλιόχος, τόξευμα. ¶ Ὄστασαν, ἀνέστησαν. ¶ Ὄστασις, οὕτω διὰ τὸ ἐλέγχειν τὰς ἀσταφίδας. ¶ Ὀστίον εἴσω ἕως τοῦ ὀστοῦ. ¶ Ὅστ' εἶσιν, ὅστις διέρχεται.

Ὅ στοι, ὅς ἐστι σοι. ¶ Ὀστρακίνδα, παιδιά τις ἐπὶ τῷ ὀστράκῳ. ¶ Ὀστρακίς, ἀπαλμάτιον τι ἀφροδίτης.

Ὀστρακισμός, οἱ κακονοοῦντες τῷ δήμῳ ἐξωστράκιζον καὶ κατεδίκαζον τε, ὀστράκοις ἐγγράφοντες τὸ ὄνομα τοῦ φευξομένου. ¶ Ὀστρακισμός, εἶδος φυγῆς. ἐν ὀστράκοις γραψάντων. ἀπὸ τῶν ὀστράκων ὀστρακισμός.

Ὄστρακον, ὁπότε τις ἀποθάνοι, ἔστρακον πρὸ τῶν θυρῶν ἐτίθεσαν, ἐξ ἄλλης οἰκίας λαμβάνοντες καὶ πληροῦντες ὕδατος. ¶ Ὀστράκων ἀπλῶν ἄτυφον, ἄρτι γυμνὸν ὀστράκων, ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελυφῶν.

Ὄστρεα, τὰ κογχύλια. λάκωνες ἄνθος.

Ὄστρειον, μυάκιον θαλάσσιον. ¶ Ὄστριμον, ἐν ᾧ αἱ θρεπταὶ μονάδες, τόπος. οἱ δὲ ἔπαυλις. ¶ Ὀσφραίνεται. ὀσμᾶται. ¶ Ὄσφρεσθαι, τὸ εὐφρανθῆναι.

Ὀσφύος, ψύας. ῥάχεις καὶ τὸ πλησίον τῶν γλουτῶν.

Ὀσφῦς, ὁ παρὰ πλευρὸν λάκκος τόπος. ¶ Ὅσσφω, ὅς ὑμᾶς. ¶ Ὄσχαι. κλήματα βοτρύων γέμοντα.

Ὄσχεα, βαλάντια, μαρσύπια. ἢ τὸ τῶν διδύμων ἀγγεῖον, καὶ κλήματα βοτρύων πλήρη. ¶ Ὄσχεος, τὰ αὐτά. ¶ Ὀσχέτφιν, ὀχήμασιν. ¶ Ὅσχ' ἕτερον ὃς ἂν ἄλλο. ¶ Ὅταν παιδεύω ἢ τύπτω. ¶ Ὅτε, ὅταν, ἐπειδή. διεθάνεες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι. ¶ Ὅτ' ἔφυσθα, ὅτ' ἔλεγες. ¶ Ὅτε κέρσει, ὅτε ἂν σε. ¶ Ὅτε μ' ὤναρ, ὅτε κατεμέμψατο καὶ διεφαύλισεν. ¶ Ὀτέῳ, ὅτῳ, τινί.

Ὅ τε, ὅτε πατήρ. ¶ Ὅτ' ἄριστον, ὅτι τὸ κράτιστον.

Ὅ τι μάλιστα, λίαν. πάνυ πλέον σφόδρα ἄγαν.

Ὁτιμή, ὅτι οὐχί. ¶ Ὅτινας, οὕς τινας. ¶ Ὅ,τι οἶσθα, ὅπερ οἶδας. ¶ Ὅτ' οἴσειν, οἷς τισιν. ¶ Ὅ τι ἂν τὸ τυχόν. ¶ Ὅ,τι ποῦ, οὐδαμῶς. ¶ Ὅ,τι ῥά. ὅτι δή.

Ὅ,τις ὅς τις. ¶ Ὅ,τι τόσον, διότι τοσοῦτον. ¶ Ὀτλεύει πονεῖ κακοπαθεῖ. ¶ Ὀτλημάτων, κακοπαθημάτων.

Ὀτλέβων, ὁ ἄθλιος. ¶ Ὄτλος, μόχθος. ¶ Ὀτλῶ, πονῶ, κακοπαθῶ. ¶ Ὀτοβεῖ, θορυβεῖ. ¶ Ὄτοβος, ἅλιμος θάλασσα θορυβώδης. ¶ Ὀτοτύζειν, λέγειν θρηνεῖν. ¶ Ὅτου δή. οὗτινος δὲ δή. ¶ Ὅρου δή, τίνος δή. ¶ Ὅρου ἕνεκα. τίνος ἕνεκα. ¶ Ὁρουνοῦν, οὗτινος οὖν. ¶ Ὅου χάριν, τίνος χάριν. ¶ Ὄξα, ἡ τοῦ ἀλέκτορος οὐρά. ¶ Ὀξαλέως, ταχέως, ὀξέως δραστικῶς, ἐνεργῶς. ¶ Ὄξεα, ὁμίονος. ¶ Ὀξεύς, καὶ μύνδων, βασιλεὺς φρυγίας. ¶ Ὀξηρό. ἐνεργὸς σπουδαία. ¶ Ὀξηρὸ ταμίη, ἡ τηροῦσα τὸν οἶκον.

Ὀξηροί, ἀνδρεῖοι. ταχεῖς ὀξεῖς. ἐνεργεῖς, δραστικοί, ὑπήκοοι, πιστοί, σπουδαῖοι. ¶ Ὀξηρόν, τὰ αὐτά.

Ὀ. τρίχας, ὁμοιότριχας. ¶ Ὀξύχη, χόρτος καλάμινος.

Ὀξυμφάργου· πολυτελεῖ, τὸ ὄξυγη ὅ τι ὁ σῖτος καὶ ὁ χόρτος. ¶ Ὀξῦναι. προτρέψαι κελεύειν, σπεύδειν, παρορμᾶν. ¶ Ὀξυντήρ, κῆρυξ, κελευστής, σαλπιγκτήρ.

Ὀξυντύς. παρακέλευσις προτροπή. ¶ Ὄττεο, οὗτινος. ¶ Ὄττεσθαι, κλυδωνίζεσθαι. ¶ Ὀττεύεσθαι, ὁμοίως. ¶ Ὄττις, ὄψεις. ¶ Ὅ,ττι κεν ἄρχη, ὅ,τι ἄν, κρατεῖ καὶ σύμφορον εἶναι δοκεῖ.

Ὀτρηρῶς, ὀτρηρῶς δὲς ἐπίφθεγμα.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Υ.

Οὔ, οὗτινος. ¶ Οὐ ἐπίρρημα ἀρνητικὸν κατὰ στέρησιν, ἤγουν οὐχί. εἴωθεν δὲ αὐτὸ ὁ ποιητὴς παραλαμβάνειν, καὶ μετὰ τῆς μιᾶς φωνῆς συμπλέκει δὲ αὐτὸ καὶ τὸ που. σημαίνει δὲ καὶ ὅπου καὶ ἔνθα τὸ οὗ.

Οὗ, δασυνόμενον μὲν, δηλοῖ ἄρθρον ἀρσενικὸν καὶ οὐδέτερον ὑποτακτικόν, καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου ἐμοῦ. σοῦ, οὗ. ¶ Οὐαί. φυλαί.

Οὐάρες. ὑμεῖς, κύπριοι. ¶ Οὐ ἄρας γέμει, οὐ κατὰ ὥρας πλήρης ἐστίν. οὔκερον δέ, ἔλαιον κύπριοι.

Οὔατα, ὦτα. ¶ Οὔατα βάλλει. τὰ ὦτα μου ὀχεῖ ἢ ἄγχει. ¶ Οὐατόειν, ὦτα ἔχον. καὶ ὅπερ ἔχει κρεμαμένοις ὄζοις πολλοῖς ὀζῶδες, βραχύ. ¶ Οὐβατόν, οὐ πορεύσιμον. ¶ Οὔβρωστις, λιμός. ὁ οὐ βρωτικός.

Οὐ γὰρ ἀκάνθαι, παροιμία ἀριστοφάνης σκώπτων καταλαμβανούσης οὐδ' ἴσως αὐτὴ λέξις ταύτῃ τῶν λειπείῳ. οὐ γὰρ ἄκανθαι καὶ ἐν δράμασιν ἐκέχρητο χορεῖ δ' ἄκληρος ἀεὶ λειπνόσων, ἔοικε δὲ ὑπομιμνήσκων τὴν τοῦ βίου διαφορὰν καὶ μεταβολήν. ¶ Οὐ γὰρ δή. ἴσον τὸ οὐ δή. οὐ γὰρ δὲ, ὑγιαίνει. οὐδ' οὐδέ.

Οὐδ' ἄχνα, οὐδὲ τὸ ψυχρὸν καὶ ἄφθονον εἰς χρῆσιν. ἀγροῖκοι δέ, τῶν ἄρτων τὰ φλοιόσματα. ¶ Οὐδαμῶς οὐδέποτε. ¶ Οὐδαμῶς, καὶ τὸ οὐδέν.

Οὐδ' ἀεὶ φρέων. οὐ γὰρ αὐτὸς τοῦτο. ¶ Οὐδαῖοι, χθόνιοι, ἐπίγειοι. ¶ Οὐδαμινός, οὐδενὸς λόγου ἄξιος ἐστί, βραχὺ εὐτελής. ¶ Οὐδαμῶς, οὐδέποτε. ἢ παντελῶς.

Οὐδ' ἀπόνητο, οὐ δὲ ὄνησιν ἔλαβεν. ¶ Οὖδας, γῆ, ὁ τὸ ἔδαφος. ¶ Οὐδὲ ἔφημι. οὐδὲ αὐτὸν λέγω.

Οὐδ' ἐλεαίρει, οὐ γὰρ ἐλεεῖ. ¶ Οὐδ' ἅμας, οὐδὲ κατὰ τὸ σῶμα. ¶ Οὐδ' ἐμάτησεν, οὐδ' ἐλύπησεν.

Οὐδέμιαν, οὐδὲ μίαν. ¶ Οὐδέν. ἀντὶ τοῦ οὐ. ¶ Οὐδ' ἀπὸ παλαιφάτου δρυὸς ἡ πάλαι φημιζομένης, ὅτι ἐξ αὐτῆς ἐγένοντο ἄνθρωποι. τινὲς δὲ γράφουσι παλαιφάτου, ἐπειδὴ παλαιὸν ἐστι φυτὸν ἡ δρῦς.

Οὐδ' ὅτι ἀπὸ τρόπου ἀντὶ τοῦ οὐκ ἀπεικός. ¶ Οὐδ' ὅτι δέρματι· οὐδ' οὐδὲ δέρμα ἴδιον ἔχοντα οὐδ' ὅτι ὑπάρχειν.

Οὐδ' ὅτι ἔττον, μᾶλλον. ¶ Οὐδενείας, εὐτελείας.

Οὐδ' ὅτι ἱερόν. παροιμία λεγομένη ἐπὶ τῶν τέλεον ἀχρήστων πρὸς τὸ συλλαβέσθαι καὶ ἐπαρκεῖν, καὶ ἑαυτοῖς τοῖς γνωρίμοις. φασὶ δὲ ἡρακλέα πρῶτον θιασώμενον τὸν ἄδωνιν, εἰπεῖν οὐδὲν ἱερόν, ἴσως ἦν αἰνιττόμενος διὰ τὸ πρὸς μηδὲν εἶναι χρήσιμον. ¶ Οὐδενόσωρα, οὐδὲ μιᾶς φροντίδος ἄξια, ὥρειν γὰρ τὸ φροντίζειν. καὶ φυλάσσειν, ἔμοιγε τὸ ὀλιγωρεῖν καὶ πολυωρεῖν, ἀπὸ τίων δὲ οὐδενὸς φυλακτικά.

Οὐδ' ἐν σελίνοις. παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τὰ φύλα

θρασὺς ἄνεμος. ¶ Ὄρπηξ, τὸ ἀκρέμων ὁ γόνος, ἔνθεν τῶν ὀσχυούντων. ¶ Ὀρπηστήρες, ἐμφῶν τὸν ἐλέφαντα τύπτουσιν. ¶ Ὄρπηκες. κλάδοι ὄζοι. ¶ Ὄρπηξ, κλάδος ἐξ ὑποφυκότος κάτωθεν ἀναβλαστήσας ἢ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου, ὀρθὸς κλάδος. ¶ Ὄρρα, ὅσ ἄρα.

Ὀρρέξας, θραύσας, ἀπολόμενος. ¶ Ὀρρίδαν, τὸ ἐπὶ τὰ ἰσχία καὶ τοὺς γλουτοὺς πεσεῖν. ¶ Ὄρριον, ὀρίγανον.

Ὀρροβήλας, ὁ λάος ἰταλιῶται. ¶ Ὀρροπύγιον, ὀρθοπύγιον. ¶ Ὄρρος, ὁ ζάμιος, οὐχ ὅς τινες, τὸ ἰσχίον, ἕτεροι δὲ ἐτυμολογοῦσι καὶ τὸ ὀρροδεῖν, οἱ γὰρ δεδοικότες ἰδοῦσι τὸν ὄρρον ὃ ἐστὶν ἱδροῦσιν, ἢ τὸ ὀστοῦν τὸ ὑπὸ τὴν ῥάχιν. ¶ Ὀρρούει, ὁρμᾷ, πηδᾷ. ¶ Ὄρευε, πτερωμένην. ¶ Ὀρρωδεῖ, φοβεῖται, ἀπορεῖ. ¶ Ὀρρωδία, φόβος, ἀπορία. ¶ Ὀρρωδία, ὁ φόβῳ. ¶ Ὀρρωδέως, ἐμφόβως. ¶ Ὀρσαγγης, σωματοφύλαξ, ὃ ὁ τὸν βασιλέως οἶκον ποτὲ φυλάττουσιν. ¶ Ὄρσαι, ὁρμῆσαι, ἐγεῖραι, ἐρεθίσαι. ¶ Ὀρσιπέτης, ὑψοῦ πετόμενος. ¶ Ὀρσίπεις, βοῦ ἐλαστικοὺ παρασκευάζουσαι πρὸς τὸν τῶν πολλῶν δρόμον. ¶ Ὄρσο, ὄρσεο, ἔγειρου.

Ὀρσοδάκνη, ζωύφιον τι ἐν τῇ κράμβῃ γινόμενον.

Ὀρσοθύρα, θύρα μεγάλη καὶ ὑψηλή, δι᾽ ἧς ἐστὶν ὀροῦσαι καταβαίνοντα, ἄλλοι πᾶσα θύρα μὴ ἔχουσα τὸν βαθμὸν πρὸς τῇ γῇ, ἀλλ᾽ ἀπέχουσα τοῦ ἐδάφους, οἷον θυρίς, ἢ θύρα εἰς ὑπερῷον ἀνάγουσα. ¶ Ὀρσοί, τῶν ἀρνῶν οἱ ἔσχατοι γενόμενοι. ¶ Ὀρσολοπεῖται, διαπολεμεῖται, ταράσσεται αἰσχύλος. ¶ Ὀρσομένη. διεγειρομένη. ¶ Ὄρσω, τολμῶ. ¶ Ὀρτή, ἑορτή. ¶ Ὀρτάλιχοι, οἱ μήπω πετόμενοι νεοσσοὶ καὶ οἱ ἀλεκτρυόνες καὶ κρεμάστραι. ¶ Ὀρτὸς, βωμὸς κύπριοι. ¶ Ὀρυκάνει, ἐρεύγεται. ¶ Ὀρτυγία, ἡ νῦν Δῆλος καλουμένη νῆσος.

Ὀρτυγίη, ἐλίσσω σπ. δ. ἐστιν ὁ * ταμιεύσεως ἄρχονται, ἔγραψαν δέ τινες, ἢ ζοφαὶ καὶ στροφαί.

Ὀρτυγομήτρα, ὄρτυξ ὑπερμεγέθης. ¶ Ὀρτυξίς, πόα τις. ὀρυαχόρδη ἰφσό. ¶ Ὀρυμαγδός, θόρυβοι.

Ὄρυμος. βρυχώμενος. ¶ Ὀρύεται, ὑλακτεῖ.

Ὀρυκτὴν, σκαπτόν. ¶ Ὀρυμαγδός. ταραχὴ ψόφος θόρυβος κτύπος. ¶ Ὄρυμος, βρωμὸς, οἱ δὲ ὄρυμβος.

Ὀρυθμεῖ, γρυλλίζει. ¶ Ὄρυγξ, λαοξοϊκὸν σκεῦος, ὃ σκαφίου ἐοικὸς, καὶ ἰχθὺς, καὶ ζῶόν τι τετράπουν δορκάδι κατὰ τὴν χροιὰν παραπλήσιον. ¶ Ὀρύξομεν, σκάψομεν. ¶ Ὀρφακίνης, ἰχθὺς ποιός. ¶ Ὀρφανία, νυκτερινὴ σκοτεινή. ὅθεν καὶ ὀρφανὸν εἰρῆσθαι τὸν ἐν σκότει ὄντα. ¶ Ὀρφανή, ἡ τῶν γονέων. ¶ Ὀρφανὸς, ὁ γονέων ἐστερημένος ἢ τέκνων. ¶ Ὀρφίνη καλάμη μελίνης. ¶ Ὀρφναία, σκοτεινὴ μελανή. ¶ Ὄρφνα καὶ ὄρφνη, σκοτία, νὺξ μέλαινα. ¶ Ὀρφνῆεν, μέλαν σκοτεινὸν ἢ ὀρφανόν. ¶ Ὀρφνίον, τὸ μέλαν ἱμάτιον, καὶ ὀρφνιστές. ¶ Ὀρφοβόται. ἐπίτροποι ὀρφανῶν.

Ὀρφοβοτία, ἐπιτροπή. ¶ Ὀρφὼς, ἰχθὺς ποιός.

Ὄρχαμε λαῶν βασιλεῦ ἄρχων λαῶν. ¶ Ὄρχαμος, βασιλεὺς ἡγεμών. ¶ Ὀρχὰς, περίβολος ἁμαξία καὶ εἶδος ἐλαίας. ¶ Ὄρχατοι, οἱ ἐπιστοίχιοι φυτεῖαι, ἢ οἱ κῆποι ἀπὸ τοῦ ὀρχήσεως. ¶ Ὀρχέα, ἡ τοῦ ταύρου ὀσχέα. ¶ Ὀρχεῖται, διασείεται. βακχεύει. ¶ Ὀρχηστὴς, ποτὲ μὲν ὁ χορικὸς, ποτὲ δὲ ὁ ἐν πολέμῳ εὐκίνητος. ¶ Ὀρχήστρια. αὔρα. ¶ Ὄρχεα, ζῷον τῶν πεζα

πόδων καὶ ποιά. ¶ Ὀρχιλόν, ἡ βηλὸς. ¶ Ὀρχίλον, ὀρνιθάριον τῶν θυσανόποδων. λέγεται δὲ ὑπό τινων σκαλπηκτής. ¶ Ὀρχιπαιδίζειν, τὸ κακοχηλεύεσθαι παρὰ τοῖς παισί. ¶ Ὀρχηθμοῖσ, ὀρχήστισιν.

Ὀρχηστὴς, συγκεκροτημένος περὶ τὰ πολεμικά.

Ὀρχμαὶ. φραγμοὶ, καλαμῶνες. φάραγξ ἡ σπῆλυγξ.

Ὄρχοι, στίχοι ἀμπέλων. ¶ Ὀρχομενός, πόλις Βοιωτίας, ἣν μινύειον καλοῦσιν. ¶ Ὄρχος, κῆπος καὶ φυτῶν στίχος. ¶ Ὀρρωδεῖ, μαίνεται. φοβεῖται. φρίττει. εὐλαβεῖται. δειλιᾷ. ¶ Ὀρρωδία, φόβος καὶ τὰ ὅμοια. ¶ Ὀρρωδέως, ἐμφόβως. ¶ Ὀρρωδεῖν, ἐκφοβεῖν. ¶ Ὀρῶν, ἰδὼν θεωρῶν. ¶ Ὀρώρει, ὥρμηντο, διεγήγερτο. ¶ Ὄρωρεν, ἐγήγερται, διηγέρθη. ἀνῆλθεν. ¶ Ὀρώρεται, τετάρακται τεθύμωται.

Ὀρωρέχαται, ὡρμημένοι εἰσὶν ἢ ἐκτεταμένοι. ¶ Ὀσχημόν, ἔχετον ἄλυρον. ¶ Ὀρῶσι, βλέποιτο. ¶ Ὄσαρ, θρον ἀρσενικὸν, ὅς τις οὖρος. ¶ Ὁσάκις, ποσάκις.

Ὁσάτιον, ὅσον. ¶ Ὃς δῆκεν, ὃς δ᾽ ἄν. ¶ Ὅς ἠλθεν, ὅς τις ἦλθε. ¶ Ὁσημέραι, πάντοτε καθ᾽ ἡμέραν.

Ὄσια, ἄλφιτα δεδευμένα ἐλαίῳ καὶ οἴνῳ. ἢ ὁ καρδίας.

Ὁσία, γνώμη γνησία. ¶ Ὁσίη, θέμις. ¶ Ὅσιος, καθαρός. δίκαιος. εὐσεβής, εἰρηνικός. ἁγνός. ¶ Ὁσιουργῆσαι, ἀποκαρδουργῆσαι καὶ τὸ ἐπιλέγειν ἐν ταῖς θυσίαις, ὅταν ἀπάρχωνται τῶν θεῶν αὐτῶν. ¶ Ὁσίους θαλάμους τοὺς μὴ θείους, ἀλλ᾽ ἀνθρωπείους. ἔστι δὲ ἀπὸ τῆς ἑστίας τὸ ἐφιέμενον ἢ μὴ ἀπηγορευμένον, ὡς καὶ δημοσθένης ἐν τῷ κατὰ τιμοκράτους. ¶ Ὁσίως, πρεπόντως δικαίως. ¶ Ὄσιεις, αἱ ἐν αἰγύπτῳ ὑπηρέτιδες πληροῦσι τὸν λεγόμενον ὁμόσιον γυναῖκες.

Ὀσκάπτω, ἀνασκάπτω. ¶ Ὀσμύλια, τῶν πολυπόδων αἱ ὀξεῖαι λεγόμεναι ἢ ἰχθύδια τινά, ἀλλ᾽ εὐτελῆ σμύραι, βολβητῖναι θαλάσσιοι. ¶ Ὅσκεν, ὅ τις δή.

Ὅς μέγα, ὅς τις μεγάλως. ¶ Ὅς οἱ, ὅς τις αὐτῷ.

Ὅσον, ὀλίγον. ¶ Ὅσον, ὅσον δὲ, ὀλίγον ὀλίγον.

Ὅσον οὔπω, ταχύ. ¶ Ὅσος, ὁπόσος. ¶ Ὃς οὐδ᾽ ἐρ τοῖος ἦν. ὃς οὐκ ἦν τοιοῦτος. ἀλλὰ τοὐναντίον λαμπρός στεφανοφόρος, ὁ φιλοποιός. ¶ Ὅσπερ ἔφηνεν, ὅς πρὸ καὶ φανερὰ ἐποίησεν. ¶ Ὅσπερ, ποικίλα.

Ὀσπρεία. καὶ γενικῶς καὶ ἰδικῶς λέγεται. ¶ Ὄσπρος, ἰδίως τὶς λέγεται ὡς πισὸς καὶ ἐρέβινθος.

Ὅσ γε, ὅς τις δή. ¶ Ὄσσα. ὀπτίζει ὄσσα. τόσα. ¶ Ὄσσα κληδὼν καὶ φήμη. ¶ Ὄσσα δισκοίουρα, ὅσα δίσκου οὖρα. ¶ Ὁσσάτιον, ὅσον. ¶ Ὅσσα ἐόργας. ὅσα εἰργάσω. ¶ Ὄσσε, ὀφθαλμοὶ δυϊκῶς. ¶ Ὄσσε καθαιρήσουσι, καμμύσουσι τοὺς ὀφθαλμοὺς καὶ συγκλείσουσιν, ὅπερ τοῖς νεκροῖς γίνεται ὑπὸ τῶν οἰκείων περὶ τὸν τοῦ θανάτου καιρόν. ¶ Ὄσσε δέ οἱ, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ. ¶ Ὄσσοι βλέψιλοι.

Ὄσσεις, βλέπεις, ὁρᾷς. ¶ Ὄσσευ, ὅρα βλέπε.

Ὅσ σευ, ὅς τις σοῦ. ¶ Ὀσσέων, ὀφθαλμῶν. ¶ Ὀσσητῆρα, βοηθόν. Ὀσσῆξαι, ἐπιδεῖξαι. ¶ Ὀσσίχον, ὅσον ὀλίγον. ¶ Ὄσσομαι, περιβλέπομαι, ὁρῶ.

Ὀσσόμενος, τοῖς ὀφθαλμοῖς ὑποβλέπων, ἢ κατὰ ψυχὴν προσδεχόμενος ἢ προσδοκῶν.

Ὅσσον, ὁπόσον πηλίκον. ¶ Ὅσσον τε γέγωνε βοήσας ὅσσον δ᾽ ἐβόησε κραυγάσας ἀνήρ. ¶ Ὄσσοντο, δι

Ὀ ρφανευκὸς, χοιρίδιον μικρόν. ❡ Ὄρθιον. ὄρθιον. μακρόν. ὀξύ. μέγα. ❡ Ὀρθιῶν, ἀνορθοῦν. ❡ Ὄρθη, πόλις θεσσαλίας. ❡ Ὄρθια, ἀνατεταμένα, ἐξάκουστα, μεγάλα. ❡ Ὀρθιὸν, τὸ ὀρθὸν ἀπηχεῖ. ❡ Ὀρθία, ἄρτεμις, οὕτως εἴρηται ἀπὸ τοῦ ἐν ἀρκαδίᾳ χωρίου ἔνθα ἱερὸν ἀρτέμιδος ἵδρυται. ❡ Ὀρθιάζειν, μαντεύεσθαι. ❡ Ὀρθίας, ἰσοῦ νεὼς, τίθεται καὶ ἐπὶ κατεμφάτου. ❡ Ὀρθιοκώποι, οἱ ἐπιπόνως ἐλαύνοντες καὶ ἀκλινῶς. ❡ Ὄρθιον, πρόσχοντες, ἀνατεταμένον ὑψηλόν. ❡ Ὀρθιοκώπους, ἐξορθουμένους ἐν τῷ ἐρέσσειν ἐπιπόνους. ❡ Ὄρθιον νόμον, οὕτως ὠνομάσθαι φασὶν αὐτὸν ἀπὸ τοῦ ῥυθμοῦ καθάπερ καὶ τὸν τροχαῖον.
Ὀ ρθογὴ, ἡ χελιδών. ❡ Ὀρθόδωρον, μέτρον τὸ ὀρθὸν τῆς χειρὸς ἀπὸ ἄκρου τοῦ καρποῦ, μέχρι τοῦ δακτύλου. οἱ δὲ σπιθαμήν. ❡ Ὀρθοκέρως, ὀρθότειξ. ❡ Ὀρθοκραιράων· ἐπὶ μὲν τῶν νεῶν, τῶν ὀρθοπρύμνων, ἐπὶ δὲ τῶν βοῶν, τῶν ὀρθοκεράτων, εἴρηται δὲ διὰ τὸ κάρα.
Ὀ ρθοκόρυς, ὀρθὸν πῖλον ἔχων. ❡ Ὀρθιὸν, τὸν ὄρθιον νόμον. ❡ Ὀρθοπυγιᾶν, ὅταν γυνὴ ἑαυτὴν ἐπαίρῃ πρὸς τὸ μακροτέρα φαίνεσθαι. ❡ Ὀρθόπλινθον, μεγάλους ὤμους ἔχουσα, πλινθία δὲ τὰ εἰς ὕψος ἀνέχοντα. ὃ μεγάλας ἔχουσι πολυστέγους οἰκοδομάς.
Ὀ ρθοστάδιοι, χιτῶνες οἱ περὶ ὑπόκομμα ἔχοντες, οἱ δὲ συρόμενοι συρτοί. ❡ Ὀρθοστάδην. τὸ ὀρθὸν· ἀφροδίσιος. ❡ Ὀρθοστάδη εἶδος πέμματος. ❡ Ὀρθοστατῶν, παραστατῶν. ❡ Ὀρθόφρων, ἀνατεταμένας φρένας ἔχων μετέωρος, ὁ ὀρθάς. ❡ Ὀρθωθεὶς, ἐξαναστάς,
Ὀ ρθωθῆναι, τὸ ἀπὸ τῆς ὑπτιότητος ἐξαναστῆναι.
Ὀ ρθωσία, ἐπώνυμον ἀρτέμιδος. ❡ Ὀριαχὶς, ὀρείκοινον. ❡ Ὀριγνᾶσθαι, ἐπιθυμεῖν. ὀρέγεσθαι. ❡ Ὀριγνώμενοι, ἐπιθυμοῦντες. ❡ Ὀριγνώμενον, πεταγμένον ὄρεια λαβών. ❡ Ὀρίζει, ἵστησιν ὅρον διόδωσι κρίνει, θεματίζει. διαιρεῖ. ἀφορίζει. ❡ Ὀρικάνη, δεσμωτήριον, οἱ δὲ φραγμόν, οἱ δὲ σαργάνην, ἢ σκίπλεον.
Ὀ ρικυπτεῖν, τὸ ἀνατείνεσθαι, καὶ ἐπ' ἄκρων ὀνύχων ἵστασθαι. ❡ Ὀρινάδες, τὰ ἀνάστροφα. ❡ Ὄρινας, ἐτάραξας. ❡ Ὀρίνθη, ἄρον, παρὰ αἰθίοψι καὶ σπέρμα παραπλήσιον σησάμῳ, ὅπερ ἕψοντες σιτοῦνται. τινὲς δὲ ὄρυζαν. ❡ Ὄρινε, διήγειρε τὴν ψυχὴν ἐκίνησεν· οὐ ματὰ ἀπειλήν. ὡς φάτο τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν. ❡ Ὀρίνετον, ὥρμων. ἐτάρασσον, ἐκίνουν. δυϊκῶς, ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα.
Ὀ ρινίαι, ἀναδενδράδες. ❡ Ὀρίνθη, ἐταράχθη, ὑψώθη,
Ὀ ρινόμενοι, ταραττόμενοι, διωκόμενοι, ὑψούμενοι.
Ὄ ριον, τείχισμα φραγμόν. ❡ Ὄρισμα, στοῖχισμα, ἡ μίονος, ἢ ὅρος. ❡ Ὀρισάς, ὁρίζοντας. ❡ Ὀρείχαλκος, χαλκός, χρυσῷ ἐοικὼς ἢ κρείνη ἀρχίχαλκος.
Ὀ ριχᾶται, ὀρέγεται. ἐπιθυμεῖ. ❡ Ὄριψα, ἐρινῦς.
Ὄ ρκη, ὄψις. ❡ Ὀρκάθους, ἐφ' ὧν τὰ σῦκα ψύχουσιν.
Ὀ ρκάνη, εἱρκτὴ, δεσμωτήριον. ἔνιοι κρεμάθραν. ἄλλοι σαργάνην, οἱ δὲ φραγμόν. ❡ Ὁρκία, καθ' οὗ ὀμνύουσι, ἤτοι ὁρκωμόσια. ❡ Ὅρκια πιστά, ὅρκους ἐπὶ πίστει.
Ὀ ρκίζει, ὅρκον ποιεῖ ὀμνύειν. ❡ Ὅρκιον, φράγμα.
Ὅ ρκιοι, δεσμοὶ σφραγῖδες. ❡ Ὄρκυνος, ἰχθῦς ποιός.
Ὀ ρκύπτειν, τὸ ὑποκύπτοντας ἰδεῖν τι, τὸ ἐκτείνειν ἑαυτὸν καὶ ἐπ' ὀνύχων ἵστασθαι. ❡ Ὁρκωμόσια, θύματα, ἐφ' ὧν οἱ ὅρκοι γίνονται. ❡ Ὁρκώτης, ὁ ὁρκίζων. ❡ Ὁρμαθὸς, χορὸς στίχος, φωλεός. ❡ Ὁρμαθοῦ, ἐκτρέχοις, τόπου ἐπακολούθου περιβόλους συνθέσεως, ὃ ἐστι τῶν νυκτερίδων ἀθροίσματος. ❡ Ὁρμαίνειν, ὁρμᾶν. ❡ Ὁρμαίνοντα, διανοούμενον. ❡ Ὁρμαίνων. φροντίζων, ἐν διανοίᾳ ἔχων. ❡ Ὁρμανὸν, αἰσχιστὸς χαλεπόν. ❡ Ὁρμάς, κινήσεις. ❡ Ὁρμάται, οἱ ἀνδροκτόνοι σκύθαι. ❡ Ὁρμειαί. ὁρμαί. ❡ Ὅρμενα, ὁρμῶντα. κεκολλημένα. ❡ Ὁρμᾶσθαι, ὁρμᾶν τὸ πολεμεῖν. ❡ Ὅρμενος, ὄνομα κύριον, καὶ πόλις θετταλίας, καὶ οἱ μὲν, τῆς κράμβης τὸ ἔνδον κύημα, οἱ δὲ τὸν ἄγριον ἀσπάραγον, ἄλλοι, πᾶν τὸ ἐκκεκαυλημένον.
Ὀ ρμήματα, μερίμναι. ❡ Ὁρμὴ, βουλὴ ἐπιθυμία ῥομή. ❡ Ὁρμητήριον. καταγώγιον. ❡ Ὁρμιά, σχοινίον λεπτόν. ❡ Ὁρμιευτὴς. ἁλιεύς. ❡ Ὅρμικας, μύρμηξ. ❡ Ὅρμινοι, ὄσπριόν τι. ❡ Ὁρμίσκοι, περιτραχήλιοι κόσμοι γυναικεῖοι, ὁ μανιάκης, ἢ περιδέραια. ἢ κλοιοί. ἢ δακτύλιοι. ❡ Ὅρμισον, δῆσον, ἀνάπαυσον, εἰς ὅρμον κάτελθε. ❡ Ὁρμοὶ, ἱμάντες ὑποδημάτων.
Ὅ ρμος, λιμὴν, ἢ περιτραχήλιος κόσμος, καὶ ὁ ἱππόδρομος τοῦ πλοίου καὶ ἡ στάσις. ❡ Ὅρμω μέζον, τὸν ὅρμον καὶ τὸν λιμένα. ❡ Ὁρμούμενος, προθυμούμενος, ἢ φερόμενος. ❡ Ὀρναὶ, πόλις. ❡ Ὄρνεα, ὀρνεόπωμα καὶ πετεινὰ καὶ τόπος. ❡ Ὀρνιθευτὴς, ὀρνιθοθήρας. ❡ Ὀρνιθοιωνῷ. ὀρνέω. ❡ Ὀρνιθοκάπηλοι, ὀρνιθοπῶλαι. ❡ Ὀρνυμένη, ὁρμῶντος διεγειρομένη.
Ὀ ροβάδιον, νεβρῶν. ❡ Ὀροβάκχη, βοτάνη τις. οἱ δὲ τὸ ῥοιᾶς τοὺς καρποὺς, οὓς ἔνιοι κυτίνους. ❡ Ὀρόβιον, χρυσοκύλλισ εἶδος. ❡ Ὀρόγκοι. τῶν ὀρῶν τὰ ὀγκώδη, ἃ καὶ ὀρόγχους καλοῦσιν. ἢ ὀρῶν λόφους, τινὲς δὲ καὶ τὰ ἐργάσιμα ξύλα. ❡ Ὀροδάμνοι, κλῶνες, κλάδοι, βλαστήματα. ὄρπηκες. ❡ Ὀρόδαμνος, τὰ αὐτὰ καὶ ποταμός. ❡ Ὀροδεμνιάδες, νύμφαι καὶ αἱ μέλιτται ἀπὸ τοῦ ὄρος τῶν δεμνίων, ἐπεὶ ἐκεῖ κοπάζονται, οἱ δὲ ἀπὸ τῶν ὀροδάμνων, οἵ εἰσι κλάδοι. ❡ Ὀροδίος, φόβος. ❡ Ὀρρωδοῦντες, φοβούμενοι. ❡ Ὀροθέσια, τὰ χωρίζοντα τὴν γῆν. ❡ Ὀροθύνειν, ἐρεθίζειν, ταράσσειν. θαρρύνειν. ❡ Ὀροβάδες, αἱ αἶγες. ❡ Ὀροικλάνοι. ὀξύσχοινοι. ❡ Ὄροβον, εἶδος ὀσπρίου. ❡ Ὀροιτύπος, ὑλοτόμος. ❡ Ὀρόμενος, ὁρμώμενος. ❡ Ὀρῶνται, ἐφορμῶσιν, ἐπακολουθοῦσιν. ❡ Ὅρος, νόμος θεσμός. ἢ στήλη ἡ καταπεπηγυῖα ἐπὶ χωρίῳ ἢ οἰκίᾳ.
Ὀ ρρός, τὸ ὑδατῶδες καὶ ἀφιστάμενον τοῦ γάλακτος ἀπὸ τοῦ ὀρούειν ἀπ' αὐτοῦ. ὀρρὸς γάλακτος, γάλακτος τὸ ἀφύλισμα. ❡ Ὅρος, κοτυλέων τῆς εὐβοίας.
Ὀ ρσία, χέρσος καὶ σύντειμμα πολιτικὸν εἰς ὃ ἐπιχάρμου δρᾶμα. ❡ Ὀρούειν. ὁρμᾶν. ❡ Ὀροῦσαι, ὁρμῶσαι· λέγει δὲ αὐτὸ ὀρούειν καὶ ὁρμαίνειν. ❡ Ὁρμαιώνειοι, θάνατοι. ❡ Ὀρούματα, ὁρμήματα, πηδήματα.
Ὀ ροτύπου δίκην, ὅτι οἱ γίγαντες ἀποσπῶντες ἀπὸ τῶν ὀρῶν κορυφὰς καὶ πέτρας ἔβαλλον. ❡ Ὀροφὴ, στέγη.
Ὀ ροφηφόρον, ζῷον πᾶν ὀστρακόδερμον. ❡ Ὀροφίας, ὄφις τῶν κατ' οἰκίαν. ❡ Ὄροφος, κάλαμος, ᾧ στεγάζουσιν. ἤλη δὲ καὶ ὁ ὀροφή. ❡ Ὀροφοιτῶντα, εἰς ὄρη περιερχόμενον. ❡ Ὀροχθον. ὄρθον ὄχθον. ❡ Ὄρπα, ἐρινῦς. ❡ Ὀρόων, ὀρῶν βλέπων. ❡ Ὄρπαξ.

προσέχειν. ¶ Ὄπισω, λάχανα ἄγρια. ἢ ἀφθόκτον, ἢ ἄπιστον. ¶ Ὀπίσεται, ὄψεται. ¶ Ὀπισθεν, εἰς τοὐπίσω ἐπάνω φέρεσθαι. ¶ Ὀπίσω, δυσχερῶς. ὀπίσω, πάλιν ὕστερον μετὰ ταῦτα καὶ τὸ μέλλον. ὀπισθόπους, ὁ ἀφεὶς τοῦ χοροῦ. ¶ Ὀπισθότατον, τελευταῖον ἔσχατον. ¶ Ὀπίστατος, τελευταῖος ὕστατος, ὀπίσω τῶν φευγόντων. ¶ Ὀπίσω μαι, οὐ πείθομαι βοιωτοί. ¶ Ὅπλα, ποτὲ μὲν τὰ πολεμικὰ σκεύη, ποτὲ δὲ τὰ τῆς νεὼς σχοινία καὶ τὰ χαλκευτικά. ¶ Ὁπλαί, αἱ πτέρνιδες ἢ ὄνυχες ἵππων καὶ ἑτέρων κτηνῶν. ¶ Ὁπλεῖσθαι, ὁπλίζεσθαι.

ὁ πλή, ὄνυξ κτήνους, ἄλλοι δὲ τὸν τῶν ἀνθρώπων ὄνυχα. ¶ Ὁπλίας, λοκροὶ τοὺς τόπους ἐν οἷς συνελαύνοντες, ἀρμεύουσι τὰ πρόβατα καὶ τὰ βοσκήματα.

ὁ πλίζεσθαι, ἑτοιμάζεσθαι. ¶ Ὁπλίσαι, παρασκευάζεσθαι. ¶ Ὅπλον, ἔνδυμα πολεμικὸν καὶ τὸ ἀσπίδιον. ¶ Ὅπλισμα, βῆμα, καὶ τὸ τοῦ πλοίου σχοινίον.

ὁ πλοτεράων, νεωτέρων. ¶ Ὁπλότερος, νεώτερος.

ὁ πόεις, πόλις λοκρίδος. ¶ Ὅποι, ἔνθα. ὅπου. ποῦ.

ὁ πυομιγὴς μισγομένη. ¶ Ὅπτι, ὅπου. ¶ Ὀρέγει παρέχει. ¶ Ὀπός, πυτιών. βοτάνη τίς, δι' οὗ πήγνυται τὸ γάλα, καὶ τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ γαλακτῶδες ἐκ τῆς συκῆς ἀφιέμενον. ¶ Ὁπόσον, ὁποῖον. ¶ Ὁπόσον, πλῆθος. ¶ Ὁπόταν, ὅτε, ὅταν ἡνίκα. ¶ Ὅπτη. ὅπου. ¶ Ὁπόθεν, πόθεν.

ὁ προσφέρτερος, ὁ ἀποσρέφων καὶ ὑπὸ τῶν ἄλλων.

ὁ πταλέον, ὀπτόν. ¶ Ὀπτανεῖον, μαγειρεῖον.

ὁ πτανόμενος, ὁρώμενος ἐμφανιζόμενος. ¶ Ὀπτασία, θεωρία φαντασία θέαμα. ¶ Ὀπτήρ, ὁρατὴρ ἔφορος. ¶ Ὀπτῆρες, κατάσκοποι καὶ τὰ ὅμοια.

ὁ πτήρια. τὰ ἐν τοῖς ἀνακαλυπτηρίοις διδόμενα δῶρα τῇ νύμφῃ. ¶ Ὀπτιαλοί, ὀφθαλμοί. ὀπτιαλίασις, ὀφθαλμίασις. ¶ Ὀπτικὴ ὀπτικόν. ὀπτικὸν καὶ ὀπτὸν ταῦτα σημαίνει, ὅσα τὰ φανερὰ προορατικά.

ὁ πτός, φαινόμενος, ἢ ἑψόμενος πυρί. ¶ Ὀπυιέν γαμεῖν. ὀπυίει. γαμεῖ. ¶ Ὀπυιέμεναι, γεγαμημέναι.

ὁ πυομένη, γεγαμημένη. ¶ Ὀπυιέμεναι, γαμοῦσαι.

ὁ πυίολαι, γεγαμηκότες. ¶ Ὄπωπα, ἑώρακα. ἴδον ἐθεασάμην. ¶ Ὀπωπαῖς, ὄψεσιν ὀφθαλμοῖς.

ὁ πωπή, πρόσοψις ἐνοπτή. ¶ Ὀπώρα, τὸ θέρος καὶ τὸ μετόπωρον κυρίως δὲ ἡ σταφυλὴ καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀκροδρύων. ¶ Ὀπώρη, τῷ φθινοπώρῳ. ¶ Ὀπωρινὸν δέος, τὰ ἐν ταῖς ὀπώραις φοβερὰ ἢ καὶ ἔμβοια. ¶ Ὀπωρινὸς ἐν ἀρχῇ τῆς ὀπώρας πνέων. ¶ Ὀπωρινῷ, τῷ κατὰ τὸν καιρὸν τῆς ὀπώρας. ¶ Ὀπωρώνας, ῥίζεις πράσινοι ὠνομασμένας. ὀπωροφυλάκιον δὲ ἡ σκηνή, ἡ καλύβη τῶν φυλασσόντων. ¶ Ὅπως, ἵνα ὅπως. ¶ Ὀπτεφάτης, πέπρακται εἶδεν. ¶ Ὁπωσοῦν, ὁπωσδήποτε ὁπωσδήποτε. ¶ Ὄρεια, τὰ ὄρεια ἔνιοι ἀποθήκας, καὶ ῥωμαῖοι ὄρρεια καλοῦσιν. ¶ Ὀρ(ε)άλα, οἱ μὲν τὸν ὀρρόν, οἱ δὲ τὸν γαλακτώδη παρὰ τὸν ὀρρόν. ¶ Ὅρα, ἔγειρε, ἐλθέ. ¶ Ὅραιοι, ἀναγκαῖοι, προσήκοντες.

ὁ ράδες, ὑλώδεις τόποι. ¶ Ὁρᾷ δύναται, ὁρμητικόν.

ὁ ράζειν, λέοντα μαλάσσειν. ¶ Ὁρᾷ, βλέπων ὁρᾷ.

ὅ ραμα, θέαμα ὀπτασία ὅρασις εἶδος φαντασία, θέα.

ὁ ρᾶ, βλέπει. ¶ Ὁρᾶσθαι, ὁρᾶν. ¶ Ὁρατικὸν γνω-

στικόν. ¶ Ὁρατόν, αἰσθητόν, θεωρητικὸν καὶ θεωρητήν.

ὀ ργᾶ, ἐπιτεταμένως ἐπιθυμεῖ δηλοῖ δὲ καὶ τὸ ἀκμάζειν, μανίαι. θυμοί. ἐπιθυμίαι καὶ ἦθος. ¶ Ὀργάδα, ὄρειον, ἢ γαλακτώδη παρὰ τὸν ὀρρόν. ¶ Ὀργάδ' ἀθηνᾶν, ὀργᾶν λέγουσι, τὸ ἐπί τι παρασκευάζεσθαι καὶ ὁρμᾶν. ¶ Ὀργάδες, γεωργημένοι τόποι.

ὀ ργάνη, ἡ ἀθηνᾶ. ἣν ἐργάνην ἀπὸ τοῦ ἔργου λέγουσιν.

ὄ ργανον, τὸ εἰργασμένον καὶ ἐργαλεῖον. ¶ Ὀργάς, λοχμώδεις καὶ ὀξὺ χωρίον καὶ αὐτεργαστον, καὶ πᾶν τὸ ὀργιζόμενον, ὃ ἐντρεπόμενον, ἢ ἐπιθυμῶν ὃ ἀκμάζειν.

ὀ ργάσαι, ἑτοιμάσαι, καὶ τὸν πηλὸν ὀργάσαι φασίν, ὅταν ἑτοιμάσωσι φυρᾶσαι. βρέξαι, ἀναλεῦσαι.

ὀ ργάσας μαλάξας. ¶ Ὀργίων, ἱερῶν ὃ ἱερέ.

ὀ ργεῶνες, ἱερεῖς. ¶ Ὀργιῶντες, μύσται ἱεροφάνται. ἱερεῖς. ¶ Ὀργή, τρόπος, μανία. θυμός.

ὀ ργής, ὀργὴ κατὰ τὴν διάθεσιν. ¶ Ὄργια, τὰ ἱερὰ δὲ τὰ μυστήρια. ¶ Ὀργιάζειν, τελεῖν διονύσῳ.

ὀ ργιάζουσι, τελοῦσιν. ¶ Ὀργιάσθης, ἐμυήθης ἐχειροθετήθης. ¶ Ὀργίλος, θυμώδης μανιώδης.

ὀ ργίλοις, μυστηρίοις. ¶ Ὀργυιά, ἡ τῶν ἀμφοτέρων χειρῶν ἔκτασις, καὶ τὸ μέτρον, ἀπὸ τοῦ τὰ γυῖα μακρύνειν τὸ πήχεις ἕξ. ¶ Ὀργῶν, ἐπιθυμῶν ὀρεκτικῶς ἔχων.

ὀ ργῶσιν, ἐπιθυμοῦσιν. ¶ Ὀρμή, ῥύμη, ῥώμη.

ὄ ρδικον, τὸ χιτωνίσκον παῖδες. ¶ Ὄρδημα, ὁ τολύπη τῶν ἐρίων. ¶ Ὀρέγει, παρέχει. ¶ Ὀρέγεται ἐπιθυμεῖ. ¶ Ὄρεγμα, βῆμα, ὄρμημα ἅλμα. ¶ Ὀρεγνύς, ἐκτείνων τὴν χεῖρα. ¶ Ὀρείοισιν, οἰκουροῖς γυναιξί μου

ὀ ρείοις, πόσι κώνους, ἐπεὶ ὁ ἐλάτη ὄρθος. ¶ Ὀρεοκόμος, ὁ τὰς ἡμιόνους θεραπεύων. ¶ Ὄρεον, ἱμάτιον ἄγναφον. ¶ Ὀρεινόν, ἀνθρώπων. ¶ Ὀρεῖς, ἡμίονοι. ¶ Ὀρειλόν, ἐκτενῶς καὶ προθύμως. ¶ Ὀρεινοί, ἄγριοι. ¶ Ὀρείχαλκον, τῶν εἰκῇ διαδιδομένων τοὔνομα. οἱ δὲ πλείους ὑπάρχειν αὐτῶν. ἔστι δὲ ἐκ ὕλη ὁμοία χαλκῷ. ¶ Ὀρεκτεῖν, ἐπιθυμεῖν.

ὀ ρεκτῇσι, μακραῖς. ¶ Ὀρεκτῇσι μελίῃσι. αἷς ὀρέγονται καὶ οὐκ ἐκ διαστήματος χρῶνται συνιστάμενοι καὶ ἐκτείνοντες τὰ δόρατα. ¶ Ὀρεκτικῶν, ἐπιθυμῶν. ¶ Ὀρεκτύς, ἐκτείνων. ¶ Ὀρεκτῶν, ὀρέξεων. ¶ Ὀρέξαι, δοῦναι ἐκτεῖναι. ¶ Ὀρεξάμενος, ἐκτείνας. ὀρέξας, δοὺς ἐκτείνας. ¶ Ὀρεξάσθω, ἐκτεινάτω, προσκείσθω, παραταξάτω. πλεξάτω. ὁ γὰρ τὸ πλῆκτρον ἐκτείνει τὴν χεῖρα ἔνιοι δὲ ἀγωνιζέσθω. ¶ Ὀρέξατε, δότε παρέχετε.

ὀ ρέξατε, ὥρμησε δέξαι. ¶ Ὀρέξειν, παρέχειν, δοῦναι.

ὀ ρέξῃ ὁμοίως. ¶ Ὄρεξις, ἐπιθυμία. ¶ Ὤρεξεν ἐκτεινεν ἐπίδος. ¶ Ὀρεοκόμος, ὁ τὰς ἡμιόνους τρέφων.

ὀ ρέοντο, ὥρμων, ἐπορεύοντο. ¶ Ὀρεσκῴοισιν. ὀρεσιοῖκοις, ὃ ὀρεσκοίτοις, κεῖσαι γὰρ τὸ κοιμᾶσθαι. ¶ Ὀρεσι, προβάτοις. ¶ Ὀρέστερος, ἄγριος. ¶ Ὀρέστη, χωρίον εὐβοίας. ¶ Ὀρεστιάδες, αἱ ἐν τοῖς ὄρεσι τὴν ἐστίαν ἔχουσαι: ἤγουν οἰκίαν. ¶ Ὄρεσφιν, ὄρεσιν.

ὀ ρέχα, τὸ ἀπὸ τοῖς βότρυσιν ἀφαιρεθὲν κλῆμα.

ὀ ρεύειν, φυλάσσειν. ὀρεῦσιν, ἡμιόνοις. ¶ Ὀρεύς, ἡμίονος ἄρσην. ¶ Ὀρῆες, ἡμίονοι ἄρσενες. ¶ Ὀρεταί, ὁρμαί, λαβαὶ ἐγέρσεως. ¶ Ὀρέχθεον, ἐστίν ἀπὸ ἐμυκῶντο. ἐβρύχοντο. ¶ Ὄρημαι, ὁρῶ. ὀρίχος τῆς αἱμασίας. ¶ Ὀρητανός, τὴν ὑπὸ τὸν πελάτην ἐπὶ θεῶν καὶ αὐτὸς ἐντεταμένον ἔχων τὸ αἰδοῖον.

ὑπὲρ ὄνων. ¶ Ὀνάγροι, σωροὶ καὶ τοιά τις.
ὀνοδίσιροι, ἄγνωστοι. ¶ Ὄνοιρ, ὁμοίως. ¶ Ὀνο
κίνδιος, καὶ ὀνοκίνδας, ἀστραβηλάτης ὀνηλάτης.
Ὀνοκένταυροι, παρὰ ἀκύλᾳ, τειχίωνες, δαιμόνων τὸ
γένος, καθόλου καὶ σκοτεινὸν τῇ ἐπιφανείᾳ. ὅπερ σαφῶς
ὠνόμασαν οἱ τὴν ἑβραϊκὴν φωνὴν μεταθέντες οἱ
λοιποί. ¶ Ὀνοκύνδας καὶ ὀνοκίνδας, ἀστραβηλά
της ὀνηλάτης. ¶ Ὀνομακλυτὸς ἀλήτης, κατὰ
μὲν τοὺς ἀκούοντας, ἔστιν ὁ ἔνδοξος κατ᾽ ὄνομα. κατὰ
δὲ τοὺς διαιροῦντας, ὁ τῷ ὀνόματι κλυτός. ¶ Ὀνο
μαστοί. ἔνδοξοι δοξάζονται. ¶ Ὀνομῆναι, ὀνομάσαι,
ἐπαγγείλασθαι. ¶ Ὀνομήνω, ὀνομάσω, ὀνομάσω.
Ὀνώπη, ἀμπέλου μελαίνης εἶδος. ¶ Ὀνόπορδον,
τὴν ἐλξίνην. ἔστι δὲ λάχανον ἄγριον καὶ εἶδος κογχυ
λίου. ¶ Ὄνος, ὁ ἀνώτερος λίθος τῆς μύλης. καὶ τὸ
ὑποζύγιον. καὶ τὸ ὑπὸ τὰ τῶν ὑδάτων ἀγγεῖα πολύ
πουν ζῷον καὶ συστρεφόμενον ὡς κύαμος. καὶ τὸ ἀχθο
φόρον ζῷον. καὶ ἐφ᾽ οὗ τὴν κρόκην νήθουσι καὶ ἰχθὺς
ποιὸς ὁ καὶ ὀνίσκος λεγόμενος. ¶ Ὀνόσαιτο, ἐκφαυ
λίσαι μέμψαιτο. ¶ Ὄνος ἄγει μυστήρια, τοῖς μυστη
ρίοις δὲ ἄστεος εἰς ἐλευσῖνα κομίζουσι τὰ πρὸς τὴν
χρείαν διὰ τῶν ὄνων. τότε μάλιστα εἶχον τοὺς ὄνους
ἀχθοφοροῦντας. ¶ Ὄνος αὐξόντος, πρόσθεν ἐν ἀν
τρῶνι ἐπὶ θεσσαλίας ὄνοι μεγάλοι γίνονται.
Ὀνοσις, ὀστεῖον. ἔστι δὲ ζῷον πολύπουν ὀστρείῳ ὅμοιον,
ὃ καὶ ἴουλον τινὲς φασίν. ¶ Ὀνήσεται, ὠφελήσει.
Ὀνοστά, ἐκφαυλισμοῦ ἄξια. ψεκτά. μεμπτά. εὐτελῆ.
φαῦλα. ἢ καὶ ἄμεμπτα. ¶ Ὀνοσύπαξ, ὀνοσύπτα,
διὰ μὲν τῆς ὄνου τὸν μύλωνα ὀνειδίζων, διὰ δὲ τῆς σύπτα
κος, ὅτι συνασιοπώλης ἦν. ¶ Ὀνοτάζειν, ὀνειδί
ζειν ὑβρίζειν. ¶ Ὀνοταζομένη. περθουμένη. ἴων
μεγάλῳ δράματι, κυρίως δὲ ὑπὲρ τοῦ ἐκφαυλίζεσθαι.
Ὀνοτάζων, ὑβρίζων, ἐκφαυλίζων.
Ὀνοτὸς, μεμψίμοιρος, πτωχὸς ἐπονείδιστος.
Ὀνου γνάθος, εὔπολις παίζει εἰς πλουφασίαν. ἔστι δὲ καὶ
τόπος οὕτω καλούμενος. ¶ Ὄνου πόκαι, χωρίον ἐν
ᾅδου διατετύπωκεν ἀριστοφάνης, οὕτω λεγόμενον παρὰ
σκς. ἔστι δὲ καὶ παροιμία τις ὄνου πόκαι ὑπὲρ τῶν ἀνύ
των καὶ ἀτελῶν. οὐδὲ γὰρ αἱ πράξεις τῶν ὄνων καὶ κάρ
σεις δύνανταί τι, ὥσπερ εἰ λέγοι τις ὄνου κουρᾶς. παρ
όσον οὖν τὰ ἐν ᾅδου ἀνήνυτά ἐστι. καὶ τὸ μυλεῖν, παρὰ τὰς
τὰς τῆς ὄνου πόκας ἔπλασεν. ¶ Ὄνου σκιά, ἀριστο
φάνης σφηξί, περὶ ῥύπου νῦν δὲ μάχη περὶ ὄνου σκιᾶς
ὑπὲρ τῶν μηδενὸς χρησίμου φιλοτιμουμένων.
Ὄντως, ἀληθῶς. ¶ Ὃν τρόπον, καθάπερ ὥσπερ, καθ᾽
ὃν τύπον. ¶ Ὀνυρίζεται, ὀδύρεται. ¶ Ὀνυχιεῖ,
ἐπιμελῶς ἐξετάσει. ¶ Ὀξάλιοι, εἶδος σύκων.
Ὀξαλίς, ἡ ὀξεῖα ῥώξ. ἢ ὀξίνης οἶνος. ¶ Ὀξέα, μεγάλα
ἀνατετραμμένα. ¶ Ὀξερίας, τυρὸς ἀγρεῖος.
Ὀξέως, ταχέως. ¶ Ὀξίδια, λαγύνια μικρά, ἢ ὀξύβα
φα. ¶ Ὀξίνα, ἐργαλεῖόν τι γεωργικὸν σιδηροῦς γόμ
φους ἔχον ἑλκόμενον ὑπὸ βοῶν. ¶ Ὄξος σφήττιον,
ἴσως οἱ σφήττιοι ὀξεῖς ἦσαν. διὰ τοῦτο εἶπεν ὄξος
σφήττιον ἤγουν δριμύ. ¶ Ὄξους χόνδρος, εἶδος
ἐλαίας. ¶ Ὀξύ. ταχύ. μέγα. ἰσχυρόν. ὀξέως ταχέ
ως, ταχυδρόμος. ¶ Ὀξυάκανθον, οἱ ἐν καρίᾳ καὶ
φρυγίᾳ. ¶ Ὀξύβαφον. τὸ σκεῦος οὕτω λέγεται.

Ὀξυβελὴς, ὀξέως βληθεὶς ἢ ταχέως βαλλόμενος.
Ὀξυδερκὴς, ὀξέως βλέπων. ¶ Ὀξυθήκτοις, ὀξυτάτοις.
Ὀξύθηκτος, ὀξύτατος. ¶ Ὀξυθυμία, τὰ ξύλα ἐφ᾽ οἷς
ἀπάγχονται ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι. οἱ δὲ τὰ
καθαρτήρια καὶ ἀποβόσιμα ξύλα, ἅπερ εἰς τὰς τρι
όδους ἀποστρέφουσι καθαίροντες τὰς οἰκίας. τὰ οὖν
ἀνακαθάρματά εἰσι τὰ λεγόμενα ὀξυθύμια.
Ὀξυλαβῆσαι, ὀξέως λαβέσθαι πραγμάτων.
Ὄξυλον, ὅμοιον, ἰσόξυλον. ¶ Ὀξύμαλα. τὰ κοκκύμη
λα. ¶ Ὀξὺν ἄρνα, ὀξὺν πόλεμον. ¶ Ὀξυόεντι.
ὀξεῖ. ἢ ὀξυΐνῳ. ὀξεία δὲ εἶδος δένδρου. ¶ Ὀξυπείαν.
ὀξυβλεψίαν. ¶ Ὀξυπευκές. ὀξύπικρον. ¶ Ὀξύ
πεδος, νῦς ποιὸν εἶδος οἱ γεωργικοὶ φασίν. ¶ Ὀξύπρω
ροι, ὀξυκέρατοι. ¶ Ὀξυρεγμία, ἀπεψία. ¶ Ὀξυρρε
πὴς, ὀξέως βαρῶν ἢ ῥέπων, ἢ κινούμενος. ¶ Ὀξύς,
ταχὺς, δριμὺς φρόνιμος. ¶ Ὀξυτένως, κυρίως.
Ὄοιπα, φαρέτρα. ¶ Ὄου κλέος, οὐ δόξα. ¶ Ὀπαία
θυρὶς ἡ ἐκ τοῦ κεράμου. ¶ Ὄπα γηρύοντες, φωνὴν
φθεγγόμενοι. ¶ Ὀπαδεῖ, ἐπακολουθεῖ.
Ὀπαδὸς, ἀκόλουθος. συνεργὸς, δοῦλος.
Ὀπάζει, κατόπιν διώκει, περιποιεῖ. δίδωσι, παρέχει.
Ὄπαζε, παρεῖχε, ἐδωρεῖτο, ἐδίωκεν. ¶ Ὀπαζόμεναι,
ἑπόμεναι, θεραπεύουσαι. ¶ Ὀπαία, κεραμὶς ἡ τὴν
κάπνην ἔχουσα. ¶ Ὀπάονα, ἀκόλουθον, παρὰ τὸ
ἕπεσθαι. ¶ Ὀπάσαι, δοῦναι. ¶ Ὀπάσας, χαρι
σάμενος. ¶ Ὀπάσσατο, προσελάβετο.
Ὄπασεν, ἔδωκεν. ¶ Ὀπαθὶς, ἐκ τοῦ ὀπίσω ἀθὶς
ἐπὶ λαγωνιαθίς. ¶ Ὀπασάμενος, ἀκολουθήσας.
Ὄπασον, ἀπόδος. πάρασχε. ¶ Ὀπάσσω, χαρίσομαι.
Ὀπαστὸν, τὸ ἐφόλκιον πέρσαι. ¶ Ὀπέτα, τὸ ἐπίτειον
Ὄπατρον, τὸν ἐκ τοῦ αὐτοῦ πατρὸς ἀδελφόν.
Ὀπάων, ἀκόλουθος. ¶ Ὀπέραν, ὁ ἐπέκεινα.
Ὀπεύει, περισκοπεῖ βλέπει. ¶ Ὀπή, θυρίς.
Ὀπηδεῖν, ἀκολουθεῖν. ¶ Ὀπηδητὴρ, συνοδὸς ἀκόλου
θος. ¶ Ὀπηδοῖς, ἀκολούθοις. συνοδοιπόροις.
Ὀπιζόμενος, ἐντρεπόμενος, αἰσχυνόμενος.
Ὄπικεν, ὅπου ἄν. ὁπηνίκα. ἡνίκα ὁπότεν ὅτε.
Ὀπιπεύουσι, θεωροῦσι. ¶ Ὀπιβαλ. πτέρνα ἢ σφυρόν.
Ὄπιδα, ἐπιστροφὴν ἐντροπήν. ¶ Ὀπιδνή. φοβερά.
πονηρά. ¶ Ὀπίζεο, πονηρεύου ἀπόφευγε.
Ὀπίζεται. ἐντρέπεται, αἰσχύνεται.
Ὄπιθεν, τῶν ἀπολελειμμένων. ¶ Ὄπιθεν δὲ δράκων
τὴν δ᾽ οὐρὰν δράκων. ¶ Ὄπις περιστροφὴ φωνή,
ὅπως ἀπατεών ἢ ἀπατῆ. ¶ Ὀπιπεύει, περιβλέ
πει. περισκοπεῖ. ¶ Ὀπιπεύεις, περιβλέπεις,
περισκοπεῖς. ¶ Ὀπιπεύσας δὲ γυναῖκας, ὁ δὲ παρ
θένοις περιβλεπόμενος, παρθενοπίπας. ¶ Ὀπι
πτεύετο, περιβλέπετο. ¶ Ὀπίπεσθαι. ὀφθαλμιῶ
σαι. ¶ Ὀπίσθια, τὰ παρελθόντα. ¶ Ὀπίσθια,
ἄλλα τὰ τῶν ζώων οὐραῖα. ¶ Ὀπισθοδόμοις, τόποι
ὄπισθεν τῶν οἰκουμένων τὰ κειμήλια ἀπόκειται.
Ὀπισθόδομος, ἐν τῇ ἀκροπόλει. οὗ τὸ δημόσιον ἀργύρι
ον ἀπέκειτο πρὸς τῷ ὀπισθοδόμῳ, καὶ ὁ φόρος.
Ὀπισθοκρανίς, εἶδος ὑποδήματος. ¶ Ὀπισθόπους
ὑποστρέψας. ¶ Ὀπισθερμόζες, εἰς ῥύπισα χερ
σας. ¶ Ὀπισθοτίλα, σηπία. ¶ Ὀπισθότονος,
ἐναντίον κύρτωμα. ¶ Ὀπισθοφανὴς, εἰς τοὐπίσω

κάσιν κασιγνήτας, ὁμοῦ παιδευθέντα, ἢ ὁμοῦ τεκνωθέντα, ἐπειδὴ δίδυμοί εἰσιν. ¶ Ὁμόπτεροι, ὅμοιοι ὁμόζυγοι, ὁμόγονοι ἀδελφοὶ ἥλικες ὁμοῦ αὐξημένοι.
Ὁμαρτεῖν, ἀκολουθεῖν, λειτουργεῖν.
Ὀμόργνυ, ἀπόψα, ἀπόμαξον. ¶ Ὁμορείτης, ἄρτος ἐκ πυροῦ διῃρημένου χιτῶνος. ¶ Ὀμόρξαι, ἀπομάξαι. ἀποψηφίζεσθαι. ¶ Ὀμόρξη ἀποψήσει.
Ὅμορος, πλησιόχωρος. γειτνιῶν. ¶ Ὁμοροῦσα, γειτνιῶσα, πλησιάζουσα. ¶ Ὁμορροθοῦντες, ὁμοφρονοῦντες, ὁμόψυχοι. ¶ Ὁμορροθεῖν. ὁμοῦ ἕλκειν καὶ συμφωνεῖν. ¶ Ὁμόρροια, ἄθροια. ¶ Ὁμόροφος, ὁμοδίαιτος σύνοικος. ¶ Ὁμορῶν, ἐγγειτονῶν.
Ὁμός, ὅμοιος ὁ αὐτός. ¶ Ὁμόσαι, ὀμόσω ὀμνύω.
Ὅμοσον, ὄμοσον ὀμνύω. ¶ Ὁμόσε, εἰς τὸν αὐτὸν τόπον, τῶν πάντων ὁμόσε στόματα ἔτρεπε.
Ὁμοσίπυοι, ὁμοτράπεζοι ὁμόσκηνοι τῷ αὐτῷ σιτισμῷ χρώμενοι. ¶ Ὁμόσε, χωρεῖν συνδραμεῖν.
Ὁμόσιτοι, ὁμοτράπεζοι. ¶ Ὁμόσπονδος, φίλος.
Ὁμόσποροι, ἀδελφοί. ¶ Ὁμόστιβοι, συμπράττοντες.
Ὁμοστιχάει. ὁμοστιχεῖ ὁμοῦ πορεύεται.
Ὁμόστολοι, συμπράττοντες, ἐν τῷ αὐτῷ στόλῳ κοινωνοῦντες. ¶ Ὁμόσφυροι, συνοδοιπόροι.
Ὁμόσφυρος, ἀδελφός. ἡ δὲ τρίτη συλλαβὴ ἐκτεινομένης, δηλοῖ τὸν ὁμόχωρον. σφύρα γὰρ ἡ περίμετρος γῆς τὸ μέτρον. ¶ Ὁμοτελεῖς, οἱ ἀπὸ τῶν αὐτῶν τιμημάτων. ¶ Ὁμοτεχνῖς, οἱ ἐν τῷ αὐτῷ τάγματι. ¶ Ὁμοτέρμων. ὅμορος γείτων.
Ὁμότιμος. ἰσότιμος ὅμοιος. ¶ Ὁμοῦ ἐγγύς. τοπικόν ὦ ἄνδρες ἀθηναῖοι δὴ γένεσθε ὁμόφρονες. ¶ Ὁμοῦμαι, ὀμνύω. ¶ Ὁμοῦρα. συνέδελις ἢ φησὶ μέλι ἔχουσα ἢ σησάμην. ¶ Ὁμούρησιν, τὴν ὁμόρησιν ἀττικοί. ¶ Ὁμουροῦσι. γειτνιῶσιν ἐν τοῖς ὅροις.
Ὁμοῦ ἦν, σχεδὸν ἐγγύς ἦν. ¶ Ὁμοφροσύνη. προσηνία πρᾳότης. ¶ Ὁμοφυής, ὁμογενής. ¶ Ὄμπαι θύματα πυρῶν καὶ μέλιτι δεδευμένα. ¶ Ὀμπάζει ὑβρίζει προπηλακίζει. ¶ Ὄμπια, παντοδαπὰ ζωάλια. ¶ Ὄμπνη, τροφὴ εὐδαιμονία. ¶ Ὄμπνια. τὰ ζωδικά. ¶ Ὀμπνία, καρποφόρος τροφή. ἄφθονος. ἀγαθὴ νόστιμος, ἢ δ' αὐχηνὴν ἦμιν δέδω.
Ὀμπνοῦ δὲ πτί. ἀντὶ τοῦ πολλῇ. ¶ Ὀμπνέου, νέφους μεγάλου πολὺ αὐξημένου. ¶ Ὄμπνειος, λειμών, ὁ τῶν πυρίνων ἢ δημητρίων κῆπος, ἐπεὶ ὀμπνία ἡ δημήτηρ. ¶ Ὀμπνιόχειρ, πλουσιόχειρ πλούσιος.
Ὀμπνηρὸν ὕδωρ τρόφιμον. ¶ Ὄμφα, δομὴ λάκωνες.
Ὄμφακες. πάντα τὰ αὐστηρὰ καὶ ὀξέα, ἢ τὰ ὤξινα.
Ὀμφακίας, ὑπόξινος. ¶ Ὀμφαλητόμος. μαῖα.
Ὀμφαλίδια. πατελλαί. ¶ Ὀμφαλιστήρ. ᾧ τοὺς ὀμφαλοὺς ἀποτέμνουσιν. ¶ Ὀμφαλόεσσα, ἡ ἄρκτος διὰ τὸ μέσον τὸν βόρειον πόλον περιέχειν. τινὲς δὲ τὴν εὔτροφον χώραν. ἢ ὀμφαλοὺς ἔχουσα, ἢ στρογγύλας καὶ ἀσπίδας ὀμφαλοέσσας. ¶ Ὀμφαλόεντα. ὀμφαλοὺς ἔχοντα ζυγόν. ὀμφαλοὺς δὲ λέγουσι τὰς ἐν τῷ ζυγῷ τρόχλας, ἐφ' ὧν αἱ ἡνίαι δέδυνται. ¶ Ὀμφαλὸς ζυγοῦ, τὸ μέσον καὶ δελφοὶ ἐπειδὴ μεσαίτατοι. ¶ Ὀμφαλὸς αἰγός. ζητεῖται πρὸς τὴν πυθώ, ὀμφαλὸν μαίγαιον, τινὲς δὲ παρὰ τὸ

τὸ αἰγαίων γῆς. ¶ Ὀμφή, φήμη θεία. κληδὼν θεία φωνὴ δόξα πνοή. ὀνείρου φαντάσματα. ¶ Ὄμφικα ὅσα ἀπὸ τῶν ἱερῶν ἐκφέρεσθαι ὁ νόμος κωλύει.
Ὀμφύνειν, αὔξειν, σεμνύνειν, ἐντιμότερον ποιεῖν.
Ὀμωθῆναι, εἰς ὁμὸν ἐλθεῖν. ¶ Ὁμωρόφιος καὶ ὁμόροφος, ὁ ὑπὸ τῇ αὐτῇ στέγῃ ὑπάρχων.
Ὅμως, πλὴν ὅμως ὁμοίως. ¶ Ὁμοχέται, οἱ συμμετέχοντες τῶν αὐτῶν σπονδῶν, ἢ ὁμοβώμιοι καὶ ὁμόναοι.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Ν.

Ὅν, ἄρθρον ἀρσενικὸν ἑνικὸν ὑποτακτικόν, ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον. ἢ οὐδέτερον ὑποτακτικόν, ζεὺς δὲ πρὸς ὃν λέχος ἤιε ὀλύμπιος. ἡ ἀντωνυμία ἀρσενικοῦ τρίτου προσώπου, ἀντὶ τοῦ τὸν ἑαυτοῦ. αὐτὰρ ὅγ' ὃν φίλον υἱόν. ἢ ὑπάρχων, ἢ τὸν αὐτόν.
Ὀναίμην, τύχοιμι ἀπολαύσαιμι ὠφεληθείην.
Ὀνάμην. ἀπέλαυσα. ¶ Ὄναιτο, ἢ ὄναιτο, ὠφεληθείη. ¶ Ὄνειον, ἀρεῖον. ¶ Ὄναρ, καθ' ὕπνον φαντασία. ¶ Ὄνασθαι, ὠφελεῖσθαι.
Ὄνειαρ, ὠφέλημα. ὀνήσιμον. ἀγαθόν.
Ὀνᾶς, δοῦλον, αὐθέντου ἀχρεῖον. ¶ Ὀνοῦται, ἀτιμάζεται μέμφεται. ¶ Ὃν γόνον, τὴν ἑαυτοῦ προγένειαν, ἢ τὴν ἑαυτοῦ γένεσιν. ¶ Ὀνείατα ὅσα ὄνησιν παρέχει καὶ ὠφέλειαν ἀγαθὰ βρώματα. ¶ Ὀνείαρος, σιτευτός. ¶ Ὀνειάτων. ὀνησιφόρων.
Ὀνείδη, ὕβρεις. χλευάσματα, καταγέλαι, αἰσχύναι,
Ὄνειδος, αἶσχος. μέμψις. κατήφεια. καὶ κλέος. ἃ εἶδος πίνακος. ¶ Ὀνείλεον, θυσία παρὰ λάκωσι.
Ὄνειον, ὄρος ἐν κορίνθῳ. ¶ Ὀνειρείῃσι πύλῃσι. ταῖς τῶν ὀνείρων πύλαις, ὡς ὑφίσταται μυθικῶς ὧν τὴν μὲν μίαν κερατίνην, τὴν δὲ ἑτέραν ἐλεφαντίνην, ἢ τῷ ὕπνῳ, διὰ τούτων ὄνειροι εἰσπέμπονται.
Ὀνειρόπληκτος, ὀνείρῳ πεπληγμένος, ἢ ὀνειροκρίτης.
Ὀνειροπολεῖν, ὡς ἐν ὀνείρῳ βλέπειν, ἢ ὡς ἐν ὕπνῳ φαντάζεσθαι. ¶ Ὀνειροπόλος, ὀνειροκρίτης. ἢ ὁ περὶ τοὺς ἰδίους ὀνείρους πολούμενος, καὶ διὰ τούτων περὶ τὰ μέλλοντα μαντευόμενος ἢ ὁ ἐκείνων αὐτοῖς. ¶ Ὀνειροπολῶν, δι' ὀνείρων μαντευόμενος. ¶ Ὄνειρος, ὁ θεὸς καὶ τὸ δι' αὐτοῦ θέαμα. ¶ Ὄναιρ, ὠφελήθη.
Ὀνήμονος, ἄξιος ὀνήσεως, οἷον ὄνησιν ἑαυτοῦ λάβοι, τινὲς δὲ φρόνιμος. ¶ Ὀνήμεναι, ὠφεληθῆναι.
Ὀνήσεται. ὄνησιν λήψεται. ¶ Ὄνησις, ἰσχύς. ὠφέλεια.
Ὀνησιφόρος. ὠφέλειαν φέρων. ¶ Ὀνησιφόρων, τὰ ὠφέλιμα φερόντων. ¶ Ὀνητὰ μεμπτά. ¶ Ὀνητίμησιν, ὃν ἀτίμως ἔπεμψεν. ¶ Ὀνήτωρ, ὄνησιν φέρων. ¶ Ὄνθον, κόπρον κτηνῶν. ἢ τὸ βόλβιτον.
Ὄνθος, βόλβιτον, κόπρος βοῶν. ¶ Ὄνεια ὠφέλιμα. ἢ βρώματα ἢ κτήματα. ¶ Ὄνειαρ, ὠφέλεια.
Ὀνίας, σκάρου εἶδος. ¶ Ὀνόσαι, τοῦ ἵππου τὸ ἀφόδευμα. ¶ Ὀνίτλη, εἶδος οἴνου. ¶ Ὀνίνασθαι, ὠφελεῖσθαι. ¶ Ὀνίνησιν. ὠφελεῖ. ¶ Ὀνίναιο, ὠφελήσειας. ¶ Ὀνίσκος, τεκτονικὸς πρίων.
Ὀνίστιοι, νεοσσοί. ¶ Ὀνείτης, ἥρωος ὄνομα ἢ ἵππος ἂν εἴη. ¶ Ὀνῖτις, ὀρίγανον. ¶ Ὀνοβάτιδες, ὀνοβάτιδες αἱ ἐπὶ μοιχείᾳ ἁλοῦσαι γυναῖκες. καὶ ἐξενεχθεῖσαι

ὄρος ἐν μακεδονίᾳ, καὶ οὐρανός. ¶ Ὀλυμπία, ὁ ἀθάνατος ἀγών. ¶ Ὀλύμπιον, ναὸς ἀτελὲς ἔμεινεν ἀθήνησιν, οἰκοδομούμενον πολλάκις ἀρχὰς λαβὸν διὰ κατασκευῆς. ¶ Ὀλυμπιονίκης, στέφανος εἰς Ὀλυμπίαν. ¶ Ὀλύμπιος, οὐράνιος. ¶ Ὀλυμπίας πνοαί, ὀλύμπιος ἄνεμος ἐστὶν ὁ ἀπὸ τοῦ ὀλύμπου πνέων ζέφυρος. ¶ Ὄλυμπος, οὐρανὸς θεοῦ οἰκητήριον καὶ ὄρος ἐν μακεδονίᾳ. ¶ Ὀλύμπου νόμος, τῶν αὐλητικῶν τις. ¶ Ὄλυνθος δὲ μὴ πεπαμμένον σῦκον.

Ὅλωος, δὲ ἀπότεσμα καὶ ἀποκάθαρμα. ¶ Ὄλυρα, εἶδος σπέρματος, ἢ βρῶμά τι, μεταξὺ σίτου καὶ κριθῆς, οἱ δὲ αὐτὴν τὴν κριθήν. ἄλλοι καρπὸν τινὰ σιτικόν, ζειὰν τινὲς ζέαν. ¶ Ὄλωνται, ἀπόλωνται.

Ὅλχον, ἔνεδραν. ¶ Ὀλώλαμεν, ἀπολώλαμεν, ἀποθάνομεν. ¶ Ὀλώλη, ἀπόλλυται. ¶ Ὄλοωνται, ἀπόλλωνται. ¶ Ὄλως, παντελῶς, ἢ ἄρα ὁμοῦ.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Μ.

Ὁμᾶ, ὁμοῦ. ¶ Ὁμαδεῖν, ἀθροίζειν.

¶ Ὅμαδος, ἄθροισις, θόρυβος, ὄχλος, πάταγος παρὰ τὸ ἅμα, ἀπὸ τοῦ ὁμοῦ. ¶ Ὁμαίμοι, ἀδελφοί, συγγενεῖς ὁμόαιμοι. ¶ Ὁμαίχμη, συμμαχία καὶ ὁμαίμεια καὶ ὁμαιχμία. ¶ Ὁμαίχμοι, σύμμαχοι. ¶ Ὁμαλῆ, ὁμοῦ. ¶ Ὁμαλόν, λεῖον ἴσον, ἰσόπεδον εὐχερές. ¶ Ὁμάξασθαι, ἐκμάξασθαι, ὁμοιωθῆναι. ¶ Ὁμαρὲς ὁμοῦ συμφώνως.

Ὅμαρξον, ἀπόμαξον. ¶ Ὁμαρτῆ, ὁμοῦ.

Ὄμβρον, βρόχον, ὑετόν. ¶ Ὁμαρτεῖν, συντυχεῖν, ἐπακολουθεῖν, συναθροίζειν. ¶ Ὅμαυλον, ὁμόκοινον, ὁμοῦ αὐλιζόμενον. ¶ Ὄμβρος, χειμάδιον, ἢ ὑετός. ¶ Ὀμβρεῖ, ἀτμάζει, ἀκολουθεῖ, ὑπερχύει, αὔξει, πιαίνει, πλύνει. ¶ Ὁμιλαδόν. κατὰ τάγμα καὶ ἄθροισμα. ¶ Ὁμιλέσωσι, συμβάλωσιν.

Ὅμιλος, συστροφή, ἀπὸ τοῦ ὁμοῦ ἴλας εἶναι καὶ πλῆθος ὄχλου. ¶ Ὁμειρόμενοι, ὁμείρονται, ἐπιθυμοῦσιν.

Ὀμεῖται, ὀμνύει. ¶ Ὅμηρος, τυφλός.

Ὁμέστιοι, σύνοικοι. ¶ Ὁμέστιον, σύνοικον. ¶ Ὁμέστικος, ὁμόοικος. ¶ Ὁμῆ, ὁμοῦ. ¶ Ὁμευνέτου, συγκοίτου, ὁμολέκτρου. ¶ Ὁμῆ, ὁμοία, ἢ ὀμνύεις.

Ὁμηγερέες, ὁμοῦ ἀθροισθέντων. ¶ Ὁμηγερέεσιν, ὁμοῦ πᾶσιν. ¶ Ὁμήγοροι, ἰσήγοροι, ἐν ταυτῷ συνήγοροι.

Ὁμηγύρειν, τὸ συνάξαι. ¶ Ὁμηγύρεως, συνόδου συναθροισμοῦ. ¶ Ὁμήγυρις, πλῆθος, ὄχλος, ἀναγωγὴ συνέλευσις. ¶ Ὁμηγυρίσασθαι, ὁμοῦ συναγαγεῖν πολλούς. ¶ Ὁμήθεια, συνήθεια. ¶ Ὁμιλεῖ, πολεμεῖ, συμμαχεῖ. ¶ Ὁμηλικίη. ἡ αὐτὴ ἡλικίας συνῆλιξ. ¶ Ὁμὴν, ὁμοίαν τὴν αὐτήν.

Ὁμήνυεν, ὡρίζετο. ¶ Ὁμηνοῖ, ὁ αὐτὸ ὁμᾶς τοὺς δύο.

Ὅμηρα, τὰ ἐπὶ συμβιβάσει διδόμενα ἐνέχυρα.

Ὁμηρεύειν, συμφωνεῖν. ¶ Ὁμηρεῦσαι, τὸ συμβαλεῖν. ¶ Ὁμοφωνοῦσαι, ὁμοῦ λέγουσαι. ¶ Ὁμηρεῖν ὁμοῦ εἱρμόσθαι καὶ συμφωνεῖν. ¶ Ὁμηρεῖ, ἐγγυᾶται, ἀκολουθεῖ. ¶ Ὁμηρίδαι, οἱ ῥαψῳδοί.

Ὁμηρέταις, ὁμοψήφοις, ὁμογνώμοσιν. ¶ Ὁμηρητῆρες, ἀκόλουθοι συνήγοροι. ¶ Ὁμηρεάδειν, ψεύδεσθαι.

Ὅμηροι, οἱ ἕνεκεν εἰρήνης διδόμενοι, ἐνεχυραζόμενοι.

Ὅμηρος, ὁ τυφλός, καὶ ὁ ἐνεχυραζόμενος. ¶ Ὁμηνήν, ξοφίν. ¶ Ὁ Μίδας, βασιλεὺς Φρυγῶν πλούσιος.

Ὁμιλαδόν. ἐν συστροφῇ τῇ πεζῇ μάχεσθαι κατὰ τάγμα καὶ ἄθροισμα. ¶ Ὁμιλεῖ, συναναστρέφεται, μάχεται, ἐπακολουθοῦσαι: ἀναστρέφεσθαι. λαλεῖν. τίθεται δὲ καὶ ἀντὶ φιλίας καὶ διαλέξεως.

Ὁμιλέομεν, διαλεγόμεθα. ¶ Ὁμίλησε, συνανεστράφη, ἢ ἐμαχέσατο καὶ συνέβαλε πρὸς μάχην.

Ὁμιλία. διήγησις ὅμιλος. ¶ Ὁμιλίαι χρόνος. ἀντὶ τοῦ φιλίαι ἔρωτι τοῦ παιδὸς. καὶ ἀντὶ τοῦ πόλιν. πολὺν γὰρ τὴν πόλιν ἐσπούδασαν οἱ θηβαῖοι.

Ὅμιλος, ἄθροισμα. ὄχλος, θόρυβος. δῆμος. πλῆθος, μάχη. σύνοδος. μάχη. ἀπὸ τοῦ ὁμοῦ εἰλεῖσθαι κατ' αὐτὸ τὸν ὄχλον. ¶ Ὅμιν, ὅτι αὐτόν. ¶ Ὀμιχλεῖν, οὐρεῖν. ¶ Ὀμίχλη, ἢ ὀμίχλα, ἀὴρ παχὺς σκοτεινὸς, ἀχλὺς, ὁ δικτυώδης σκοτία. ¶ Ὀμίχματα, οὐρήματα. ¶ Ὀμματεῖς, πηροὺς ἢ βλάπτεσθαι.

Ὀμμάτειος πόθος, διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι, ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν. καὶ ἐν ἀχιλλέως ἐρασταῖς ὀμματοπάλογχα φησίν.

Ὁμαιχμία, ὁμομαχία. ¶ Ὁμοβόρος, ὠμοφάγος.

Ὁμόβωμοι, θεοὶ ἐν ἐλευσῖνι δήμητρος καὶ κόρης εἰσίν.

Ὁμογάλακτες, οἱ ἐκ τοῦ γένους, ἢ ἀδελφοί.

Ὁμογάστριος, ἐκ τῆς αὐτῆς γαστρὸς ὁμογενῶν συγγενῶν.

Ὁμόγνοια, ἢ ἄγνοια. ¶ Ὁμοδέλιοι, ἰσοετεῖς.

Ὁμοδίαιτος, ὁμόζοφος, ὁμοτράπεζος σύνοικος.

Ὁμόδοξος, μιᾶς καὶ τῆς αὐτῆς δόξης. ¶ Ὁμόδουλος, σύνδουλος. ¶ Ὁμοδρικὴς, ὁμότριχος.

Ὁμόζυγος, ἀκμετή. ¶ Ὁμόετερον, ὅμοιον. ¶ Ὁμόθεν, ἐκ τοῦ αὐτοῦ τόπου. ἐξ ὁμόθεν πεφυκότες.

Ὁμοθυμαδὸν, ὁμοῦ ὁμοψύχως. ¶ Ὁμόθυμος, ὁμόφρων, ὁμόψυχος. ¶ Ὅμοι, ὅτι μοι. ¶ Ὅμοια, ἴσα.

Ὁμοίη ἔνθεος. τιμή. ¶ Ὁμοίης, ὁμοίας τῆς ἴσης.

Ὁμοιΐου, τοῦ ὁμοῦ ἴεναι ποιοῦντος πολέμοιο, ἐν ᾧ ὅμοιος πᾶσι καὶ ἴσος ὁ κίνδυνος ξυνὸς ἐνυάλιος καί τε κτανέοντα, ὁμοίως δέ φησι καὶ ὁμοιΐου θανάτοιο καὶ ἀλλά σε γῆρας τείρει ὁμοΐιον. ¶ Ὁμοιογενῆ, ὁμόφυλον συγγενικόν. ¶ Ὁμοιόπεδοι, ὁμοιότιμοι.

Ὅμοιος, ἐν ταυτῷ συνεστώς. ¶ Ὁμοιοῦσθαι, ἐξισοῦσθαι. ¶ Ὁμοιωθέμεναι, ἐξισωθῆναι, συμμιγῆναι.

Ὁμοκλῆ, ἀπειλὴ βοή. ¶ Ὁμοκλῆς, ὁμώνυμος, ὁ ἀπειλῆς. ¶ Ὁμοκλήσας, ὁμοῦ ἀπειλῶν, ἀπειλήσας, βοήσας, συνάξας. ¶ Ὁμοκλήσασκεν, ἢ ὁμοκλεῖν ἐβόα. ¶ Ὁμοκλητῆρες, ἀπειλητῶν.

Ὁμοκλητῆρος, ἀπειλητῆρος τοῦ παρακελευομένου.

Ὁμόκληρος, ὁ μιᾷ κλήσει καλούμενος μετὰ ἑτέρου.

Ὁμολογῶ, συμφωνῶ. ¶ Ὁμολικῶν, ἰσάζων κατὰ λεκάνιον. ¶ Ὁμόλεκτρος. σύγκοιτος. ¶ Ὁμολοβρὸς, αἰσχρὸς αἰκαλὴς, ὑβρίζιμμα. ¶ Ὁμολόγως, συμφώνως. ¶ Ὁμολωΐδης, πύλαι ἐν θήβαις.

Ὁμόλωος, ζεύς. θήβησιν οὕτω προσαγορεύεται ὁ ζεύς.

Ὁμὸν, ἐν τῷ αὐτῷ ὅμοιον, ὁμῖν ἀμφοτέροισιν ὁμόν.

Ὁμοούσιον, τὸ τῆς αὐτῆς τοῦ ὑποκειμένου ὑπάρχον.

Ὁμοουσιότης, ταυτότης κατὰ τὸ ὑποκείμενον, καὶ τὸ ἀπαράλλακτον κατὰ τὴν οὐσίαν. ¶ Ὁμόσπαλα

δὲ ταῦτα καὶ ἐξώλεια. ὧ τῶν ὀλέθρου ὑμῶν πέρας, ὅτι οἱ δὲ διὰ τῶν ὀλέθρων. ¶ ὀλεῖ, ἐνοχλεῖ, ἐξολοθρεύει.

ὀλείρ, ἐλιοσμός. ¶ ὀλέθριος, ἐξολοθρευτής.

ὀλύκειν, ἀπολλύναι, πολιορκεῖν, φονεύειν.

ὀλέκοντο, ἀπώλλυντο, ἐπολιορκοῦντο, ἐφονεύοντο, ἐξωλοθρεύοντο. ¶ ὀλέκρανα, οἱ πήχεις τὰ ἐπὶ τοῦ ἀγκῶνος ὀστᾶ, καὶ ὀλέκρανες τὰ αὐτά. ¶ ὄλβριον, βορβορῶδες, τεταραγμένον. ¶ ὀλέσαι, ἀπολέσαι.

ὀλετῆρες, φονεῖς. ¶ ὀλοχέον, ἐν μαζονόμον.

ὄληαι, ἀποθάνῃς. ¶ ὀλιθὶς, ὀλισθηρὶς, ὀλήτη καὶ τὰ ὅμοια. ¶ ὀλετῆρες, φονεῖς. ¶ ὀλιβάξαι, ὀλισθεῖν. ¶ ὀλιβρὸν, ὀλισθηρὸν, λεῖον ἐπισφαλές.

ὀλίγα ἄττα, ὀλίγα τινά. ¶ ὀλιγαρχία, ὀλίγων ἀρχή. ¶ ὀλιγαρχούμενοι, ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς δὲ εἰσὶ πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία. ¶ ὀλίγῃ ἐνὶ χώρῃ, ἐν στενωπῷ.

ὀλίγη ὀπὶ, βραχεία φωνῇ. ¶ ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο, ὀλίγον καιρὸν εἰς διάπνευσιν δίδωσιν ὁ πόλεμος. ¶ ὀλιγηπελέων, ὀλίγον ψυχόμενος, ἀσθενὴς, ἄπνοος. ¶ ὀλίγινθα, ὀλίγον.

ὀλίγνοι, εἶδος ἀκρίδων, τινὲς ῥιζίον ὅμοιον βολβῷ.

ὀλίγιστος, ὀλιγοχρόνιος ἐλάχιστος. ¶ ὀλιγοστῷ, παρὰ μικρόν. ¶ ὀλιγόγνωμον, ὀλιγόφρον.

ὀλιγοδεὴς, ὀλίγα χρήζων. ¶ ὀλιγοδρανέων, ὀλίγον δυνάμενος. ¶ ὀλιγοδρανὴς, ὀλίγον ἰσχύων, ὀλίγον δυνάμενος. ¶ ὀλίγοισι, μικροῖς. ¶ ὀλίγον, μικρὸν ἢ ἡσυχῇ. ¶ ὀλίγον γόνυ γουνὸς ἀμείβων, τὸ δὲ κατὰ τὴν πορείαν ὀλίγον ἐναλλάσσων ἠρέμα ἀναποδίζων, καὶ οὐ προτροπάδην φεύγων, ὅπερ ἐστὶν εἰς τοὺς πρόσθεν τεταγμένους, οἷον νῶτα διδοὺς τοῖς πολεμίοις. ¶ ὀλιγωροῦντος, ἀδημονοῦντος.

ὀλίγου δεῖν, σχεδὸν ἐγγύς. ¶ ὀλιγόφρων, μικρόψυχος. ¶ ὀλιγοψυχοῦσι, μικροψυχοῦσι.

ὀλιγωρεῖ, ῥαθυμεῖ, ἀμελεῖ ὁ ὀλίγην ἔχων φροντίδα.

ὀλιγώρως, μικρολόγως, σκνιφῶς. ῥυπαρῶς.

ὀλιζόνες, ἥσσονες, ἐλάσσονες. ¶ ὀλιζοῦνται, μειοῦνται, ὀλιγοῦνται. ¶ ὀλίζωνται, μειοῦνται, ὀλιγοῦνται. ¶ ὀλίζων, πόλις καὶ ὁ ἐλάσσων.

ὀλικὰς, εἶδος πλοίου. ¶ ὀλίκοι, ἐκκημένοι.

ὀλικῶς, ἐξ ὅλου ἐπιρρηματικῶς. ¶ ὀλίμνοι κεχθεῖς δεσμοὶ, ἃ λίνος παρὰ κυπρίοις. ¶ ὀλινία, ὀλίγη ἀργεῖοι. ¶ ὀλισβοκόλλιξ, παρὰ τὸ ἑτοιμοκόλλιξ.

ὀλισθαίνειν, πίπτειν. ¶ ὀλισθεῖν, δραμεῖν, πεσεῖν, ἐλθεῖν. ¶ ὀλισθόμασι, πλάναις, παραπτώμασιν.

ὀλισθηρὸν, πτωτικόν. ¶ ὄλισθος, πτῶσις, ὄλιος. σκίουρος ἕλιος. ¶ ὀλκὰ, δυνατά. ¶ ὁλκάσι, ναυσὶ, πλοίοις. ¶ ὁλκάζει, ἕλκει, χαλιναγωγεῖ. ¶ ὁλκαῖον, λακάνη ἤτοι κρατήρ.

ὁλκὰς πλοῖον ναῦς φορτηγὸς ἀολεὼν εἰρήνη δυνατάς.

ὁλκαῖος, δυνάμεσι τόνοις. ¶ ὁλκεῖς, οἱ τὰ ἀμφίβληστρα ἐπισπῶνται. ¶ ὁλκὴ, δύναμις, ῥοπὴ, ἰσχὺς, βάρος, ῥυτὴρ, ἢ ῥυτὴρ σταθμός. ¶ ὁλκῇ μιᾷ, τόνῳ δυνάμει. ¶ ὁλκήμιον, τὸ αὐτό.

ὅλκιον, μέγας κρατὴρ λουτήρ. ¶ ὁλκοὶ, αὔλακες, καὶ οἱ τῶν ὄφεων συρμοὶ, καὶ αἱ μηχαναὶ δι' ὧν αἱ νῆες νεωλκοῦνται. ¶ ὅλκον, ὁλκάς, τὸ ἑλκόμενον πλοῖον.

ὁλκὸς, ὁδός. ἰσχυρός. ῥυμός. συρμός. τόπος, βάρος.

ὁλκότης, τὰ αὐτά. ¶ ὁλκοὺς, ναυστάθμους, τὰς ἕλξεις τῶν πλοίων. ὁλκὸν ἐφέλκων καὶ τὰ ἑξῆς.

ὀλλύει, ἀπολλύει φονεύει. ¶ ὄλμιον, ὄρος ἐφέσου.

ὄλμειος, ποταμός. ¶ ὅλμος, περιφερὴς λίθος, βάρβαρος, ἐν ᾧ τὰς βοτάνας τρίβουσι, καὶ ποτηρίου εἶδος, καὶ τὸ ὑπὸ τοῖς ὑποκριτίσιν ἑκατέρωθεν κοῖλον. καὶ κύλινδρος. ¶ ὀλοβολάδες, οἰνώδη.

ὀλόσινον, ὀξῶνες συμπεφυκώς. ¶ ὀλοοῖτο, ὑγιαίνῃ.

ὀλοθούριον, εἶδος θαλάττιον. ¶ ὀλοεργὸς, κακοῦργος. ¶ ὀλοὴ, ὀλεθρία. ¶ ὀλοίης, ἀποθάνοις.

ὀλοίησιν, ὀλεθρίαις, ἀπωλείαις.

ὄλλυσθαι, ἀπόλλυσθαι. ¶ ὄλλυσος, ὁ ἀπολλύς.

ὁλοκαρπούμενον, ὅλον προσφερόμενον. ¶ ὁλοκαύτωμα. ὅλον πυρὶ καθαγιαζόμενον, ὁλόκληρον.

ὅληκες, αὔλακες. ¶ ὁλόκληρον, σῶον. ¶ ὁλοκνήμοι, ὁλομελεῖς. ¶ ὁλοκληρία, ἕνωσις.

ὀλολυγὴ, ποιὰ φωνὴ λυπηρὰ ὀδύνην καρδίας ἀσήμῳ τινὶ φθόγγῳ παριστῶσα. ¶ ὀλολυγὸ, φωνὴ γυναικῶν ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι, καὶ ἄνθος τι παρὰ λίμναις γινόμενον. ¶ ὀλολύγων, ζωΰφιον γινόμενον ἐν ὕδασιν, ἤ μηνίον ἐντέρων. καὶ τοῖς εὐνέας δὲ οὕτως ἔλεγον. ¶ ὀλολυσμὸς, θρήνης κλαυθμός.

ὁλομοιοῦνται, ὅλον ἑνοῦνται. ¶ ὀλοοῖο, δεινοῦ ἢ ἀγαθοῦ. ¶ ὀλοοίζοπα, παρὰ ῥηνίοις ἐπιπλάσματα εἰς θυσίαν. ¶ ὀλομένην, δεινόν.

ὀλοοίτροχος, ὀλίως τρέχων, ἢ κυκλοτερὴς, στρογγύλος λίθος, ἢ ὀλοίτροχος ἐπιστρόγγυλος, καὶ παντὶ μέρει ἐφαπτόμενος τῆς γῆς. ὁ δὲ τετράγωνος ἐν μέρει ἐφάπτεται.

ὀλοὸν, κακὸν χαλεπὸν ὀλέθριον ἢ ἀπεχθόν.

ὀλοοσσὼν, πόλις θεσσαλίας. ¶ ὀλοόφρονος, ὀλέθρια φρονοῦντος. κακόφρονος δεινοῦ.

ὀληπτεῖν, λεπίζειν, τίλλειν, κολάπτειν. ¶ ὀλόπτηνον, συμπεφυκότα. ¶ ὅλος, τὸ μέλαν τῆς σηπίας.

ὁλοσπαδεῖς, ὅλαι κατασπώμεναι, ἢ κατατεινόμεναι.

ὁλοστὸς, ὅλος ὥς ἐστιν. ¶ ὁλόσφυρηι, ὁλησφύραροι.

ὁλοσχερὴς. διόλου. διαμπὰξ, τέλειος, ὁλόκληρος, διόσχερης ἐξ ὁλοκλήρου. ¶ ὁλοσχερῶς, τελείως.

ὀλόσχοινος, ὀξύσχοινος. ¶ ὁλότροχος, περιφερὴς λίθος. ¶ ὀλουθίδας, εἶδος κόγχης. ¶ ὀληύροισιν, ἄνω τῆς θύρας στρόφιγγες. ¶ ὀλουφεῖν, τίλλειν.

ὀλοφυγγόνα, φλυκτὶς ἐπὶ τῆς γλώττης.

ὀλοφυδνὸν, ὀλοφορτικὸν λυπηρὸν θρηνητικὸν ὀδυρτικόν. ¶ ὀλοφυκτὶς, τὴν φλύκταιναν, οὐκ εὖ. ἐπὶ γὰρ τῶν δυναμένων φύεσθαι τί. ἐπιφλυκτίδα, ἢ λοθιόνα. ¶ ὀλοφύρεται, ὀδύρεται κλαίει θρηνεῖ κόπτει. ¶ ὄλοφυς, οἶκτος ἔλεος θρῆνος.

ὀλοφώια, ὀλέθρια, ἤγουν ὀλοποιὰ, δεινὰ βουλεύματα.

ὀλοφώιος, πολύπειρος, πολύφρων, πανοῦργος πονηρός. ¶ ὀλόφωνος, ἢ ἀλεκτρυὼν, ἢ ἀπὸ τοῦ λόφου ἢ ἀπὸ τοῦ ἐν τῷ ᾄδειν ὅλον αἴρεσθαι καὶ μετεωρίζεσθαι.

ὀλοώτατος, ὀλέθρου αἰτιώτατος.

ὄλπη, ἡ ἔλπις, καὶ χόνδρου τις ἔφεσις λήκυθος, ἐν δέρματι. ἢ ὄλβος. ¶ ὀλπὶς, οἰνοχόη. ¶ ὀλλύει, φθείρει. ¶ ὀλυμπιαδόκης ¶ ὀλύμπια, δώματ' ἔχοντες, οἱ τὸν ὄλυμπον κατοικοῦντες θεοί.

Οἱ προσκείμενοι, οἱ κολλούμενοι. ¶ Οἱ ῥᾶ, οὗτοι δή.
Οἱ ῥᾶ μιν ὦκα, οἵ τινες δὲ αὐτὴν ταχέως. ¶ Οἱ ῥώ-
νυ ἐκ τῶν καταμεσόστεως τῆς γῆς βιθυνωεία.
Οἷς, πρόβατον, ἢ τοῖς ἑαυτοῦ ἢ τοῖς σοῖς. ¶ Οἵ σε, οἵ
τινές σε. ¶ Οἶσε, ἐνέγκε προσφέρε κόμισε.
Οἰσέμεναι, κομίσαι καὶ τὰ ὅμοια. ¶ Οἴσεται, ἄξεται
κομίσεται. ¶ Οἶδα, οἶδας γινώσκεις.
Οἶθα, οἶδας, ἑκατέρως ἀττικῶς. ¶ Οἰηθῆναι, δοκῆ-
ναι δόξαι. ¶ Οἰηθεὶς, αἰσθόμενος, εἰκασθεὶς δόξας.
Οἰθλὰ, ἄεθλα. ¶ Οἰσόμεθα, κομισόμεθα, οἰσόμενος,
κομίσων. ¶ Οἶσον, κόμισον, φέρε, ὁ χοινίον.
Οἶς τε, πρόβατον, κάπρος, ῥύπος. ¶ Οἴσατο, ἐνό-
μισεν. ¶ Οἰστὰ βέλη φορητὰ, ἐλαφρὰ κοῦφα.
Οἰστεύει, τοξεύει. ¶ Οἰστεῦσαι, τοξεῦσαι. ¶ Οἰστέον
ἢ οἰστέον κομιστέον. ¶ Οἰσύπη, ὁ ῥύπος, ὁ δὲ λίλυ-
μος ἐν τῶν προβάτων. ¶ Οἰστὸς, ἐλαφρὸς κοῦ-
φος φορητὸς τόξευμα βέλος θάνατος βάρος.
Οἰστρεῖ, ἐκμαίνει, οἰστρηλατεῖ μαίνεται. ¶ Οἰστρηλα-
τούμενοι, πυρούμενοι. ¶ Οἴστροις, μανίαις.
Οἰστροπλῆγος, τῇ μανίᾳ πληγείσης. ¶ Οἰστούχου,
φαρέτρας, οἰστοὺς ἐχούσης ἢ εὐστόχου. ¶ Οἶστρος, ἐρε-
θισμὸς ὁ λεγόμενος μύωψ, μανία ἀφροδισίων πύρω-
σις, ἔκκαυσις. λύσσα φόβος, καὶ εἶδος ἐντόμου, ὑφ' οὗ
κεντιζόμεναι αἱ βοῦς σκιρτῶσιν, ὁ μύωψ καλεῖται.
Οἰσοφάγος, βρόγχος, ἢ βρόχος. ¶ Οἰσυίνοισιν, οἰ-
σοῖ γένος χοινίου. ¶ Οἰσυίνοισι, πλέγμασι τοῖς ἀπὸ
οἰσῶν γεγενημένοις. ἢ λύγου. ἔστι δὲ εἶδος χοινίου.
Οἰσύπειον, ἔλαιον ῥυπαρὸν προβάτων, τὸ αὐτὸ οἰσύπειρον,
καὶ οἰσύπειρος. ¶ Οἴσυπος, ὁ τῶν ἐρίων ῥύπος.
Οἴσυλος, πρόσουλος προύνικος. ¶ Οἰσόμεθα, κομι-
οῦμεν φέρομεν ἄξομεν. ¶ Οἴχεα, δίδυμοι ὀρχι-
πέδων. ¶ Οἴτης, ὁ κορωνέτης, οἱ τε ὡς τοῦ.
Οἴκοι, οἴκοσε. ¶ Οἶτος, μόρος, θάνατος, κακοπάθεια,
ὄλεθρος πότμος φθορὰ νόσος. θάνατος. καὶ ὁμιλίσκος
τῆς ἐξ αἵματος. ¶ Οἴτυλος, πόλις. ¶ Οἱ φαλ-
λοὶ, τὰ δερμάτινα μόρια καὶ τὰ αἰδοῖα. ¶ Οἰφεῖν
ὀχεύειν καὶ τὰ ὅμοια. ¶ Οἰφὼν, μεῖζον τι τεζαχαί-
νικον αἰγύπτιον. ¶ Οἰφόλης, ὁ μὴ καταφρονῶν πρὸς
γυναῖκα, ἀλλ' ἐγκρατής. ¶ Οἰφόλις, γυνὴ κατα-
φερὴς μάχλος ταχυπιώσα. ¶ Οἰχαλία, πόλις
θεσσαλίας, ἢ εὐρυχωρία. ¶ Οἰχαλίηθεν, ἀπὸ οἰχα-
λίας. ¶ Οἴχεσθαι, οἰχνεῖν πορεύεσθαι ζέχειν.
Οἰχετηγός, ὑδραγωγός. ¶ Οἰχήσονται, πορεύσονται
ἀπελαθήσονται, ἢ ἔρχονται ὁμοίως καὶ οἴχη, ἢ ἐφα-
νίσθη. ¶ Οἰχνέσκον, ἐπορεύοντο καὶ τὰ ὅμοια.
Οἰχμή, δόλη, οἱ δὲ οἰχμάν.
Οἰχομένη, πορευομένη, καὶ τὰ ὅμοια. ¶ Οἰχῶρος,
οἰκουρός. ¶ Οἰῷ, μόνῳ. οἴω φαινομένη, καὶ
μόνοι δυϊκῶς, ἢ οἴω ὀπίσω. ¶ Οἰώθη, ἐμονώθη.
Οἴω, ὑπολαμβάνω. ¶ Οἰῶν, μόνων προβάτων αἰ-
γῶν. ¶ Οἰωνισάμην, ἐζητησάμην, ἢ ἐμαντευσά-
μην. ¶ Οἰωνιστής, ὀρνεοσκόπος. ¶ Οἰωνοβρώ-
τος, ὑπὸ ὀρνέων βρωθέντος. ¶ Οἰώνιχον, μουσεῖ-
ον. ὅπερ δὲ οἰωνίχου φασὶ μουσεῖον ἐστίν.
Οἰῶντα, μονάζοντα. ¶ Οἰωνοὶ, σαρκοφάγα ὄρνεα ἢ
πάντα. γύπες, κόρακες. εἴρηται δὲ οἰωνοὶ, διὰ τὸ οἰω-

θῆναι τὰ μέλη, ὅθεν καὶ οἰωνοπόλοι οἱ μάντεις, ἢ ὄφεις
Οἰωνοπόλοι, μάντεις, ὀρνεοσκόποι, ὀρνιθομάντεις.
Οἰωνός, ὄφις. ἐπιθετικῶς γὰρ λέγεται εἰς τὰς μαντείας
τοὺς ὄφεις ἔχειν, ὅτι τοὺς οἰωνοὺς ἔλεγον. ¶ Οἴω, λο-
κῶ μόνῳ. ¶ Οἰσθὸν, ὁ προμηθεύς. ¶ Οἰοταζομέ-
νης, φιλοτιμουμένης. ¶ Οἰωτὸς. χιτὼν ἀπὸ ἐρίων.
Ὀκαθὶς, ὁ χαλάσας. ¶ Ὀκεθὶς ὑμῶν, ἐκ τοῦ ὑμῶν.
Ὀκαυλὸς, ὀκλαδός. ¶ Ὀκείλασαν, τὴν ἐποκείλα-
σαν ναῦν. ¶ Ὀκέλλειν, ἐμβάλλειν προσορμεῖν.
Ὀκέλλει, προσορμεῖ καὶ μὴ κρατεῖ ἑαυτοῦ. ¶ Ὄκ' ἢ, ὅτε
ὅ. ¶ Ὀκιμβάζει, διατρίβειν καὶ στρατεύεσθαι.
Ὄκκαβος, τὰ περὶ τὸν βραχίονα ψέλλια.
Ὀκκασάζει, ὅπου τύχῃ. ¶ Ὄκκον, ὀφθαλμόν.
Ὀκκύλαι, τὸ ὀκλάσαι, καὶ ἐπὶ τῶν πτερῶν καθίζεσθαι.
Ὀκλαδίας, θρόνος. ποιητικός. δίφρος ταπεινὸς, ὃν οἱ ἀκό-
λουθοι φέρονται, τοῖς εἰς τὰς ἀγορὰς ἐξιοῦσι πλουσί-
οις, καὶ πεποίηται, ῥῆμα παρὰ τὸ ὀκλάσαι.
Ὀκλάζειν, λαγγάζειν, εἰς γόνυ κάμπτειν διαπάσαι.
Ὀκλὰξ, ἐπικαμμένως. ¶ Ὀκνεῖ, δέδοικε, δειλιᾷ,
εὐλαβεῖται, οὐ βούλεται φόβῳ.
Ὀκνείω, ὀκνῶ καὶ τὰ ὅμοια ἐν ὀκνερός. ¶ Ὀκνάδρα-
στον, πᾶν πρᾶγμα ἄγνωμον. ¶ Ὄκνος, εἶδος ἐρωδι-
οῦ καὶ φόβος. ¶ Ὀκνῶν, αἰδούμενος, φοβούμενος.
Ὀκοῖον, ὁποῖον ἀττικῶς. ¶ Ὀκορνοὶ, τοὺς ἀττελά-
βους, καὶ τὰ ἀκειδολα οὕτω λέγουσιν.
Ὀκράζων, τραχυνόμενος. ¶ Ὀκρίβαντας, ἐμβάτας
Ὀκρίβατον, χῆμα ἡνιόχου. ¶ Ὀκρίβας, οἱ μὲν, ὄνο-
μα φασιν. οἱ δὲ, ἄγριον κεῖον, ἄλλοι κλίμακα. κυ-
ρίως δὲ τὸ λόγιον, ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τι-
νὲς δὲ κίλλιβας τρισκελῆς, ἐφ' οὗ ἵσταντο οἱ ὑπο-
κριταὶ, καὶ τὰ ἐκ μετεώρου λέγοντες.
Ὀκριόεντι βάλλω, τραχείᾳ βάλλω. ¶ Ὀκρυόεσσα, τρα-
χὺ σκληρὸν στερεὸν ὀργίλον. ¶ Ὀκριόεντι, τραχεῖ.
Ὀκριόωντο, ἐτραχύνοντο, ὠργίζοντο, μεταφορικῶς ἀπὸ τῶν
ἄκρα πολλὰ ἐχόντων λίθων. ὄκρις δὲ κυρίως ὁ τρα-
χὺς λίθος. ¶ Ὁ κριὸς τὴν θάλατταν, ὡς κριοῦ ἐν
θαλάττῃ χειμασθέντος, εἶτα προσγαληνιάσαντος αὐτὴν
ἰδόντος, εἰς τὸ μηκέτ' ἔφη, ἐπίστευσεν ἂν ὡς ἀληθευούσῃ
Ὀκρυόεν, φρικῶδες. ¶ Ὀκρυόεσσης, φρικτῆς χαλε-
πῆς. ¶ Ὀκτάδιον, καλάθιον πρὸς ὀρνιθεῖα.
Ὀκτάκνημα, ὀκτὼ κνήμας ἔχοντα. ¶ Ὀκτήσεις,
οἴσεις, ὀκνήσεις. ¶ Ὀκτώπους, ποταμός.
Ὀκτώπηχυ, τὸ ὀκτάπηχυ. ¶ Ὀκτώπους, σκορπίος
Ὀκνεῖν, φρονεῖν. ἴσχειν. ¶ Ὄκχη, στήριγμα, βακτηρία
ἔρεισμα σκῆπτρον. ¶ Ὀκωχεύειν, ἔχειν συνέχειν.
Ὄλα, τὰ ἐντὸς τῆς σπείρας στρογγύλα. ¶ Ὀλαεῖ,
ἐνοχλεῖ. καὶ ὀλαθεῖ ὁμοίως. ¶ Ὄλαι κριθαὶ ἀπὸ
χεί. ¶ Ὀλαμεῖς, τὸ τὰς ὄλας βάλλειν.
Ὀλαιροὶ, σπερμολόγοι καὶ ὀλαττοί. ¶ Ὀλβάχιον,
κανοῦν. λεινολόχος. ¶ Ὀλβιοδαίμων, τρισόλβιε,
μακάριε καὶ τὴν οὐσίαν. ¶ Ὄλβιος, πλούσιος
εὐδαίμων. ὁ δὲ διὰ τοῦ ὅλου βίου μακαριστός.
Ὀλβοδότης. πλουσίως παρέχων, ὄλβος γὰρ ὁ πλοῦτος.
Ὄλβος, πλοῦτος χρῆμα τιμή. ¶ Ὀλοθρευτής, λυ-
μεών. ¶ Ὄλεθρος, βαθὺς, ἔνιοι ἐπὶ κόσμου γυναι-
κείου ἀπώλεια. ¶ Ὀλέθρου πείρατ' ἐφῆπται, ἐπι-

τὸς, ἑαυτὸν τρέφων. ¶ Οἰκοτρίβης, οἰκογενὴς δοῦλος. ¶ Οἰκότριψ, ὁ θρεπτός. διαφέρει δὲ οἰκέτης οἰκοτρίβου. ὁ μὲν γὰρ οἰκότριψ, γονέων δοῦλος. ὁ δὲ οἰκέτης, οὐ πάντως. ἀλλὰ καὶ ὁ αἰχμάλωτος, καὶ ὁ ἐν οἴκῳ ὤν. ¶ Οἰκοτρύβλιον, τὸ ἐκ δούλου δοῦλον.

Οἰκούρεια, κυρίως τὰ ὑπὸ τῶν μητέρων προσφερόμενα τοῖς νηπίοις παίγνια, ἢ ὁ κατ' οἶκον φυλακὸ οἰκουρία. ¶ Οἰκουρὸν ὄφιν, τὸν τῆς πολιάδος φύλακα δράκοντα, καὶ οἱ μὲν ἕνα φασίν. οἱ δὲ δύο ἐν τῷ ἱερῷ τοῦ ἐρεχθέως, τοῦτον δὲ φύλακα τῆς ἀκροπόλεως φασί. ᾧ καὶ μελιτοῦτταν παρατίθεσθαι. ¶ Οἰκουρός, ὁ φροντίζων τὰ τοῦ οἴκου καὶ φυλάττων. οὖρος γὰρ ὁ φύλαξ λέγεται. ¶ Οἰκοφθόρους, μοιχούς.

Οἰκτείρημα, ἔλεος. ¶ Οἰκτείρειν, ἐλεεῖν.

Οἰκτίζει, θρηνεῖ. ¶ Οἶμον, κύκλον. ἔνθεν καὶ παροιμία κέκληται τὸ παροδικὸν δόγημα. ἔστι δὲ λόγος ὠφέλιμος. καὶ ὁδός. ¶ Οἰκιστά, ἐλεεινά. ¶ Οἰκτρὸς θρῆνος ἔλεος συμπάθεια φιλανθρωπία. ¶ Οἰκτρὰ ἐλεεινὰ ἐλάχιστα. ¶ Οἰκτείραντα, ἐμβάται.

Οἰκτειζόμενος, ἐλεούμενος. ¶ Οἰκτρογοῦντας, οἰκτιζομένοις, ἐλεουμένοις. ¶ Οἰκτρός. ἐλεεινός. ἐλάχιστος, ἐλέου ἄξιος, δειλὸς βραδύς.

Οἴκων, μέσσ' ὀρύναι, τῶν οἴκων μέσον τινὰ ὁρμᾶν.

Οἰκωφελείη, εὐταξία, ἐξ ἧς ὁ οἶκος ὠφελεῖται.

Οἰλάσωμα, τὸ προστιθέμενον τῇ πλάστιγγι τοῦ ζυγοῦ, ἐὰν μὴ ἰσορρεπῇ. ¶ Οἶμαι, νομίζω, ὑπολαμβάνω.

Οἶμα, ὁρμή. ¶ Οἰμᾶν, δύεσθαι ὑποβρύχιον ἐστὶν καὶ ὁρμᾶν. ¶ Οἴματα, ἀετοῦ, ὁρμήματα ἀετοῦ, οἶμα τ' ἔχων. ¶ Οἴμη, φωνή, ὁδὸς λόγος ἱστορία ᾠδή. ὅθεν προοίμιον τὸ πρὸ τῆς ᾠδῆς καὶ κύκλος.

Οἶμος, γενικῶς τὰ αὐτά. ¶ Οἴμημα, ὅρμημα.

Οἴμησεν, ὥρμησεν. ¶ Οἴμολα, οἰμήνλα ἀκρόδρυα.

Οἶμοι στίχοι, ὁδοί. ¶ Οἶμι, ἐπίφθεγμα θρήνου.

Οἶμον οἶμος, ὁδὸς κύκλος, τρίβος. ὅθεν καὶ τὰς ἀοιδὰς κύκλους οἴμους ἐκάλεσαν. ¶ Οἰμωγαί, θρῆνοι ὀδυρμοὶ στεναγμοί. ¶ Οἰμώζει, τὰ αὐτά.

Οἰμωξία, τὸ οἰμῶξαι. ¶ Οἶν, συνεῖρον τὸ οἶν ἀρρενικῶς ἀττικοί. ¶ Οἶνα, τὰ τῆς ἀμπέλου φύλλα.

Οἰνάδας, ἀκτάς, ἀντὶ τοῦ οἰνομαΐδας. ¶ Οἰνάδες, ἀμπελώδεις τόποι. ¶ Οἶναι, οἱ μὲν τῆς ἀτταλίας, οἱ δὲ τῆς πτολεμαΐδος φυλῆς εἰσίν. ¶ Οἷ ναίουσιν οἵτινες οἰκοῦσιν. ¶ Οἰναῖοι τὴν χαράδραν. παροιμία τιθεμένη ἐπὶ τῶν ἑαυτοῖς κακόν τι προσελκομένων φασί. δὲ δήμων, ἔστι τῆς ἀττικῆς ὁ τόπος οἰνόη. οἱ δὲ ἐνταῦθα γεωργοῦντες, παροχετεύοντες τὴν ἄνω φερομένην χαράδραν, ἄρδευον τὰ δένδρα καὶ τὰς ἀμπέλους ἐπεχείρουν. ὕδατος δὲ πολλοῦ γενομένου, συνέβη καταρραγέντα τὸν ποταμόν, τῶν κτημάτων πολλὰ διαφθεῖραι. καὶ τῶν τόπων δὲ τοὺς κύκλους ἐγχῶσαι. ¶ Οἰνάνθη, ἡ ἔκφυσις τῆς ἀμπέλου. ἔστι δὲ καὶ ἕτερον φυτὸν οὕτω λεγόμενον.

Οἰνάς, γένος κόρακος. οἱ δὲ ἀγρίαν περιστεράν.

Οἴναρα, τὰ τῆς ἀμπέλου φύλλα. ¶ Οἰναρίζειν, φυλλολογεῖν ἀμπέλους ἐργάζεσθαι. ¶ Οἰναρίς, κληματίς. ¶ Οἰνάς, εἶδος περιστερᾶς ἀγρίας.

Οἰνωάτιν, ἄρτεμιν, τὴν ἐν οἰνῃ τῆς ἀργείας.

Οἰναχθὸς, μέθυσος μεθύων. ¶ Οἴνη, ἡ ἄμπελος, καὶ κυβευτικὸς βόλος, ὁ κενὸς καὶ ἀντικείμενος τὴν ἔξω ἀχαιὸς, οἰνίζειν γὰρ τὸ μονάζειν κατὰ γλῶσσαν.

Οἰνηρύσις, ἀγγεῖον, ὡς κοτύλη. μεθ' οὗ τὸν οἶνον ἀντλοῦσιν. ¶ Οἰνιάξ, εἶδος κόρακος. ¶ Οἰνεῖς, ταχεῖς, ὀξεῖς. ¶ Οἰνίζειν, τὸ μονάζειν κατὰ γλῶσσαν.

Οἰνίζεσθαι, οἶνον ὠνεῖσθαι. ¶ Οἰνίζοντα, ὅμοιον. ¶ Οἰνιστήρια, ἀθήνησιν οἱ μέλλοντες ἐφηβεύειν, πρὶν ἀποκείρασθαι τὸν μαλλόν, εἰσέφερον ἡρακλεῖ μέτρον οἴνου, καὶ σπείσαντες, τοῖς συνελθοῦσιν ἐπεδίδουν πίνειν. ἡ δὲ σπονδὴ ἐκαλεῖτο οἰνιστήρια. ¶ Οἰνοβαρής, οἴνῳ βεβαρημένος. μέθυσος. ¶ Οἴνοπα, μέλανα οἰνώδη τῇ χροιᾷ. ¶ Οἰνοπέδοιο, οἰνοφόρου ἀμπελοφύτου γῆς.

Οἰνοπίπικρον, οἰνόδοσμον, μέλαν. οἰνωπὴν ἀμαυρὸν αἰνειδής. ¶ Οἰνοποτάζει, εὐωχεῖ οἰνοποτεῖ πίνει.

Οἰνοπτὰ, ἀρχὴ εὐτελής, καθ' ἣν θρυαλλίδας καὶ λύχνους καὶ τὰ τοιαῦτα δεῖ τὸν αἱρεθέντα ἄρχοντα παρέχειν.

Οἶνος, διόνυσος. ¶ Οἰνόσπονδοι, θυσίαι, ἐν αἷς οἶνος σπένδεται. ¶ Οἰνοτρόποι, αἱ ἀνίου θυγατέρες.

Οἶνος ἀμπέλινος, τοῦτο δηλοῖ καὶ ἐξ ἑτέρων δύνασθαι οἶνον.

Οἰνοῦσαι. εἶδος ἀμπέλου. ¶ Οἰνοῦσα, μᾶζα οἴνῳ πεφυραμένη, ἣ ὁ διακονοῦσα τοῖς συμποσίοις.

Οἰνοῦσαι καὶ οἰνοῦτται τοιαῦται.

Οἰνοφλυγία, μέθαι. ¶ Οἰνόφλυξ, αἰσχρὸς μέθυσος.

Οἰνόφλυξ, μέθυσος ὁ κατεπίθυμος οἴνου.

Οἰνοφρὸς, πάροινος. ¶ Οἰνοχίτωνας, ἐλάτας.

Οἰνοχοεῖ, οἰνοχοεύει, τὸ κιρνᾶν. ¶ Οἰνοχόην, τὴν κατὰ χύσιν τὸ ἀγγεῖον. ¶ Οἰνοχόος, ὁ ἐπικέρνης.

Οἰνῶναι, αἱ ἀποθῆκαι. ¶ Οἰνῶντα. μονάρη.

Οἴνοπα, οἰνωπὴν πορφυρὰν μέλανα. ¶ Οἰνωροί, οἱ ἱεραγωγοὶ διονύσου. ¶ Οἰνόζον, χάρακα ὃ τὴν ἄμπελον ἱστᾶσι δενδρεῖς. ¶ Οἶνοψ, οἶνοψ μέλαν.

Οἴξας, ἀνοίξας. ¶ Οἴξασα, ἀνοίξασα. ¶ Οἰοβίοισι, μονοβίοις. ¶ Οἰόζωον, μονόστολον.

Οἰόθεν, μοναχόθεν. ¶ Οἰόθεν, οἶος. ἐκ μόνου μόνος. τουτέστι μόνος πρὸς μόνον. ¶ Οἷοι, ὁποῖοι. ἢ οἱ οἵτινες. ¶ Οἷοί τε, νομίζοι ἀρκούντως ἔχοι, ἢ ὑπολάβοι. ¶ Οἴομαι, νομίζω, ὑπολαμβάνω.

Οἰόμενοι, οὐκ εἰδότα νομίζοντα. ¶ Οἷον, ὁποῖον. μόνον τρόπον τινὰ δυνατὸν καθάπερ ἢ ποιόν.

Οἷον, ἅπαξ ἕνα. ¶ Οἷον ἔτυχεν. ὁποῖον ἐγένετο.

Οἱονεί, ὥσπερ τί. ¶ Οἰονεῖς, οἰώνοις δοκήσεις.

Οἰωνίζει, μαντεύει. ¶ Οἱονεὶ χιαστά, ὥσπερ φωλεῷ.

Οἷόν τε, δυνατὸν λέγουσιν. ¶ Οἰὸς ἀώτῳ, προβάτου ἄνθει, τουτέστιν ἐρίῳ περιβολαίῳ. ἔνθ' ὅγε παννύχιος κεκαλυμμένος οἰὸς ἀώτῳ, ἐπὶ αὐτοῦ δὲ τὸ ἔριον οἰονεὶ ὥριον λέγεται. ¶ Οἶος, ὁποῖος ἢ μόνος.

Οἶος νόος. ὁποία διάνοια, οἷος νοῦς. ¶ Οἰοπόλος, ἔρημος, ἐν ᾧ τίς μόνος ἀναστρέφεται. ¶ Οἰοπόλῳ, ἐν ᾧ οἶοι πωλοῦσιν, ἢ μόνος τις πωλεῖται τουτέστιν ἐρήμῳ χωρίῳ. ¶ Οἴουλος, ὁ πρῶτος τοῦ γενείου βλαστός. ¶ Οἴου ἀνδρός, οἵου φωτός. ¶ Οἰοφάγῳ σιδήρῳ, οἷον μηλοκτόνῳ. ¶ Οἰοχίτων, δίχα ἱματίου, ἢ μονοχίτων ὁ προβατοχίτων. ¶ Οἱ παῖδα ἐοικότα ἑαυτῷ παῖδα ὅμοιον. ¶ Οἵπερ ἄν. ὅσοι περ ἄν. οἵπερ δέ, οἵ τινες. ¶ Οἰνοπορεῖν, κιρνᾶν οἰνοχοεῖν.

ἡ δὺο πλὲς ὄζειν. ¶ ὀδωδή, ὀσμή. ¶ ὀδωδὸς, ὄζων.
ὀδύσσαι, ὠργίσθη. ¶ ὄλφ ἐστι. περὶ ὄλφ ἐπὶ
ὄλφ. ¶ ὀδωνὶς, ἡ θάσος τὸ πάλαι. ¶ ὀλεδρ,
ὁ δρῦς. ¶ ὀδημάρτησε, συνηκολούθησεν αὐτῷ.
ὀεὰ. μηλωτή. ¶ ὄεις, κώδια. ¶ ὀέχαι, μηλωταί
ἐσθῆτες, ἤγουν δερματῖναι. ¶ ὀίτεας, παρὰ τοῖς
βαρβάροις ὁ καλλίθριξ. ¶ ὀζεία, θεραπεία.
ὀζίκαις, οἱ σφριγῶντες. ¶ ὄζος, κλάδος, καὶ ὁ ἀπὸ
τῆς πλέξεως σχιζόμενος ἀκρέμων. ὄζῳ ἐπ' ἀκροτά-
τῳ. ¶ ὀζώλης, λοκρῶν γένος τι.
ὄζος ἄρηος, ὁ κλάδος τοῦ πολεμικοῦ ὁ πολεμικός.
ὀζειάς. ἰσχῦς, ἰαῶ, ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ τῶν βασιλει-
ῶν ἀζαρίας. ¶ ὄζων, κλάδων. ¶ ὄζοις, κλά-
δοις. ¶ ὀζοφύλλον, θρεπτικόν. ¶ ὄζυγες, ὁμό-
ζυγες. ¶ ὄη, δένδρον, καὶ δῆμος τῆς ἀττικῆς.
ὀθαρσαλέως, ἀθαρσῶς ὁ ἄστωρ. ¶ ὄθεν, ἔνθεν.
ὄθεσεν, ἐπεστράφησαν. ¶ ὀθέσθαι, φροντίζειν, ἐντρέ-
πεσθαι, μέμφεσθαι, δεδιέναι. ¶ ὄθεται, ἐπι-
στρέφεται. ¶ ὀθέτη, ἅμαξα ἡμιονική. ¶ ὀθύει,
ἄγει φροντίζει. ¶ ὀθέων, φροντίζων. ¶ ὄθη
φροντίς, ὥρα φόβος λόγος. ¶ ὀθελυθρίας, ὁ γυ-
ναικεῖος. ¶ ὄθι, ὅπου ἔνθα. ¶ ὄθιξα, ἅμαξα
ἡμιονική. ¶ ὄθματα, ὄμματα νεολεῖς.
ὀνεῖα, μάταια. ἀλλότρια. ἀλλοεθνῆ ξένα ἀλλογενῆ.
ὀθοῖ, ὄνομα κύριον. ¶ ὄθομαι, ἐπιστρέφομαι φρον-
τίζων. ¶ ὀθόναι. τὰ περιβόλαια πάντα παρὰ τὸ
ἕσσασθαι, τινὲς δὲ ζώνας ἀπεδώκασιν.
ὀθόνη. σινδών. ζώνη. τελαμών. γυναικεῖον ὀθόνιον λε-
πτόν, ἢ πᾶν τὸ ἰσχνὸν ὕφασμα λινοῦν ἡ. ¶ ὀθόνοισι. λε-
πτοῖς ἱματίοις. ¶ ὀθόνια, λινᾶ ἱμάτια. ¶ ὄθει-
ζε, διελέγχου. ¶ ὀθρεῖν, ἀγείρειν. ¶ ὄθροον, ὁμόφω-
νον σύμφωνον. ¶ ὀθρυόεν, τραχύ. ὑλῶδες. δασύ
κρημνῶδες. ¶ ὄθρυν, κρητῶν τὸ ὄρος. ¶ ὀθρώ-
νος, ἡ πρὸς κέρκυρα νῆσος. ¶ ὀθῶς, ταχέως.
οἱ ἐπιγίνοιτο. ¶ οἷ αὐτοῦ αὐτῷ, ἢ οἱ τινες, ἢ αὐτῷ ἢ
ἄπειρι, πρώου. ¶ οἱ, ἄρθρον προτακτικὸν ἀρσενι-
κὸν πληθυντικὸν καὶ ὑποτακτικόν, καὶ ἀντὶ τοῦ αὐτῷ,
καὶ ἀντωνυμία τρίτου προσώπου.
ὄθμον, ὑστερινόν. ¶ ὄθομαι, ἐπιστρέφομαι.
οἷα. ὡς περ καθάπερ, οἷα δὲ, ἅτε δὴ, ὥσπερ δὴ ἐνέχυρα
οἶαι, διφθέραι, μηλωταί. ¶ οἴακες. πηδάλια ἤτοι
ἀυχένια, καὶ οἱ ταῦτα ἐπιστρέφοντες κανόνες καὶ κρί-
κοι δι' ὧν οἱ ἱμάντες διείρηνται. ¶ οἴιδ αἴρι.
οἰακίζει, ἐλαύνει. δικεῖ κυβερνᾷ. ¶ οἰακοστρόφος,
κυβερνήτης. ¶ οἰακοστροφῶν, κυβερνῶν.
οἴαξ, πηδάλιον ὁδηγός. ¶ οἴαξιν, αὐχενίοις, πηδα-
λίοις. ¶ οἶας, τὰ θήλεα πρόβατα. ¶ οἴδη-
μα, φλεγμονὴ φύσησις ὄγκωμα, ἀπόστημα, ὡς ἐκ με-
ταφορᾶς δὲ τῶν σωμάτων, ἡ ἐπὶ τῆς ἐπάρσεως καὶ
φυσιώσεως λέγεται. ¶ ὄιδ, οἶτοι. ¶ οἷα, τὰ
λευκὰ αἰολεῖς. ¶ οἱ κτὰν κομήτην, οἷαι δὲ αἱ κό-
μαι. ¶ οἷά τε καὶ αὐτός. ¶ οἱ ἀυρὶ, οἷγε οὗτοι.
οἰάτιδος, ἐκ νομοῦ, σοφοκλῆς οἰδίπποδι ἐπὶ κολωνῷ τὸ
προβατευομένης ἐκνεμήσεως. οἱ δὲ ἀοιροῦ δήμου κα-
λοῦσιν, οὗ γὰρ ἐγγὺς κεῖται. ¶ οἱ γὰρ, οἱ αἴρι δὲ αὐτῷ.
οἰγνύει, ἀνοίγει διοίγνυει. ¶ οἰγόμενος, ἀνοιγόμενος.

οἰδάνει, οἰδεῖ ἐπαίρεται, σαρκοῖ, φλεγμαίνει.
οἰδάνουσα, φλεγμαίνουσα, φυσῶσα, οἱ δὲ ἀπόντα τὸν μέ-
λαν. ¶ οἰδάνεσθαι, θυμοῦσθαι καὶ τὰ ὅμοια.
οἱ δὲ νῦν, οἱ δὲ δὴ, ἢ αὐτοὶ δέ. ¶ οἴδημα, ὄγκω-
μα, ἀπόστημα. ταραχὴ κυμάτων.
οἰδήματα, φλυκτίδες καὶ τὰ ὅμοια.
οἰδήσεις, ὁμοίως ἐπάρματα. ¶ οἰδημὸς, ψεκτός.
οἶδμα, κῦμα, ἔπαρμα. ῥεῦμα. πέλαγος αὔξημα, οἰδ-
ματα τὰ αὐτὰ πληθυντικῶς. ¶ οἴδησις, αὔξη-
σις. ¶ οἰδοῦντες. ὀγκοῦντες, καὶ τὰ ὅμοια.
οἱ ἑ, οἱ τινες αὐτόν. ¶ ὄιεαι, νομίζεις, ὑπολαμβά-
νεις. ¶ ὄιεο, νόμιζε ὑπολάμβανε.
οἶες, πρόβατα. ¶ ὀίεσθαι, ὑπονοεῖν, ὑπολαμβάνειν.
ὀιλεὺς, ὁ γόνυ. ἡ στρατηγὸς στρατιωτικοῦ ἐπώνυμον.
οἴεται, ὑπολαμβάνει ὑπονοεῖ. ¶ οἰητέας, ἰσοετίας
ὁμηλικίας. ¶ ὀιζύει, κακοπαθεῖ μόχθει. ¶ ὀιζυεῖ,
μοχθεῖ πάσχει. ¶ ὀιζυόμεθα, κακοπαθοῦμεν, πάσχο-
μεν. ¶ ὀιζὺς, κακοπάθεια. ¶ ὀιζυρὰ, πονηρὰ,
μοχθηρὰ ἐπίπονα ταλαίπωρα κακοπάθημα.
ὀιζὺς, ταλαιπωρία, κακοπάθεια, ταλαιπωρία, κακουχία.
οἰηματωνία, νομίζεις ὑπολαμβάνεις. ἢ ὄπη.
οἱ γε δὲ, τὰ αὐτὰ, ὅποι δέ. ¶ οἰηθῆναι, δόξαι ὑπονοη-
θῆναι. ¶ οἰηταῖν, κομητῶν. ¶ οἰηία. πηδάλια.
οἰήια, οἴακες. ¶ οἶος, μόνος ὁ πίας. ¶ οἰήσεως
δοκήσεως, ἐπάρσεως. ὑπονοίας νομίσεως. ¶ οἶας
τῶν προβάτων τὰ σκεπαστήρια δέρματα. ¶ οἶκοι,
ὅπου. ¶ οἴκαδε, οἴκονδε. εἰς οἶκον εἰς τὸν ἴδιον οἶκον
εἰς τὰ οἰκεῖα ¶ οἱ καθ' ἡμᾶς, οἱ πρὸς ἡμᾶς. ¶ οἰκά-
ειον, τὸ ὄπισθεν γυναικωνίτιδος. ¶ οἰκανὸν. τὸ οἰ-
κεῖον. ¶ οἰκεῖ, μένει. ¶ οἰκεία. ἰδία. ¶ οἰκεῖ-
λαι, ἐκβληθῆναι. ¶ οἰκεῖοι, οἱ κατ' ἐπιγαμίαν
ἀλλήλοις προσήκοντες, ἢ ἴδιοι ἢ κατὰ τὴν οἰκείαν
ποιοῦντες. ¶ οἰκειώσαντο, ἰδιοποιήσαντο. ¶ οἴκει,
οἱ τινες αὐτόν. ¶ ὄικεμε. οἱ τινες ἡμᾶς. ¶ οἰκέ-
οιτο, οἰκεῖν. ¶ οἰκέται. οἱ κατὰ τὸν οἶκον πάντες
οἰκετεύεται. συνοικεῖ. ¶ οἰκέτης, δοῦλος ὑπουρ-
γός. ¶ οἰκέτις, καρικίδος. ¶ οἰκεὺς, ὑπόχεως
οἰκέτης. ¶ οἰκεῖ, οἰκέτῃ δούλῳ. ¶ οἰκῆας, οἰκεί-
ους πάντας μὲν κατὰ γένος προσήκοντας καὶ μὲν δού-
λους, καὶ πάντας τοὺς κατὰ τὴν οἰκίαν. κύκλῳ δ' οἰ-
κήσων, οἷς κτήσατο δῖος ὀδυσσεύς. ¶ οἴκημα, τὸ δε-
σμωτήριον. ἀττικοὶ δὲ τὸ πορνεῖον. ¶ οἰκητήρια,
σκεύη τὰ κατὰ οἶκον. ¶ οἰκιάδης, σιμωνίδης ὁ ἱπ-
πόνου πατήρ. ¶ οἰκία. οἴκη. ¶ οἰκίδιον, καθηδῆ.
οἰκίζουσιν. οἰκοῦσιν. ¶ οἰκητὴς, ὠνητὸς δοῦλος.
οἰκιμβάζειν, στραγγεύεσθαι, διατρίβειν. ¶ οἰκί-
σκος, ὁ τῶν ὀρνίθων, ἢ ἐλεφνής. ¶ οἰκιστὴς, οἰκίζων.
οἰκιστρον, οἰκτιστον, ἐλεεινόν. ἡ οἶκον. ¶ οἰκογενὴς,
δοῦλος ἢ συγγενής. ¶ οἰκόθευρος, οἰκουρὸς κύων.
οἴκοθι, ἐν οἴκῳ, ἢ ἐξ οἴκου. ¶ οἴκοι. οἴκοθι. ἐν οἴκῳ.
οἴκοθεν, ἐξ οἴκου. ¶ οἰκονομία, βράβευσις διοίκη-
σις. ¶ οἰκονόμος, ὁ τὸν οἶκον νεμόμενος φύλαξ.
οἶκος, ἡ λίγη οἰκία. οἴκῳ ἐν ὀρτιλόχοιο δαΐφρονος, καὶ
μέρος τι τῆς οἰκίας· ἀλλ' εἰς οἶκον ἰοῦσα, τὰ σαυτῆς
ἔργα κόμιζε. ἢ τὰ ἐν τῇ οἰκίᾳ. νῦν αὖ καὶ πολὺ μεῖ-
ζον, ὃ δὴ τάχα οἶκον ἅπαντα. ¶ οἰκόσιτος, μισθοῦ

ΑΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Α.

Ὁ ἄρθρον προτακτικὸν ἀρσενικὸν ἑνικὸν καὶ ἀντὶ ἀρσενικοῦ ὑποτακτικοῦ πτώσεως ὀρθῆς τὸ ὅς, καὶ ὑποτακτικὸν ἄρθρον οὐδετέρου ὀνόματος, καὶ ἀντὶ ἀναφορικοῦ τοῦ οὗτος, καὶ ἀντὶ τοῦ διὸ καὶ ἀντὶ τοῦ ὅτι.

Ὄα, δένδρον κάρπιμον, ἐπεὶ ὁ καρπὸς αὐτοῦ οὕτω καλεῖται ὄα, καὶ μηλωτή. οἷς δὲ τὸ πρόβατον καὶ ἡ σὺν τοῖς ἐρίοις δορά, ἡ δὲ ἐν τοῖς ἱματίοις, ὤα.

Ὀαγιλαῖος, ὁ ἐν ἀγίλῃ διάγων.

Ὀάνους, ἐνέδρας. ¶ Ὀάσεις, δῆμος ἐπὶ πενταπολίδος φυλῆς. ¶ Ὄαοι, μόνοι. ¶ Ὀάριζε, ὁμίλει.

Ὄαρας, γάμους, οἱ δὲ, γυναῖκας.

Ὀαρίζειν, ἄνδρας καὶ γυναῖκας ὁμιλεῖν. παρθένος ἠΐθεός τε ὀαρίζετον ἀλλήλοισι. ¶ Ὀαρίζουσιν, εἰρωνεύουσι. ¶ Ὀαρισμοὶ διάλογοι, ἢ ἀνδρὸς καὶ γυναικὸς ὁμιλίαι. ὄαροι δὲ αἱ γυναῖκες.

Ὀαριστὴς, ὁμιλητὴς συσχολαστής.

Ὀαριστύν, μάχην. ¶ Ὀαριστὺς, ὁμιλία, ἢ παραλογιστικὴ διάγνωσις, ἢ ἀδολεσχία. ¶ Ὀάρων, γυναικῶν.

Ὄαροι, αἱ γυναῖκες, ἀπὸ τοῦ συναρμόσασθαι. ὀάρων ἕνεκα σφετεράων, μῦθοι λόγοι βουλεύματα. τινὲς δὲ διασοις καὶ παιδιὰν διὰ τὰ ἀφροδίσια.

Ὀβάκχιος, ὁ Διόνυσος. ¶ Ὀβελίας, ἄρτος, ὁ ἐπὶ τοῦ ὀβελίσκου ὀπτώμενος. ¶ Ὀβελίσκοι, ὀβελοί.

Ὀβελοῖς, ὀβελίσκοις. ¶ Ὀβολοὶ, νομίσματα, καὶ τόκοι καὶ εἴδη νομισμάτων ἐπεὶ ἐν ἄστει δικαστικοὶ μισθοί.

Ὀβολοστάτης, ὀβολοστάτας, τοὺς δανειστὰς ἔλεγον. ἐπειδὴ δὲ σταθμῷ οἱ δανείζοντες, διὸ ὀβολοστάται προσηγορεύθησαν. τινὲς δὲ τὸ δανείζειν, ἱστάναι φασίν.

Ὀβολοστατεῖν, δανείζειν. ¶ Ὀβρικάλοις, τοῖς τῶν θηρίων ἐκγόνοις. ¶ Ὀβριμοεργὸς, ἰσχυρὰ ἢ μεγάλα ἐργαζόμενος ἔργα, μεγαλοπράγμων.

Ὄβριμον, βαρὺ ἰσχυρόν. ¶ Ὀβριμοπάτρη, ἰσχυρὸν πατέρα ἔχων. ¶ Ὄβριμος, ἰσχυρός. γενναῖος. δυνατός, καὶ ὀβριμοπάτρης λέγεται ὁ ἰσχυρὸς πατήρ.

Ὀβρισκύχην, ὁ τὴν αὐχένα βαρέων.

Ὁ γὰρ, αὐτός γε. ¶ Ὀγάστωρ, ὁμογάστωρ.

Ὄγγα, Ἀθηνᾶ ἐν Θήβαις ἐπιχώριον ἐπώνυμον ἔχουσα.

Ὀγδόα, ἡμιχοίνικον. ¶ Ὀγδόδιον, θυσία παρὰ Ἀθηναίοις τελουμένη Θησεῖ. ¶ Ὄγε, αὐτός γε.

Ὄγκας, Ἀθήνας τὰς ὠγυγίας πύλας λέγει.

Ὀγκᾶται βοᾷ. ¶ Ὀγκηθμὸς, κραυγὴ ὄνου.

Ὄγκοι, γωνία μέγεθος. ¶ Ὀγκία, θημῶνες χώματα. σιδηροθήκη. ¶ Ὀγκίον, ἀγγεῖον, ἐν ᾧ αἱ ἀκίδες, ἢ πλέγμα κιστιδὲς ἐν ᾧ ἀπέκειντο οἱ πελέκεις. εἴρηται δὲ ἀπὸ τοῦ ὄγκου. ¶ Ὄγκοι, αἱ ἐξοχαὶ ἐπεὶ γωνίαι τῶν ἀκίδων. καὶ πώγωνες τοξικῶν βελῶν.

Ὀγκολογῆσαι, γογγύσαι. ¶ Ὀγκοπλεθρίαν, τὸ πλέθρον αὔξειν. ¶ Ὄγκος, φύσημα. ὑπερηφανία ἔπαρσις μέγεθος. ¶ Ὄγκοις, τοῖς πώγωνας τῶν ἀκίδων, ἰσχυρῶς γενναίως. ¶ Ὀγκοῦται, φυσιοῦται. ¶ Ὀγκύλλεσθαι, ὑψαυχενεῖν καὶ ἐπαίρεσθαι καὶ ὄγκον περιβεβλῆσθαι.

Ὀγκύλον, σιμὸν κύρτον. ¶ Ὄγμος, ἡ ἐφεξῆς φυτεία. μεταφορικῶς δὲ καὶ ὅταν πορεύωνται ἐφ' ἕνα τεταγμένοι κατὰ στίχον, ὄγμον λέγουσιν. ὁ δὲ τῶν θεριζόντων στίχος, ὀγμεύειν λέγεται. ¶ Ὄγμοις, τοὺς αὔλακας, διὰ τὸ ὄγμοις εἶναι. ¶ Ὀγχηστὸς, πόλις Βοιωτίας. ¶ Ὄγχναι, αἱ ἄπιοι.

Ὄγχνια, ἄπιον. ¶ Ὀγύγια, μέλη. ¶ Ὄγυρον, ἱμάτιον· οἱ δὲ, μάταιον. ¶ Ὄδα, φορτία. Ἰώνια. οἱ δὲ ὄλβα. ¶ Ὀδάγμα, βρῶμα ἀντὶ τοῦ εἰς τὸν ὁδὸν, ἐνεκάθητο περ φησιν ἐν τοῖς ὁδοῖς.

Ὀδαῖον, πράσιμον, καὶ εἰς ἐκδημίαν ἐφόδιον.

Ὀδαίων, ὠνίων, ὀδᾶσθαι γὰρ τὸ ὠνεῖσθαι.

Ὀδακτάσαι, δακεῖν τὴν καρδίαν, ἢ ἀκύρως τοὺς ὀφθαλμοὺς περιορύξαι. ¶ Ὀδανὸς, ὀδαπός.

Ὀδὰξ, τοῖς ὀδοῦσιν ἐμπεφυκότες ἐνδακόντες. ὅμοιον δὲ τὸ ἀπρίξ. ¶ Ὀδάξει, τοῖς ὀδοῦσι δάκνει.

Ὀδαξισμὸς, τρισμὸς ὀδόντων. ¶ Ὀδαγμὸς, κνησμός.

Ὀδερὸς, ὀκνηρός. ¶ Ὀδεσμένος, ὠνεῖσθαι ἐπειγόμενος. ¶ Ὀδέγα, κατάπυγον Ταραντῖνοι ὁ δὲ, ὀδῖνα. οὗρος δὲ, αὖθις ἐγώ. ¶ Ὀδήμελω, προσεδόκων.

Ὄδ' ἐγὼ, αὖθις ἐγὼ ἢ αὐτή. ¶ Ὀδεῖν, πωλεῖν.

Ὀδεῖον, πράσιμον, ἢ εἰς ἐκδημίαν ἐφόδιον.

Ὄδερος, γαστήρ. ¶ Ὅδε τοι, αὐτός σοι. ¶ Ὀδεύει, περιπατεῖ ἀπέρχεται. ¶ Ὀδὴ, εἰς δὲ ὅτι δὲ, ἢ στρώματα. ¶ Ὀδήσεις, ὠνήσεις.

Ὀδῆσαι, πρίασθαι, ἀποδόσθαι, ὠνήσασθαι.

Ὄδησον, πώλησον. ¶ Ὀδηθεὶς, ληφθεὶς, πραθείς.

Ὀδία, ἡ Κόρη θεός. ¶ Ὁ δειμάλεος, δειλαιός.

Ὀδιπόρος, ὀδίτης. ¶ Ὁ δόπος, κυβερνήτης.

Ὀδίνουσα, ἀποφορὰ ὀσμή. ¶ Ὀδαῖος. ὀλῖος. ἀτραπής. πονηρός. φορτικός. πράσιμος ὠνητός.

Ὄδιος, οἰωνὸς αἴσιος, καὶ ἐπίθετον Ἑρμοῦ.

Ὀδμὴ, ὀσμὴ, ὄσφρησις ἀποφορά.

Ὀδμῖμος, πολύοσμος. εὔοσμος. ¶ Ὀδοιδοκεῖ, ὁδοσκοπεῖ. ¶ Ὀδοιδόκος, κλὼψ ἐνεδρεύων τοὺς κακούργους. ἔνοδος. λῃστής. ¶ Ὀδοιπορεῖον, ἡ ἐπὶ τὸ συνοδεῦσαι ἢ συμπλεῦσαι θυοχία. ¶ Ὀδολκοί, ὀβολοὶ κριτῶν. ¶ Ὀδόλλυθοι, ἐρέβινθοι.

Ὀδοντίδας, πολυφάγος. ¶ Ὀδὸν εἰρήνης, τὴν κατὰ θεὸν πολιτείαν. ¶ Ὀδοντισμὸς, εἶδος αὐλήσεως. ὅτε ἡ γλῶττα προσβάλλεται πρὸς τὸν ὀδόντα.

Ὀδουρεῖς, οἱ ἐν ταῖς ὁδοῖς κακουργοῦντες.

Ὀδουρός, ὁ ἐπὶ ὁδοῦ ἄρχων ἢ κατάρχων. ¶ Ὀδοῦρος, ἐνεδρεύων τοὺς καθ' ὁδὸν, ὁδοῦ κατάρχων προοδοιπόρος κακοῦργος. ¶ Ὀδοῦται, καθ' ὁδὸν πορεύεται.

Ὀδοιδόκος· ἐν ταῖς ὁδοῖς πανοῦργος κλώψ.

Ὀδυνᾷ. λυπεῖ κατατείνει. ¶ Ὀδύνη, λύπη, πόνος. τὸ πένθος παρὰ ἀλλοτρίων, ἢ ἀλγηδόνων.

Ὀδυνάων, ὀμβρίων ἢ θλίψεων. ¶ Ὀδυνηρὸν, λυπηρὸν ἐπίπονον. ¶ Ὀδυνήφατα, τὴν ὀδύνην παύοντα. ἀφανίζοντα τὰς ὀδύνας, ἢ παυσίπονα.

Ὀδυπορεῖ, ὀδύρει. ¶ Ὀδυρμὸς, κλαυθμός.

Ὀδύσσασθαι, χολωθῆναι. ¶ Ὀδυσθῆναι, ὀδύσσασθαι, χολωθῆναι, θυμωθῆναι, ὀργισθῆναι. ¶ Ὀδυσσομένοιο, ὀργισθέντος. ¶ Ὀδυσσάμενος, ὀργισθείς.

Ὀδώδει, ὄζει, πικρὰν καὶ βαρυτάτην ἀποφορὰν τοῦ

Ξ οὸς, ξυσμὸς ὁλκός. ¶ Ξουθά, οὐ μόνον ξανθά, ἀλλὰ καὶ λευκὰ καὶ πυρά. ¶ Ξουθίδαι, οἱ ἴωνες, ἴων γὰρ ξούθου. ¶ Ξουθόν. λεπτόν. ἁπαλόν. ἐλαφρόν. ὑγρόν. πυρρόν. χλωρόν. ἀργυρόν. ξανθόν. πυκνόν. ὀξύ. τινὲς δὲ ποικίλον, οἱ δὲ διαυγές. ¶ Ξύει, καταγράφει ὡς περὶ ὁμήρῳ. ἔνθεν καὶ ξύσματα τὰ γράμματα. ¶ Ξυήλη, ξυάλη, ἔστι δὲ καὶ ξυφίδιον ὃ τινὲς δρέπανον λέγουσιν. ¶ Ξύλαχος, σύνδενδρος τόπος. ¶ Ξυλεία, τὰ ξύλα παρέχων δοῦλος.

Ξ υλεύεσθαι, ξυλίζεσθαι. ¶ Ξυλιζομένην, ξύλα συλλέγουσαν. ¶ Ξύλινον, καρπὸν τῶν δένδρων.

Ξ υλίτης, ἰχθύς ποιός. ¶ Ξυληβόρος, ξυληφάγος.

Ξ υλλεχθῆν, συνηλεγμένην πλεκτός.

Ξ ύλον, πρῶτον βάθρον δ' ἐν τῇ προεδρείᾳ καὶ τῇ ἐκκλησίᾳ καὶ ἐν δικαστηρίῳ. ¶ Ξυλοφόρος, ζῶόν τι. ἱστορεῖται σκωλήκιον. ¶ Ξυλόχοιο, ὑλώδους τόπου.

Ξ ύληχος, σύνδενδρος τόπος καὶ ξυλώδης. δρυμὸς ὕλη ἢ θηρίου κοίτη. ¶ Ξυλησδονίη, τεκτοσύνη, ναυπηγίας κωπηλασία κυβέρνησις. ¶ Ξύμβολοι, σύμφωνοι.

Ξ υμβῇ, συμπέσῃ. ¶ Ξύμβλητε, συνετύχετε.

Ξ ύμβληντο, συνήντων. συνέβαλλον.

Ξ υμβολιμαίας, δίκας ἀττικοὶ τὰς κατὰ συμβόλαια.

Ξ ύμβολος, μάντις ὁ εὖ συμβάλλειν δυναμένη.

Ξ υμβόλους, τὰ διὰ τῶν πταρμῶν οἰωνισμὸν ἔλεγον. αὐτὶ τιθέντο δὲ οὐ ῥηθῆναι ἔτει. τινὲς δὲ τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ὡς φιλόχορός φησι, δήμητρα εὑρεῖν. σοφοκλῆς ἀχαιῶν συλλόγῳ.

Ξ ύμμαχοι, σύμμαχοι. ¶ Ξυμφορά, συντυχία καὶ ἐπὶ ἀγαθοῦ τάσσεται καὶ ἐπὶ κακοῦ.

Ξ υνά, κοινά. ¶ Ξυνάγειραν, συνήθροισεν.

Ξ υναίρεται, συνάπτεται. ¶ Ξυναλλαχθέντες, κοινωνήσαντες. ¶ Ξυναμοργός, δεξαμενή.

Ξ ύναορον, τὸν συμβιοῦσαν γυναῖκα γαμετήν.

Ξ υνάνεσθαι, συνανίεσθαι. ¶ Ξυνᾶνες, κοινωνοί.

Ξ υνάορες, ἀδελφοὶ ἀδελφαί.

Ξ υναρμόσας, συνάψας, συνθέσας.

Ξ υναυλίαν, πᾶν πρᾶγμα διττόν, τὴν ὑπὸ δύο ἐπιτελουμένην αὔλησιν. ὅταν γὰρ δύο αὐλῶσι, ξυναυλία λέγεται. ¶ Ξυνάορ εὐναία. δάμαρ γυνὴ ἄλοχος.

Ξ υναόρων, αὐλητῶν. ¶ Ξυνέηκε, συνέβαλεν.

Ξ υνεμπόρους, κοινοπόρους. ¶ Ξυνέρεται, συνέπεται.

Ξ υνέρεται, συνείρεται, συνεταί, συμπολῖται.

Ξ υνέβλητο, συνέβλητο, συνέτυχεν.

Ξ υνελαύνεις, συμβαλεῖς. ¶ Ξύνες, σύνες ἄκουσον.

Ξ υνέσθαι. συνεῖναι, συμβαλεῖν. ¶ Ξύνεσιν, σύνεσιν, συμβολήν. ¶ Ξύνεσις, ἡ εἰς τ' αὐτὸ συμφωνία.

Ξ υνέχεται, συμφέρεται. ¶ Ξυνεχῶς, συνεχῶς διαπαντός. ¶ Ξυνή, κοινή.

Ξ υνήβιος, συμπότης συνῆλιξ.

Ξ υνήια, κοινὰ καὶ ἀδιαίρετα χρήματα,

Ξ υνῆκα, συνῆκα, ἔγνων. ¶ Ξυνῆλιξ, σύνολος.

Ξ υνήονες, κοινωνοί. ¶ Ξυνήορον, κοινωνόν.

Ξ υνηρετήσεις, συνέσεις, συζυγήσεις.

Ξ ύνθακος, συγκάθεδρος. ¶ Ξυνθήματα, σημεῖα.

Ξ υνία, ὄνομα λίμνης. ¶ Ξυνιέναι, νοῆσαι, συνιέναι. ¶ Ξύνιον, ἤκουεν.

Ξ υνιέντες, συνιέντες. ¶ Ξυνίημι, πέπεισμαι.

Ξ ύνιον, ἤκουον. συνῆκαν. ¶ Ξυνιόντας, συμπορευομένοις. ¶ Ξύνισαν, συνήρχοντο. ¶ Ξυνίστρας συμπράκτορας. ¶ Ξύνισαν, νόμισμα.

Ξ υνοθόκης, ξενοδόχης. ¶ Ξυνενοφῆσαν, σκυθρωπίν.

Ξ ύνοδος, σύνοδος, σύμπλωσις. ¶ Ξυνοί, κοινοὶ καὶ ὅροι. ¶ Ξυνομαρτεῖ. ἀκολουθεῖ, συνομαρτεῖ.

Ξ υνόν, κοινόν. ¶ Ξυνουσία, συνήθεια, συνουσία.

Ξ υνοχή, συνοχή. ¶ Ξυνοχῆσι, περὶ συνέχουσι τόπῳ τῆς καμπτῆρος ἢ στενοῦντι ἀμφοτέρων τοῖς δρόμοις.

Ξ υμπονῆσαι. συνάρασθαι ἀντὶ τοῦ λαβέσθαι.

Ξ υστένομαι, συστρῶμαι, ξύομαι.

Ξ υνθήματος. συνθήματος. ἔστι δὲ σημεῖον, ἢ πρόσταγμα διδόμενον ἐπὶ γνώρισμα τῶν οἰκείων ἐν πολέμῳ, ἢ ἑτέρᾳ τινὶ ἐπιβουλῇ. ¶ Ξυνέχοιεν, συνείη.

Ξ υντάσσεται, συσκευάζεται. ¶ Ξυντυχεῖν, συντυχεῖν. ¶ Ξύνοδα, σύνοδα. ¶ Ξυνῶν, συνών.

Ξ υνωρίδα, ζυγὴν ἐπὶ τῶν ἡμιόνων, ὀρεὺς δὲ ὁ ἡμίονος.

Ξ υνωρίς, ἅρμα ἵππων ἐζευγμένον.

Ξ ύομαι, δέφομαι. ¶ Ξυνοῖσαν, εὐξεσμένην.

Ξ υπέτα, δῆμος τῆς κεκροπίδος φυλῆς.

Ξ υρεῖ ἀκονᾷ. ¶ Ξύει, τρίβει. ¶ Ξυρμεύεσθαι, ἀδιακρίτως λαλεῖν ἢ καυχᾶσθαι ἀττικοί.

Ξ υρόν, ῥημὸν ἰσχνὸν ὀξύ, ¶ Ξύσαι, χαράξαι, ἐπιγράψαι. ¶ Ξυνεχῶς, συνεχῶς, διαπαντός.

Ξ ύμβεμοι, σύμφωνοι. ¶ Ξύσμα, κνηφὴ λέπρα.

Ξ υσμός, κνυσμός. ¶ Ξυστάδες, αἱ πυκναὶ ἄμπελοι, ἄμεινον δὲ τὰς εἰκῇ καὶ μὴ κατὰ στοῖχον πεφυτευμένας ἀκούειν. ¶ Ξυστίδα, τὸ λεπτὸν ὕφασμα, ὃ εἶδος ἐνδύματος. ¶ Ξυστίδας, ποδήρη ἐνδύματα, ἢ χλανίδας κωμικάς. ¶ Ξυστίς, τραγικὸν ἔνδυμα. τινὲς δὲ χιτῶνα ποδήρη γυναικεῖον. ἄλλοι τὸ λεπτὸν περὶ τὸ ξύεσθαι. ¶ Ξυστοῖς, ἀκοντίοις. ¶ Ξυστόν. ἀκόντιον. δόρυ κατεσκευασμένον καὶ τόπος ἔνθα οἱ ἀθληταὶ γυμνάζονται. ¶ Ξυστός, ὁμοίως αὐειμένος ἀθληταῖς τόπος. ¶ Ξυστρολήκυθον. κάδοι καὶ βίσσα ἐλαίου λουτικά. ¶ Ξυστῷ, περὶ δόρατι.
¶ Ξῶθεν, ἔξωθεν. ¶ Ξώλεων, ἔθνος βαρβάρων. ¶ Ξώστρα, ψυκτρίς ψυκτεία,

Νώμησεν, διεμέρισεν. ¶Νωμῆσαι βῶν κινῆσαι τὸ ὅπλον. ¶Νωμῶν, ἔχων. διανέμων, κρίνων, διαιρῶν. ¶Νώνακεις, τόπος ἐπώνυμος ἀρκαδίας. τινὲς δὲ νώνακρις. ¶Νωνακρεὺς, οἱ μὲν, ἀλεί[illegible] ἀρκαδικὸν ἀποδιδόασιν. ἡ γὰρ νώνακεις ἀρκαδίας ἐστὶ τόπος. ¶Νῶντα, νήθοντα, ῥέοντα. ¶Νωνυμία, ἀκλεία, ἀσέμνια. ¶Νώνυμος, ἀνώνυμος, δύσφημος. ὃν οὐκ ἄν τις εὔφημον εἴποι, ἀλλὰ δυστυχῆ.

Ν ωρεῖ, ἐνδρχεῖ. ¶Νώροπα, λαμπρὸν αἴθοπα, στερεπικὸν τὸ ὄψεως. τὸ γὰρ νῶ, ἴσον ἐστὶ τῷ ᾱ, ἄροπα νώροπα, νώροπι λαμπρῷ, καὶ τὰ ὅμοια. ¶Νώροπι χαλκῷ ἀντὶ λαμπρῷ χαλκῷ ἢ σιδήρῳ, καὶ τὰ λοιπά.

Ν ώροψ, λαμπρὸς ὀξύφωνος, ἔνηχος. ἢ ὅτι τὴν ὄψιν ἀσθενῆ ποιεῖ. ¶Νώρεμνος, μέλας πολὺ κατώτερος ἔχαρος, ἀσθενὴς πλατύς. ¶Νωσέμβρος, κατανοήσας. ¶Νώσασθαι, αἰσθέσθαι, ἐνθυμηθῆναι νοῆσαι.

Ν ωσὸς, ῥέμβος, πτωχός. ¶Νωσίχολος, ἀμελὴς ῥᾴθυμος. ¶Νῶτα, τὰ αὐχένα, τὰ νωτιαῖα κρέα καὶ συνήθως ἡμῖν. ¶Νῶτα θαλάσσης, τὴν ἐπιφάνειαν αὐτῆς, ἢ τὰ πλάγια. ¶Νωτεῖς, οἱ ἀχθοφόροι ἡμίονοι, ἢ ἕλκοντες ζύγιοι. ¶Νωτίζειν. διώκειν τρέπειν. ¶Νωτίσαι, τὸ κατὰ νῶτα λαβεῖν καὶ περιαμείψασθαι φυγόντα. ¶Νωτίσασθαι, ὁ μὴ ὑπὸ ζυγὸν, ἀλλὰ τῷ νώτῳ ἀχθοφορῶν, ἄνθρωπος ἵππος ὄνος. ¶Νωφαιὸν, ἀφανές. ¶Νωφαλὸ. νωθρός. ¶Νωχελίζει, βραδύνει. ¶Νωχέλεια ἀσθένεια, βραδυτής. ἀργία, νωθεία μιλώτις ὁμοίως καὶ νωχελεία. ¶Νῶχμα, ὄνειδος. ¶Νῶψ, ἀσθενὴς τῇ ὄψει. ¶Νωχελὴς, ὁμαλὸς βραδὺς ἄχρηστος.

ΑΡΧΗ ΤΟΥ Ξ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Ξ ΜΕΤΑ ΤΟΥ Α.

Ξάινει, διαξέει, νήθει, σπαρεύει, ἐργάζεται ἔρια καὶ δέρρειν ἱμάντι. ¶Ξανύει, λέγει. ¶Ξάνδαρος, ζῶον ὅμοιον βοΐ γενόμενον κατὰ τὸ ἀτλαντικὸν πέλαγος. ¶Ξανᾶν, κοπιᾶν τὴν χεῖρα.

Ξ ανῆσαι, κοπιάσαι. ¶Ξανθὴ, ἡ ῥοία, καὶ ἡ καλὴ καὶ ἡ πυρρὰ, ἡ πυροειδής. ¶Ξανθίζεσθαι, κοσμεῖσθαι τὰς τρίχας. ἢ βλάπτεσθαι αὐτάς. ¶Ξανθιμίας βόλου ὄνομα. ¶Ξανθὸν, πυρρὸν καλὸν εὖ εἰργασμένον. χλωρὸν, ὁ δὲ ποταμὸς, ξάνθος καὶ ὄνομα.

Ξ άνια, κτένια. αἷς αἱ γυναῖκες χρῶνται πρὸς τὴν τρίχα καὶ ἃ φοροῦσιν ἐν τοῖς δίφροις. ¶Ξανθικὰ, ἑορτὴ μακεδόνων. ¶Ξανθικοῦ, μηνὸς, ἢ ξανθικοῦ ἀγομένη. ἔστι δὲ καθάρσιον τῶν στρατευμάτων.

Ξ ανθεῖσιν, ὀρνέοις. ¶Ξανίσατο, διενοήθη.

Ξ ανῶ, κοπιῶ. ¶Ξέεσθαι, σπανίζεσθαι. ¶Ξεναπεῖ, δέχεται ξένους. ὁ τὸ ὅλον ἡγεμονεύει, ὁ ξενοδοχήσας.

Ξ εναγοὶ, οἱ ἐπὶ ξένης ὁδοῦ ὁδηγούμενοι. ¶Ξεναγὸς, ὁ τῶν ξένων ἡγούμενος. ¶Ξεναγήσας, ξένον ὁδηγήσας. ¶Ξεναγῶν, ξενοδοχῶν. ὁδηγῶν καὶ ἄγων τοὺς ξένους. ¶Ξενασία, σύνταγμα. καὶ ὁ τούτων

ἡγεμὼν ξενοδόχος. ¶Ξενολόγος, ξένους συλλέγων.

Ξ ενία, κατάλυμα, καταγώγιον. ¶Ξενίζειν, τὸ ξένῃ χρήσασθαι φωνῇ. ¶Ξενίζεται, ξενοδοχεῖται.

Ξ ενίζουσα, ἀλλόφυλος ἀήθης καινή.

Ξ εστὸς, ὡμαλισμένος. ἐξεσμένος.

Ξ εστοῦ, ὡμαλισμένου, ἐξεσμένου. ¶Ξεῖνος, ὁ ἀπὸ ξένης φίλος. ¶Ξεῖνος, φίλος. ¶Ξείνια, τὰ ξένια δῶρα χαριστήρια ξενίας. ¶Ξεινοδόκος, ὑποδεχόμενος ξένους, καὶ μάρτυς. ¶Ξεινοδόχος, ὁμοίως.

Ξ εῖνοι, θεσσαλοί. ¶Ξεῖνον, ξένον. ¶Ξεινοσύνης προσκηδέος τὴν οἰκειότητα ἐμποιούσης.

Ξ εινοῦσαι, ξενοῦνται. ¶Ξειρὶς, ἀρωματικόν τι φυτόν. ¶Ξενικοὶ, στρατιῶται. ¶Ξενότατον φίλον.

Ξ ενηλασία, τὸ μὴ ἐᾶν ξένους ἐπιμίγνυσθαι.

Ξ ενηλατοῦνται, τύπτεσθαι τοὺς ξένοις ἐλαυνομένοις.

Ξ ενία, ὑποδοχὴ, φιλοξενία φιλία. δῶρα. κατάλυμα ὁ καταγώγιον. ¶Ξενίας δίκη, ἐπὶ τῶν ὡς πολιτῶν μετεχόντων τῶν δημοσίων. ¶Ξενίζειν, ξένῃ χρῆσθαι φωνῇ, ἢ ξένοις ἤθεσι. ¶Ξενίζουσαν, νέαν.

Ξ ενοδοκοῦμαι, μαρτύρομαι. ¶Ξενοδοκῶν, ξενοδοχῶν μαρτυρῶν. ¶Ξένοι, οἱ πολέμιοι. οἱ δὲ τοὺς πέρσας, οἱ δὲ, τοὺς ἀπὸ ξενίας φίλους ἢ ξένους.

Ξ ενολόγος, ξένους στρατιώτας συλλέγων.

Ξ ένος, ὁ θεῖος, ὁ ἐπιξενούμενος.

Ξ εῖνος δ' οὗτος ἐμὸς πατρῷος, ὁ ξενοδοκῶν καὶ ξενοδόχος. ¶Ξενὼν κατάλυμα. ὁ μεγάλως[*] λέγομεν.

Ξ ενῶνες, οἱ ἀνδρῶνες. ὑπὸ φρυγῶν. ¶Ξενώσεται, ὑποδέξεται. ¶Ξερὸν, τὸ ξηρὸν τῆς γῆς χέρσον.

Ξ έσαι, τεμεῖν, κόψαι, ξῦσαι, τεκτήνασθαι.

Ξ έσμα, ξόανον. ¶Ξέσαι, ξῦσαι.

Ξ έσαι, κατεσκευάσαι εἰργάζου.

Ξ εστὴν, ἐξεσμένην, παρὰ δὲ ξεστὴν ἐπάνωστε τράπεζαν. λέγει δὲ καὶ συνήθως ἐξέστησιν ἐλάτησιν.

Ξ εστὸν, γλυπτὸν λεῖον ποιετόν. ¶Ξεστῆσιν, εὖ ἐξεσμέναις καλῶς. ¶Ξέστριξ, κεῖθι ὁ ἐξάστιχος κνίδαισι.

Ξ ηραλοιφεῖν, τὸ χωρὶς λουτροῦ ἀλείφεσθαι, ἢ ξηροτριβεῖσθαι. ¶Ξηραλουτρεῖν, τὸ αὐτό. ¶Ξύελνοι, ποταμοὶ ἀεὶ ῥέοντες. ¶Ξηροκόλλα, σύνθεσίς τις παρὰ τοῖς χρυσουργοῖς. ¶Ξίμβραι, ῥοιαὶ αἰκλαῖς.

Ξ ίφαι, τὰ ἐν ταῖς ῥυκάναις δρέπανα ἢ σιδήρια.

Ξ ιφήρεις, ξίφος ἔχοντος. ξιφηφόρου. ¶Ξιφήρεις, ξίφη κατέχοντες. ¶Ξιφίας, ἰχθὺς ποιὸς καὶ δῆλος. ξιφιὸς ὁμοίως. ¶Ξιφίζειν, ἀνατείνειν τὴν χεῖρα καὶ ὀρχεῖσθαι. ¶Ξιφίρου. λιμὴν, αὐχύλος γλαύκῳ πτυιεῖ ὁ πορθμός. ταῦτα γὰρ πάντα τὰ ποιητικὰ ῥήματα. ἀφείων. ¶Ξιφισμὸς, σχῆμα ὀρχηστικὸν τῆς λεγομένης ἐμμελείας ὀρχήσεως. ¶Ξιφιστὴς, φορεὺς τελαμών. ¶Ξιφισμάτων, ὀρχημάτων.

Ξ ιφιστὴς, μαχαιρομαχία μάχη ἐκ χειρῶν.

Ξ ιφοδρέπανον, ἡ λεγομένη ἅρπη ὅπλον. ¶Ξιφομάχαιρα, ἡ μεγάλη μάχαιρα. ¶Ξιφοθήκη. βελοθήκη.

Ξ ίφος, μάχαιρα ὁ παραζώνιον ὁμώνυμον φάσγανον ξιφίδιον, καὶ παρά δέ τις. ¶Ξιφίδρια, κοχλία.

Ξ όανα, ἀγάλματα εἴδωλα, ζώδια, κυρίως δὲ, τὰ ἐκ ξύλων ἐξεσμένα ἢ λίθων. ¶Ξοάνων, προθύρων ἐξεσμένων. ¶Ξοὶς, μεταλλικὸν σκεῦος καὶ λιθουργικόν.

Νυθῶδες, σκοτεινῶδες. ¶ Νύκτα, σκότος ἢ χειμέριος· οἱ δὲ δασεῖαν. ¶ Νυκταίετος, ὄρνις ἱερὸς ἥρας ὁ καὶ ἐρωδιός. ¶ Νῦνκες, ἐκτεταμένον.
Νυκτελεῖν, ἐν νυκτὶ τελεῖν. ¶ Νυκτὶ ἐοικὼς φοβερὸς τὴν θέαν. ¶ Νυκτερεύειν, ἀγρυπνεῖν ἀττικοί.
Νυκτερινοὶ κύνες, οἱ λύκοι· τινὲς δὲ εἶδος ὑποδήματος γυναικείου. ¶ Νυκτερὶς, πετεινὸν νυκτερινόν.
Νυκτίβιος, ὁ ἐν νυκτὶ ὡς ἡμέρᾳ διάγων. τοιαῦτα δὲ τὰ θηρία καὶ τὰ πλεῖστα τῶν πτηνῶν. ¶ Νυκτίλη, γένος τι τῶν τὰς λοιμικὰς νόσους ἐκδιωκόντων.
Νυκτὶ ἐοικώς. καταπληκτικὸς καθάπερ νύξ.
Νυκτὶ θοῇ, τῇ ταχείᾳ. ἡ γὰρ ἡμέρα πολύμοχθος οὖσα διὰ τὰ ἔργα μακρὰ ἡμῖν φαίνεται. ἡ δὲ νὺξ διὰ τὴν ἀνάπαυσιν ταχεῖα. ¶ Νυκτιπόλοις, νυκτὸς ἀναστρεφομένοις καὶ πολοῦσι. ¶ Νυκτιλόχοις τοῖς νυκτὶ ἐνεδρεύοντας, ἢ λῃστάς. ¶ Νυκτιπετόμενος, ὁ νυκτικόραξ.
Νυκτίμαντις, μάντεως εἶδος. ¶ Νυκτομαχία, ἐν ᾗ νυκτὸς μάχονται οἱ πολέμιοι καὶ οὐχ ὁρῶσιν ἐν τῷ σκότει. ¶ Νυκτὸς ἀμολγῷ, μεσονυκτίῳ. περὶ ἣν ὥραν οὐδεὶς μολίσκει. ¶ Νύκτωρ, νυκτός. ¶ Νυκχάσας, γράφεται δὲ καὶ νυκχάσας, ὅπερ ἐστὶ νεανιευσάμενος, τὸ δὲ νυκχάζεις, νύξας. ¶ Νυμφαγωγεῖ, νύμφην ἄγει. ¶ Νυμφαγωγὸς, ὁ μετερχόμενος ἑτέρῳ νύμφην, καὶ ἄγων ἐκ τοῦ πατρὸς οἰκίας, ᾧ πρότερον γεγαμηκότι, οὐκ ἔξεστι μετελθεῖν, διὸ ἀποστέλλουσι τῶν φίλων τινάς, διαφέρει γὰρ ὁ νυμφαγωγὸς τοῦ παρόχου. καλεῖται γὰρ πάροχος τῶν φίλων τις ὁ ἐπὶ τῷ ὀχήματι ἅμα τῇ νύμφῃ καὶ τῷ νυμφίῳ ὀχούμενος οἷον παράνυμφος. ¶ Νύμφαι, οἱ πτερωτοὶ μύρμηκες καὶ οἱ σκώληκες οἱ πτεροφυοῦντες, οἱ ἐν τοῖς τῶν μελισσῶν κυττάροις, οἱ δὲ καὶ αἱ ἀνὰ μέσον τῶν γυναικείων αἱ νύμφαι, καὶ τῶν ῥόδων αἱ μεμυκυῖαι κάλυκες καὶ αἱ νεόγαμοι κόραι καὶ μοῦσαι καὶ θεαί. ¶ Νυμφαῖον, ὄχθον, ἰωνὸ πάρος, ὃν ὁ ἀλφειὸς τὴν ἀρκαδίαν παραμειβόμενος, τὰς λεγομένας ἀλυφὰς διέρχεται, οἱ δὲ περὶ ποταμὸν νυμφαῖον δ' ὄρος ἀκούει τὸ περὶ τὴν ἀρκαδίαν. ¶ Νυμφεύτρια, ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ παράνυμφος. ¶ Νυμφέων, νυμφῶν ἱερόν. ¶ Νύμφη, ἡ νεωστὶ γαμηθεῖσα καὶ ἡ ἐν τοῖς ἄστροις αἲξ ἡ ἀμάλθεια, ἡ καὶ μοῦσα. καὶ τὸ μεταξὺ τοῦ γενείου καὶ τοῦ κάτω χείλους ἐμμέσῳ κοῖλον, καὶ ἡ τοῦ διὸς μήτηρ καὶ ὁ ἐν τοῖς μελισσείοις σκώληξ.
Νυμφιδίην, νεωστὶ νενυμφευμένην. ¶ Νυμφικὰ λουτρὰ τὰ μήλια λουτρὰ ἦν ἀπὸ κρήνης ἀποδεδειγμένης.
Νυμφίδες, ὑποδήματα γυναικεῖα νυμφικά.
Νυμφίον καὶ νύμφην πάντα τὸν γήμαντα καὶ παιδοποιησάμενον, κἂν πολυχρόνιος ᾖ, νυμφίος ὅς ῥα θανὼν ἀλλοὺς ἀκάχησι ρκῆας. ¶ Νυμφόβας, ἀχαιὸς, ὃς ἦν δεινὸς, ἐπιβαίνων ταῖς νύμφαις, καὶ ἐν μύροις. βαβαὶ βαβαὶ βάσομαι γυναῖκες. ἐπὶ τῆς ἀφροδίτης.
Νυμφοκόμος. ἡ νυμφεύτρια, ἡ κοσμοῦσα τὴν νύμφην.
Νυμφόληπτοι, οἱ κατεχόμενοι νύμφαις, μάντεις δὲ εἰσὶ καὶ ἐπιθειαστικοί. ¶ Νυμφοπόνος, ὁ περὶ τὴν νύμφην πονούμενος. ¶ Νυμφοστόλος, νυμφαγωγός.
Νυμφοτιδεῖς, ἄρχοντες τινές. ¶ Νῦν ἐπὶ τοῦ παρόντος, ἐνίοτε δὲ ἀντὶ τοῦ δὲ παραπληρωματικοῦ, καὶ

ἐπίρρημα χρόνου ἐνεστῶτος. ἄλλοι δὲ καὶ τὸ ἀρτίως.
Νῦν δὲ, ἐπὶ τοῦ πρότερον. ¶ Νῦν δὲ θεοὶ μάκαρες. τοῦτό φασιν ἐξώδιον εἶναι ξαγγελῶν. νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοι ἔστησαν. ¶ Νῦν γε δὴ, ἀντὶ τοῦ ἄρτι. ¶ Νῦν κ' εἴη, ἀντὶ τοῦ νῦν καιρός.
Νύννιον, ἐπὶ τοῖς παιδίοις καταβαυκαλουμένοις φασὶ λέγεσθαι ὁμοίως καὶ τὸ νύννιος. ¶ Νῦν τ' ἦλθες ἐς χορὸν, νῦν τ' ἔπραδες, νῦν εἰς χορὸν ἦλθες καὶ νῦν ἔπραδες. ¶ Νὺξ, ἡ σωματοειδὴς θεός. εἰμὶ νὺξ δὴ μήτηρα θεῶν ἑστιῶσι, καὶ ἡ συνήθως λεγομένη νύξ.
Νυοί. νύμφαι. ¶ Νύξειν, ἐκ χειρὸς ἐξῶσιν, νύξε δ' ἐμὴν χεῖρα μέσην. ¶ Νυὸς νύμφη γεγαμημένη. τοῖς τοῦ γήμαντος οἰκείοις. ¶ Νυρεῖ. νύσσει.
Νυρίζει, νύσσει. ξύει. ¶ Νυρῶν. νύσσων, ξύων. νύκτωρ
Νύσα ἢ νυσήιον, ὄρος οὐ καθ' ἕνα τόπον. ἔστι γὰρ ἀραβίας αἰθιοπίας. αἰγύπτου. βαβυλῶνος, ἐρυθρᾶς, θρᾴκης, θετταλίας. κιλικίας. ἰνδικῆς, λιβύης, λυδίας, μακεδονίας, νάξου περὶ τὸ πάγγαιον τόπος συρίας.
Νύσσει, παίει, ῥύσσει. ¶ Νύσσα, ὁ καμπτὴρ, ἀπὸ τοῦ ἐλθόντας κατ' αὐτὸν νύσσειν τοὺς ἵππους. ¶ Νύσσαι, ἐκ χειρὸς πατάξαι. ¶ Νύσιον, ὄρος διονύσου.
Νυσταγμὸς, ὕπνος. Νυσταλέον, ὑπνηλόν.
Νυσταλωπιᾶν, νυστάζειν. ¶ Νύστυχον, ὀλίγον ὑπνῶσαι. ¶ Νυττόμενος. κεντρούμενος, προσβαλλόμενος.
Νύχα, νύκτωρ νυκτί. ¶ Νυχία, διανυκτέρευσις.
Νυχίαι, νυκτεριναί. ¶ Νυχεύει, κρύπτει, νυκτερεύει.
Νύχμα, ὄνειδος λωλοιτωλός. ¶ Νυχὸς, νὺξ, σκότος.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ω.

Νῶβ, ἱμάς. ¶ Νῶβαι, πυγμαῖοι. ¶ Νωβαλεύματα, ἢ νωκαλίσματα, τὰ κατὰ λεπτὸν ἐδέσματα. οἱ δὲ, τὰ μὴ εἰς χορτασίαν, ἀλλὰ τρυφερὰ ἄρματα. ¶ Νωδὸς, ὁ ὀδόντας οὐκ ἔχων καὶ ἐννεὸς κωφὸς μὴ λαλῶν. ¶ Νώδυνον, ἀνώδυνον.
Νῶε, ἀνάπαυσις. ¶ Νωθεία, νωθεία ὀκνηρία.
Νωθεῖς, βραδεῖς ἄλογοι. ¶ Νωθὴς, ἐργάτης, ὁ δὲ μηκέτι σκιρτᾶν δυνάμενος. ¶ Νωθὴς, ὁ νωθρὸς κατὰ στέρησιν τοῦ θεῖν βραδὺς ἀμβλύς.
Νωθὴς ὁδὸς, ἡ μακρὰ ὁδός. ¶ Νώθητι. ἐνθυμήθητι· γνῶθι. ¶ Νωθουργὸς, ὁ δυνατὸς συγγίνεσθαι, ἢ ὄνος.
Νωθρὴξ, ὁδὸς μακρὰ ἢ νωθρά. ¶ Νωθροκάρδιος, βραδὺς κατὰ λογισμόν. ¶ Νωθρὸν, βραδύ. νωχελές. ἀσθενές. ¶ Νῶϊ, ἡμᾶς. ἡμεῖς. ἡμῶν.
Νῶϊν, ἡμῶν τῶν δύο καὶ ἡμῖν. ¶ Νωϊτέρην, ἡμῶν τῶν δύο, ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς. ¶ Νωΐτερον, ἡμῶν τῶν δύο ἡμέτερον καὶ νωΐτερον λέχος αὐτῶν.
Νωκαρ, νύσταξις, νωθεία. κακόχολος ἔννοια.
Νωλεμὲς, ἰσχυρὸν βίαιον οὐ τελέως καρτερὸν συνεχές.
Νωλεμέως, ἀδιαλείπτως καὶ τὰ ὅμοια. ¶ Νωλεμῶς, ἀδιαλείπτως καὶ τὰ ὅμοια. ¶ Νῶμα, νόημα ἐνθύμημα. ¶ Νωμᾶς, διοικεῖς.
Νωμᾶται, κινεῖται.
Νωμῆσαι, κινῆσαι, μετενέγκαι, διανεῖμαι, κυβερνῆσαι. ¶ Νώματα. ἐπὶ τῶν ὑποζυγίων τὰ γνωρίσματα, οἱ δὲ τὰ θρέμματα,

μόν. ¶ Νήχυτον, πολύ. ¶ Νίκας, κάδος.
Ν ικάρη, ἐσχάτη, ἡ νεάτη. ¶ Νικεξίς, ἐν καππαδοκίᾳ γενόμενος μῦς ὃν σκίουρον τινὲς λέγουσιν. ¶ Νίβα, χιόνα. καὶ κρήνην. ¶ Νιβάδες, αἱ περὶ λόφους ἔχουσαι αἶγες. ¶ Νιβατισμὸς, εἶδος ὀρχήσεως βαρβαρικῆς. ¶ Νιγλαρεύων, τερετίζων. ¶ Νίγλαροι, τερετίσματα, μικρὰ κρούσματα. ¶ Νίγλα, ζώπυρα, παρὰ πέρσαις. ¶ Νίζει, νίπτει, πλύνει, κλύζει, σμήχει. ¶ Νίδας, παίδων αἰδοῖα.
Ν ικαθρον, ἔπαθλον. ἐπινίκιον. ¶ Νικᾷ, κρατεῖ λιμᾷ. ¶ Νικάνωρ, ὄρος, ὃν καὶ τιμῶσι τινές.
Ν ικατῆρες, οἱ ἀκμαιότεροι ἐν ταῖς τάξεσιν.
Ν είκεα, φιλονεικία. ἔχθρα. ¶ Νίκην, λικμᾶν κρατεῖν.
Ν είκεσεν, ὕβρισεν. ¶ Νίκεστρον, νικητήριον.
Ν ικᾶσθαι, ἀπέχεσθαι. ¶ Νικητήριον, ἔπαθλον.
Ν ίκλον, τὸ λικμόν. ¶ Νίκον, διαφθορά. ¶ Νικόστρατος, εἶδος ἀμπέλου. ¶ Νικύρτας, δουλέκδουλος.
Ν ίμματα, λεπτὰ πλώματα. ¶ Νὶν, αὐτὴν, αὐτὸν, αὐτό. ¶ Νινηδὸς, ἀηδόνες, οἱ δὲ νεόκλεος καὶ νινιαστής.
Ν ινίαρος, νόμος παιδεραστώδης καὶ Φρύγιον μέλος.
Ν ίνον, τὸν καβάλλην ἵππον. ¶ Νίρνος, φθεὶρ, ἀχραοί, ὁ νίρμος. ¶ Νίρον, μέγα. ¶ Νίσεσθαι, πορεύεσθαι.
Ν ισᾶν, ὁ ἀρτεμίσιος μὴν, καὶ ἰλίου πόλις. ¶ Νισσόμενον, πορευόμενον. ¶ Νιφάδες, ἕλκη ξαύματα, σπινθῆρες ψεκάδες. ¶ Νιφὰς, ὁ τῆς χιόνος κατ᾽ ὀλίγον ἀπόρροια. νιφάδας δ᾽ ὡς ἔπταλον ἔραζε. τὰς μὲν ψεκάδας ψιάδας φησὶ τὰς αἵματι πέσας δὲ ψιάδας κατέχευεν ἔραζεν. ¶ Νιφετὸν, νιφάδα λελευκασμένον. ἰφθ. χιονίζει. νίφετος, ἡ τῆς χιόνος καταφορὰ χιὼν λεπτὴ χιονισμὸς, πύχων, ὁ πολὺν ὄμβρον, ἀλλ᾽ ἤτοι ἢ νιφετὸν, ἢ χάλαζαν. ¶ Νιφοβόλοις, ξενίοις.
Ν ιφοβόλον, ὑψηλόν. ¶ Νιφόειν, χιονώδη.
Ν ιφόεντα, χειμέρια χιονώδη, χιονιζόμενα.
Ν ιφόεσσα, ἐλεγεν αὐτὶ τῆς λευκοίων φρουροῖς.
Ν ιφομένη, χιονιζομένη. ¶ Νόψεως. νουνεχείας.
Ν ειὸν, ὀροτετειωμένη γῆ.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ο.

Ν όα, πηγὸ λάκωνος. ¶ Νοαρέως, νουνεχόντως. ¶ Νόει, συλλογίζου σκόπει.
¶ Νοερὸν, πνευματικόν, νοερὸν μὲν ἐστι τὸ νοοῦν νοητὸν δὲ τὸ νοούμενον. ζοφὸ δὲ ζόφον πινὰ τῆς νοοῦντος, τὸ νοούμενον. οὕτω μὲν οὖν κυρίως. λέγονται δὲ καὶ ἀναλλὰξ καταχρηστικῶς. ¶ Νοήμονες, νοήμονες, νόημα σύνεσις. ¶ Νοήμων, συνετὸς ἔμπειρος γνωστικός.
Ν οήσει, ἐνθυμεῖται. ¶ Νόησιν, ἐφράσθη.
Ν οητὰ, τὰ μὴ ὁρώμενα. ¶ Νοθεῖ, φοβεῖται, ἀγριαίνει, νωθεῖ. ¶ Νοθεύει, ἀπαλλοτριοῖ ἀπατᾷ κολακεύει. ¶ Νοθογένητα, πορνογέννητα, οἱ μὴ γνήσιοι παῖδες, ἀλλ᾽ ἀπὸ πόρνης, ὁ φίλης, ἢ δούλης, ἢ παλλακῆς, ἀλλότριοι. ἢ δυσγενεῖς, ὁ ψευδεῖς.
Ν όθος. ψευδής. ¶ Νυοὶ, αἱ τῶν υἱῶν γυναῖκες.
Ν ωλεμέ. ἀδιαλείπτως. ¶ Νομάδες, βοσκόμεναι ἀγέλαι. ¶ Νομάδες, ὁμέραι, αἱ φθίνοντος τοῦ μηνός. ¶ Νομάδες, βαρβάρων ἀγρίων.

Ν ομαὶ. βοσκόματα βοσκαί. ¶ Νομαδίστιχοι, ἀπὸ τῶν νομῶν κατὰ στοῖχον ἐρχόμενοι. ¶ Νομάειον, σκεῦος ξαγικόν. ¶ Νομάρχης, ὁ νόμων ἄρχων. νόμους δὲ λέγουσι τὰ μεγάλα χωρία. ¶ Νομέας, ξύλα πολυφόρα. ¶ Νομεῖς, βασιλεῖς ἡγεμόνες, καὶ τῶν πλοίων τὰ ἐγκύλια καὶ χοῖνοι ἁρμενέων.
Ν ομαλέως, ἀδιαλείπτως. ¶ Νομεὺς, ποιμὴν, ὁ μεριζόμενος, ἢ μέρος λαψόμενος. ¶ Νομὴ, διαίρεσις μερισμὸς νέμεσις. ¶ Νομῆες, ποιμένες. ¶ Νομὸ, ζοφὸ βοσκὸ ποινὸ, μερὶς ὕδατος. ¶ Νομώματα, δικαιώματα. ¶ Νομίζειν, οἴεσθαι λέγειν. ¶ Νομιζόμεθα νόμιμα οἰόμεθα. ¶ Νομιζόμενα, νόμιμα, ἔννομα.
Ν όμιον, δίκαιον. ¶ Νομοθετεῖ, νομοποιεῖ.
Ν ομοίστορες, νομομαθεῖς. ¶ Νομὸν, νομήν.
Ν όμος, θεσμὸς συνήθεια. νομὴ, τόπος ἢ λόγος. καὶ ὁ ποικτὸς τῶν καθ᾽ ὁμᾶς νόμων. ¶ Νόμος, ὁ ποιητὴς τῶν καθ᾽ ὁμᾶς νόμων, οὐκ οἶδε θέμις, τὰς δὲ καὶ εὐνομίας λέγει ἀπὸ τῆς νεμέσεως ὁ ἄνθρωπος, ὕβριν τε καὶ εὐνομίαν. ¶ Νόμος πάντων, ὁ βασιλεὺς κατὰ τὴν φύσιν. ¶ Νομῷ, τῇ νομῇ. ¶ Νόον, νοῦν.
Ν όον, πολυκερδεία νωμῶν, τὸν ἀπατηλὸν καὶ ψεύστην νοῦν ἐπὶ πολλὰ τρέπων, ἄλλο ἐπ᾽ ἄλλο διανοούμενος.
Ν όος. νοῦς. ¶ Νόου, τοῦ νοῦ τοῦ λογισμοῦ. ¶ Νοοῦσι, φρονοῦσιν ἢ συνιοῦσι. ¶ Νορβὰ, καλό. ¶ Νορβεῖ, ἐντρεμεῖται. ¶ Νορβακινοὶ, ἀσθενεῖς. ¶ Νόρρος, ἄνθος μήλινον λωτῶ. γίνεται δέ τι καὶ δένδρον ἐν παραλίᾳ. ὅπερ ἔνιοι, νορβὰν καλοῦσιν. ¶ Νορύττειν, γῆν ὀρύττειν. ἔστι δὲ εἶδος ὀσπρίου. ¶ Νώροπα. λαμπρά.
Ν οσακέρως, νοσώδης, τρυφερὸς μαλακός. ¶ Νοσηλεύεται, νοσεῖ, ἢ νοσοῦντα ὑπηρετεῖ. ¶ Νοσηλεύουσι, γενῶσι. ¶ Νοσσιδὲς, ὑπόδημα γυναικεῖον.
Ν όσος μεγάλη, ἐπιληψία. ¶ Νοσοῦν, στασιάζειν.
Ν οστῆσαι, ἐπελθεῖν, ἀφικέσθαι, ἀνακομισθῆναι ὑποστρέψαι. ¶ Νοσηλεύεσθαι, νοσοκομεῖσθαι.
Ν όστιμον ἦμαρ, τὸ σωτήριον ἢ ἀνακομιστικόν. ἀνακομιστικὸ ὁμέρα. ¶ Νόστιμος, ὥριμος. καὶ τὰ ὅμοια.
Ν όστοις. βίβλοις οὕτω καλούμενοι. ¶ Νόστος, ὁ εἰς οἶκον ἀνακομιδή. ὁ ἐπάνοδος, ἢ ὁ ἀνάδοσις τῆς γεύσεως.
Ν όστου. προμαθόντες χρόνου πολλοῦ, νόστου προμαχοῦμες. ¶ Νοσφίδιον, κλοπιμαῖον λαθραῖον.
Ν οσφίζεσθαι, λανθάνειν, πλεονεκτεῖν. ¶ Νοσφιζοίμεθα, ἀγνοίμεθα ὅ ἐστ᾽ ἄλλό τι ξαποίμεθα, ὁ κρύπτοίμεθα. ¶ Νόσφιν, χωρίς. ἄνευ. λάθρα. δίχα ἐκτὸς, μακράν. ¶ Νοσφίζεται, ἰδιοποιεῖ. κλέπτει. ἀποστερεῖ, ἀφαιρεῖ. χωρίζει. ¶ Νοσφιζόμενος, ἀφαιρούμενος, κλεπτόμενος, ὁ κλέπτων. στερῶν. ¶ Νόσφιν ἑῶν, χωρὶς ὑπάρχων. ¶ Νουμήνιος, ὄρνεον ὅμοιον ἀτταγᾶ. ὁ καὶ ζόχιλος. ¶ Νουνεχέσιν, ὀξυτέροις, μεγαλοφυεστέροις συνετοῖς. σοφοῖς. ¶ Νοῦ πέρα παντὸς ὑπὸ βράχειο παντὸς νοῦ. ¶ Νοῦς ψυχὴ, ποταμὸς, καὶ ἡ μονάς. κυρίως δὲ σώφρονος ψυχῆς ἐνέργεια.
Ν οῦσος, νόσος λοιμικό. ¶ Νοῦς οὐ παρὰ κενταύροισι, παροιμιῶδες, ἔστι δὲ πιστάνδρας κωμμάτιον ἐπὶ τῶν ἀλωμένων πεττόμενον. ¶ Νοχαλὸς. ῥᾴθυμος χαῦνος.
Ν όφ, ἐν τῇ διανίᾳ. ¶ Νῦν, αὐτὶ τοῦ ἢ δὲ. καὶ δὲ νύγλ ὑπὸ κεῦζφ πλήττει. ¶ Νυσμὶ, κεύξον. ¶ Νυθὸν, ἀφωνον.

N εωρῶν, νεωφυλακτεῖον. ¶Νεώσοικον, λιμήν. ¶Νεωρόν, νέον. ¶Νεωρὸς, νεωσοικοφύλαξ. ¶Νεώσατε, ἀροτριώσατε. ¶Νεώσοικοι, τὰ νεώρια ἔνθα ἡ ναῦς χειμῶνος εἰσφέρεται. ¶Νεωσεῖ, καινίζει. ¶Νεὼς. ναὸς ἀττικῶς. ¶Νεωστὶ ἀρτίως προσφάτως περὶ μικροῦ.

N έωτα, εἰς τὸ ἐπιὸν ἢ νέον ἔτος. ¶Νεωτάτη, αὐτὶ τῆς ἐσχάτης τῆς ἐπιγινομένης ἐσχάτη. ¶Νεωτερίζει, καινὰ πράττει νέα. ¶Νεωτέρισον ἀνάστηθι πρεσβυτέρου, αὐτὶ τοῦ ἀνδραγάθησον. ¶Νεώτερον, οὐ μόνον συγκριτικῶς, ἀλλὰ καὶ νέον ἀττικοί. ¶Νεώχμως γῆ νεωστὶ εἰργασμένη. ¶Νεοχμάτην, νεωτάτην.

N ἦ κατὰ τῆς ὑπάρχοντος καὶ ἦν ἐάν. ¶Νῆα, ναῦν.

N ῆας εἴσας, τὰς ἰσοτείχους ἐν τῷ πλοίῳ. ¶Νῆάς τε. καὶ τὰ πλοῖα καὶ τὰς ναῦς. ¶Νηγάτεον, νεωστὶ γεγονότα. ἢ κατεσκευασμένον. ἢ εὐτετυγμένον.

N ήγρετος, ἀνέγερτος βαθύς. ¶Νηδύοις, ἐντέροις τῆς νηδύος περὶ τὰς κοιλίας καὶ νηδύεσι καὶ νηδύσι.

N ήδυμον, ἀνέκδυτον, ἔσχατον. ἡδύ. βαθὺ καὶ ἄδυμον μέν, ὃ οὐκ ἔστιν ἀποδύσασθαι διὰ τὸ βάθος. οἱ δὲ ἀναγινώσκοντες ὕδυμος ὕπνος. ¶Νηδύπτοις, ἀνυποδήτοις.

N ηλὶς, ἐλαιάστικ ἀπὸ μέρους μιᾶς πόλεως τῆς ἐλαιάρος ὕλης. ¶Νῆες, πλοῖα, ναῦς. νῆες.

N ήρη, νόσος. ¶Νῆσι, στορεύει καὶ ἐστόρεσεν.

N ήεσσι, ταῖς ναυσί. ¶Νηήσας, στορέσας. ¶Νηησάτω, πληρωσάτω, στορεσάτω. ¶Νὴ δὴ θεόν. μὰ δὴ θεόν. ¶Νήεον ὕλην, στορέσον ὕλην.

N ηί. τῷ πλοίῳ δοτικῶς. ¶Νήϊδα, ἄπειρον καὶ ἀδελφήν. ¶Νήϊδες, πληθυντικὸν ὁμοίως, καὶ νηΐδες τροι σημειωτικῶς. ¶Νηΐθη, ἀθλον περὶ ἀγωνίοις.

N ήϊα, ταῖς πύλαις ταῖς πρώταις καὶ τελευταίαις.

N ήϊον, ναυπηγήσιμον ξύλον τὸ εἰς νεὼς χρείαν ἐνθετόν.

N ῆϊς. ἄπειρος κατὰ στέρησιν τοῦ ἴσαι. ὃ ἐστι γνῶναι.

N ήϊστα, ἔσχατα, κατώτατα ἔσχατα. ¶Νηίστην, σχεδὸν τὸ ἐν ταῖς ναυσί. ¶Νηκοβολία, ἀκοβολὴ ἀνωφελής. ἄφωνα καὶ νηκοβολῆ ὁμοίως. ¶Νήκοβοι, μὴ ἔχοντες κέρατα. ¶Νήκεστον, ἀνήκεστον ἀθεράπευτον.

N ηκουστήσεν, οὐκ ἤκουσεν, ἠμέλησεν, παρήκουσεν.

N ηκτὰ, τὰ ἐν ὕδασι διαιτώμενα τὰ ἔνυδρα παρὰ τὸ νήχεσθαι, ὅ ἐστι κολυμβᾶν πλέειν. ¶Νηλεγὲς, ἀκηδὲς ἀφρόντιστον. ¶Νηλεγὴς, φροντιστὴς, θρηνητής.

N ηλεγέως, ἀνοίκτως. ¶Νηλέγεα, θρήνεα, ἢ λεία.

N ηλεῆ. ἀνηλεῆ σκληρῷ. ¶Νηλεὲς ἦμαρ, ἡμέρα σκληρά. ¶Νηλεὴς. ἀνηλεὴς. σκληρά.

N ηλεῖ χαλκῷ τῷ ἀνηλεῖ σιδήρῳ.

N ηλεῶς, λεαίνως ἀνηλεῶς καὶ τὰ ὅμοια. ¶Νηλῆς, ὅμοιος. ¶Νηλιτεῖς. ἀναμάρτητοι, παρὰ τὸ μὴ ἀλιτεῖν, καὶ νηλίτιδες τὸ αὐτό. ¶Νηλίτιος, ὁ τῆς νηλέως παῖς. ¶Νηλίποδοι, ἢ νήλιποι, ἀνυπόδητοι.

N ηλιτέες, ἀνηλεεῖς, ἄνοικτοι ἀναμάρτητοι ἀνύποι ἀχειστοι. ¶Νηλὸς, ἱερὸν. ἄμεινον λιμός. ¶Νῆμα, νῆμα ὕφασμα. ¶Νημερτὲς, ἀναμαρτὲς ἀληθὲς σαφές. ¶Νημερτὴς. ἀναμαρτὴς καὶ τὰ ὅμοια.

N ῆν, νήθειν. ¶Νηνεμία, γαλήνη ἀνέμων.

N ηνεμίης, πνοῆς ἐκτός. εὔδιον νήνεμον ἄνευ ἀνέμων. εὔπνουν εὔδιον ἥσυχον ἄπνουν καὶ ἀνήνεμον τὸ αὐτό.

N ηνεμούμενον, καθιστάμενον ἐκ ταραχῆς εὔδιον ἥσυχον

N ηνίτου, σύγκειται, ἢ νήνι. ¶Νηοθείξαντες, θρηνοῦντα λαλοῦντα. ¶Νηὸς, ναοῦ πλοίου ἱδρυοῦ.

N ηὸς ἰούσης, τῆς νεὼς πορευομένης. ¶Νηοφύλαξ· φύλαξ πλοίου. ¶Νηπακτέας, ἀκτενίστους.

N ηπενθὲς. ἀπενθές. ἀπένθητον. ¶Νηπία, μικρὰ παιδία. ¶Νηπιάζεται, μωραίνεται. ¶Νηπιαχεύων, τὰ τοῖς νηπίοις ἁρμόζοντα πράττων παιδαριευόμενος. νηπιευόμενος. ¶Νηπιάχοι, νήπιοι, ἀνόητοι, μάταιοι, νεαροί. ¶Νηπιέη, ἡ τῶν νηπίων ἡλικία. ¶Νηπιέησι. νηπιότησι. ¶Νηπίη, ἀθλίης κοινή. ¶Νηπιάας ὀχέειν. νηπιότητας ἀφροσύνας καὶ ματαιότητας ἔχειν ἢ ὑπ' αὐτῶν ἔχεσθαι.

N ήπιον, νεογνόν. νεώτερον, μικρὸν ἀνόητον, ἄφρον, ἢ ἀφρονέστερον. ¶Νήποδες, ἰχθύες. ¶Νηποινὶ, ἄνευ τιμωρίας. ¶Νηποίνιον. ἀτιμώρητον ἀνεκλάλητον ἀνέκτιτον. ¶Νήπους, ἢ νήποδος, ἀνυπόδητος.

N ηπλικωτάτην, νήφειν ποιοῦσαν.

N ηπυθὲς, ἄσαυστον. ¶Νηπύτια, βοητὰ κήρυξ μικρόφωνος. ¶Νηπύτιον, νήπιον ἄφωνον, ἄφρονα ἀνόητον. ¶Νηρέα, μαράθου. θάμνος. ¶Νηρεὺς, θαλάσσιος δαίμων ἀλκμὰν καὶ πόρκον ὀνομάζει.

N ηρίθμοις, ἀναριθμήτοις ἀπείροις. ¶Νήρικος, πόλις ἠπείρου. ¶Νηρίδας, τὰς κοίλας πέτρας.

N ηρίτη, σεμνή. ¶Νηρίτης, μεγάλη. ¶Νήριτον, ὄρος ἰθάκης ἀντικρὺ τῆς ἠπείρου καὶ τὸ πολύ. χλωρόν, ὑγρόν. θαλερόν. ἁπαλόν. ἀεὶ ῥέον. ¶Νήριτος, ὁ νηρίτης. ὅ ἐστι κογχύλιον κοχλιῶδες, ποικίλον.

N ηριτόμυθος ὑπὸ τοῦ γήρως πεπτωκώς. ᾧ οὐκ ἄν τις ἐρίσειε πρὸς μύθους. ¶Νηριτόφυλλον, πολύφυλλον.

N ηρὸν, τὸ ταπεινόν. ¶Νῆς, τὸ ἐνὸς ὥσπερ δύο εἰς τρίτην. δωριεῖς δὲ νῆς λέγουσι. ¶Νησαῖα, λίθος. ἐν τῇ νῦν σαρδόνι δὲ τὸ ἐν σαρδόνι ἀνεῖσθαι, οἱ δὲ σμάραγδον. ¶Νησαίας. ἵπποις μεταξὺ τῆς σουσιανῆς καὶ τῆς βακτριανῆς πέρας ἐστὶ κατὰ τὰ σύνορα, ὅπερ ἐκαλεῖτο νῆσος, ἐνταῦθα ἵπποι διάφοροι γίνονται. νυστάζει, ἐν νυκτὶ ἀπελθοῦσα μάστιγμά τι ποιεῖν.

N ῆσοι, τόποι ἐμμέσῳ θαλάσσης.

N ηστόμηθα, κορέσθητε ὀμήθα. ¶Νῆστιν, νηστεύς.

N ῆστις, ἄσιτος νηστεύων. ¶Νῆσσας, τόπος ὑψηλὸς ἔχων ἐνύδρασι. ¶Νηστεῖρα, ἡ μή ποτε στερομένη τροφῆς.

N ηστις, ἀσιτία καὶ τὸ μεταξὺ τῆς κοιλίας καὶ τὸ τοῦ στομάχου ἔντερον, ἐν ᾧ οὐδέποτε κόπρος εὑρίσκεται. ὅθεν κέκληται νῆστις. τοῦτο δὲ τῷ ἐντέρῳ, τὰς χορδὰς παρειλοῦσιν οἱ μάγειροι. ¶Νήτεα. κίνητα.

N ητὴν. μὰ τὴν. ¶Νὴ τὴν ὑγίειαν. μὰ τὴν ὑγίειαν.

N ῆτος, ἔσχατος, ἢ πολὺ σεσωρευμένος. ¶Νῆττον, πλῆρες μεστόν. ¶Νὴ τὼ θεώ. ὅρκος κατὰ δήμητρος καὶ κόρης. ¶Νηυσὶ, ναυσὶ πλοίοις. ¶Νηφάλιοι, νήφοντες, μὴ μεθύοντες, ἢ θύματα καὶ βωμοί, ἐφ' ὧν οἶνος οὐ σπένδεται. ἢ σοφοί. ¶Νηφάλια ξύλα τὰ μὴ ἀμπέλινα, ἢ συκάμινα ἢ σύκινα. ἐκεῖνα γὰρ οἰνόσπονδα λέγονται. ¶Νηφαλισμένον ὕδατι, οὐκ οἴνῳ ἐσπεισμένον. ¶Νῆφε. γρηγόρει. σωφρόνει εἴφω καὶ νίφε βρέχε. χιὼν γὰρ ἡ κατὰ μικρὸν φερομένη λεπτῶς καὶ ὁ λεπτὸς ὄμβρος νιφετός. νίφει δὲ τὸ χιονίζει.

N ήχονται. ¶Νήχεται, κολυμβᾷ. ¶Νήχεται,

Νεμέσεις, θέας. ἀθηναῖοι τὰς ἐν τῷ θεάτρῳ καθέδρας, ψηφίσματι νενεμημένας προεδρίας ἱερεῦσιν.

Νέμεσις ὑποκειτῶν, οἱ ποιηταὶ ἐλάμβανον, φασὶ ὑποκειτάς κλήρῳ νεμηθέντας, ὑποκειμένους τὰ δράματα, ὧν ὁ νικήσας εἰς τοὔπιον ἀκείτως παρελάμβανε τε, ἔστιν οὖν ὡς ὧν διαίρεσις. ¶ Νεμεσήσω, μέμψομαι. ¶ Νέμοιτο, καρποῖτο. βόσκοιτο ξέφοιτο διαμερίζοιτο. ¶ Νέμος, σύνδενδρος τόπος καὶ νομὴν ἔχων, καὶ τὸ γυναικεῖον αἰδοῖον, καὶ νάπος καὶ τὸ τοῦ ὀφθαλμοῦ κοῖλον. ¶ Νέμω, νομίζω, ἀναγινώσκω βόσκω. ¶ Νεναμένην, προλελοιμένην. ¶ Νεναομένας, πεπλασμένας. ¶ Νεναασμένως, ἐπαινετικῶς. ¶ Νεναυμαχηκώς. ἐν πλοίῳ πολεμήσας.

Νενευκότι, βλέψαντι. ¶ Νενευκέναι, τεθνηκέναι.

Νενημένων, σεσωρευμένων. ¶ Νένηται, πεπλήρωται, σωρεύεται. ¶ Νενίηλος, τυφλός. ἀπὸ τοῦ ἀνηκόντος. ¶ Νεννάζει, κακολογεῖ. ¶ Νεννός, ἀδελφός. ¶ Νεννὸς θεῖος. ¶ Νενόσφισται νενόσφισται. ¶ Νενόμισται. διανενόηται. ¶ Νενωκόντως, πεπαγιωκότως. καταπεπληκται. ¶ Νενόωται, ἐν νῷ ἔχει. ¶ Νέξας, τὰ σώματα.

Νεοαλδέα, νεωστὶ αὐξανομένην. ¶ Νεοαρδέα, νεοποτιστα.

Νεοβόρον, νεωστὶ βεβρωμένον. ¶ Νεόβροχοι. ἔγκυοι.

Νεογιλὸν, νεογνόν, νέον. ¶ Νεογιλοῦ. νεογνοῦ, νεαρᾶς. νέας. νεωστὶ γεννηθείσης. ¶ Νεοδαμώδεις, οἱ κατὰ δόσιν ἐλεύθεροι ἀπὸ τῆς εἱλωτίας. ¶ Νεοδέρτας, ἐκ σφαγῆς νεωστὶ ἀφῃρημένον. ¶ Νεοδμήτην, νεωτέραν. ἢ νεωστὶ δμηθεῖσαν. ἢ οἰκοδομηθεῖσαν. ¶ Νεοεργές, νεωστὶ εἰργασμένον προσφάτως. ¶ Νεοινία, ἑορτὴ διονυσίου.

Νεοθάλαμος, καινός. ¶ Νεοθαλὴς, νεωστὶ θάλλουσα.

Νεοθαλὲς, νεωστὶ ἀνθῶν. ¶ Νεοθηλές. νεόβλαστον. νεόφυτον. ¶ Νεοθηλής. νεωστὶ βλαστήσασα. ¶ Νεόθρεπτον, τὸ νεωστὶ τεθραμμένον. ¶ Νεοθρόοις, νεοαυξέσιν. νεωστὶ ὁρμῶσιν, αὐξανομένοις. ¶ Νέοιαι, ἀφροσύναι. ¶ Νεοίη, ἡ νεότης. ¶ Νεοκηδεῖ, νεωστὶ πενθοῦντι. ¶ Νεοκμήτω, νεωστὶ κατεσκευασμένω. ¶ Νεοκόρος, ὁ τὴν ἐκκλησίαν κοσμῶν. κορεῖν γὰρ τὸ σαροῦν. ¶ Νεοκρᾶς, νεωστὶ κεχαραγμένας.

Νεόκρατοι, τινὲς κρατῆρες ἐλέγοντο, ὧν ἡ χρῆσις διττὴ καθειστήκει, ἔν τε γὰρ τοῖς παραλελειμμένοις καὶ ἐν ταῖς ἑστιάσεσιν, ἤγουν σπονδαῖς. ¶ Νεόκτιστον, νεοκαθίδρυτον. ἢ νεωστὶ κατεσκευασμένον. ¶ Νεολαία, νέον ἄθροισμα, ἡ νεότης. ἢ νέος λαός. ¶ Νεόλεκτος, νεοστράτευτος. ¶ Νεολιγόν, νεογνόν. ¶ Νεολώφητοι, νεωστὶ λελωφηκυῖαι τῆς μανίας. ¶ Νέομαι, πορεύομαι. ἀπέρχομαι. ¶ Νέον, νεωστί. ¶ Νεομηνία, ἡ πρώτη τῆς σελήνης ἡμέρα. ¶ Νέον ἡβώοντα, ἀρτίως ἡβῶντα, ἄρτι ἀκμάζοντα. ¶ Νεοπαγῆ νεωστὶ πεπηγμένον. ¶ Νεοπενθής, αἰχμάλωτος. ¶ Νεοπαθῆ, τὰ οὐ πρότερον ἱστορημένα ἀλλ' ἀρτιμαθῆ. ¶ Νεόπορτοι, υἱοί, ἢ θυγατέρες. ¶ Νεοργής, νεωστὶ εἰργασμένος.

Κρισμιον, φυλακεῖον. ¶Κριτὰν, κριτήν. ¶Κρίτανος, τέρμινθος. ¶Κρῖτας, ὀδόντας. ¶Κριτήριον, δοκιμαστήριον, δικαστήριον. ¶Κριτικὸς ἐνθυμήσεων, διακρίνων λογισμούς. ¶Κριτὸς, ἄριστος ἐπιλελεγμένος ἐπίλεκτος. ¶Κριῶθεν, ἀπὸ δήμου. ἔστι δὲ ὁ κριωθεὺς δῆμος, φυλῆς τῆς ἀντιοχίδος.

Κροαίνων τοῖς ποσὶ κρούων ὁ ἐπιθυμῶν. ¶Κροβάντιον, πολίον. ¶Κροβυζοὶ, γένος θρακικόν.

Κρόβαλος, ὁ ὁμαλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων. ¶Κροιὸς, νοσώδης ἀσθενής. ¶*Κροῖσοι, στατῆρές τινες κρόκα ὁ κρόκη. ¶Κρόκη, σπέρματος εἶδος ἢ ῥοδάνη. ¶Κρόκαι, παραθαλάσσιοι ψῆφοι. ¶Κροκάλαι, ψῆφοι ἀκταὶ ἄμμος.

Κρόκαλον τὸ πανοῦργον παιδίον. ¶Κροκόδειλος. τὴν τύλην καὶ τὸ ζῷον καὶ τὸ ἐν τῷ νείλῳ, καὶ τὸ χερσαῖον. ¶Κροκόπεπλος, κροκοειδῆ ἱμάτια ἔχουσα.

Κρόκος, τὸ κροτεῖν, καὶ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοιοῦτον ἔχοντες κρόκη. ¶Κροκότας, ζῶόν τι παρὰ τοῖς αἰθιοπικοῖς. ¶Κροκίδες, γνάφαλα.

Κροκύλεγμος, τὸ κολακευτικῶς τὰς κροκίδας ἀπολέγειν τῶν ἱματίων. ¶Κροκύλια. πόλις. ¶Κροκὶς, ὁ ἐχίδνιος βοτάνη. ¶Κροκώδης, τινὲς ὡς δυσλύτων ὄντων τῶν ἐκ τῆς κρόκης δεσμῶν, ἔνιοι δὲ ὡς κρόκου φυομένου ἐκεῖ. τινὲς δὲ κροκώδη, ἐκ κροσσῶν τινων ἐστραμμένων. ¶Κρολίαζε, πλησίαζε θᾶττον.

Κρόμβος, ὁ κόνδυλος καὶ ὁ καπυρός. ¶Κρομβότατον,

Κράνεια, λεπτοκάρεια. ¶ Κρανέεσθαι, τελέσαι, πληρῶσαι. ¶ Κρανέσι, πολυκεφαλαίαις. ¶ Κρανέω. ἐπιτελέσω. ¶ Κράνεες. πολυκεφαλαίας.

Κρανία, τόξον εἶδος δένδρου πολυκεφαλαία. ¶ Κρανίξαι, ἐπὶ κεφαλὴν ἀπορρῖψαι. ¶ Κράνιοι, διὰ κεφαλαιώσεως αὗται τέσσαρες κράνιοι. ¶ Κράνιον, πλατύ, ὑψηλόν. σεμνόν. ἰσχυρόν. ὀχυρώδης καὶ ἡ κεφαλὴ ἡ γυμνάσιον. ¶ Κράνος. πολυκεφαλαία.

Κράντωρ, βασιλεύς. ¶ Κραντῆρες, ὀδόντες. οἱ ὕστερον φυόμενοι, οἱ λεγόμενοι σωφρονιστῆρες. οἱ δέ, τόπον κεφαλαιώσεως. ¶ Κραντήειοι, οἱ κραίνοντες ἐπὶ πλουτῶν. ¶ Κράξαι, βοῆσαι ἠχῆσαι. ¶ Κράος, ἐν ᾧ τὴν γῆν σκάλλουσι. καὶ ἡ σκαλευομένη ἄμπελος.

Κράπαθος, ἡ Κάρπαθος. ¶ Κράπαθα, τὴν Κάρπαθα. νῆσον. ῥόδον. ¶ Κραπαταλίας, ἀνεμώδης ἢ ἀσθενής. καὶ ἀνίσχυρα λέγων. ἄμεινον δὲ ληρώδη.

Κραπατάλοι, ἰχθύες τινές. ¶ Κραπατάλος, παρὰ πολλοῖς ὁ μωρός, ἢ νόμισμα. ¶ Κραρᾶ, πέπηγε τὴν κεφαλήν, οἱ δὲ βοῶν πυρετός, καὶ ἀκροστόλια νεῶν.

Κρᾶς, κρέας. τινὲς δὲ κεφαλή. ¶ Κράσβολα, κόλλαβοι δερμάτινοι. ¶ Κράαστεα, ἀλευρωτίς.

Κράασιν, κεφαλαῖς, καὶ κράτεσφιν. ¶ Κράσις. κέρασμα. ¶ Κράσπεδα, τὰ ἐν τῷ ἄκρῳ τοῦ ἱματίου κεκλωσμένα ῥάμματα, καὶ τὸ ἄκρον αὐτοῦ. ¶ Κρασῆναι, διάκονοι γυναῖκες. ¶ Κρατηβεῖαι, τῶν ἐνηλάτων αἱ κεφαλαὶ καὶ συμβολαὶ καὶ τὰ ἄκρα.

Κράστιν, ἀττικοὶ διὰ τοῦ γ. οἱ νῦν γράστιν φασίν, ἔστι δὲ ὁ χλωρὸς χόρτος. ¶ Κρατώδην, σφενδόνην λεγομένην. τὰ δὲ ἄκρα τῆς σφενδόνης κεφαλὰς ἐκάλουν.

Κρᾶτα, κεφαλήν. ¶ Κραταιᾶς, ἰσχυρᾶς. ¶ Κραταίπενον, βητένη μεθ' ἧς πλέκουσιν. ¶ Κραταιγὸς δένδρον. ¶ Κραταιγύαλοι, στερροὶ κατὰ τὰ κύτη γυ τέστιν τὰ ὅπλα. ¶ Κραταιΐς, προσεξονομάζεται τὸ κύειον ὄνομα τῆς μητρὸς τῆς Σκύλλης. τὸ δὲ πολυσπώμενόν ἐστιν ἐπὶ τοῦ Σισύφου προσηνεικόν. ¶ Κραταίλεον, ἔδαφος ἐκ σκληροῦ λίθου γεγονός.

Κραταίλεον, ἡ Νιόβη. ¶ Κραταιόν, οὖδας. λιθόστρωτον ἔδαφος. ¶ Κραταίπεδον, ἰσχυρὸν ἢ λιθόστρωτον ἔδαφος. ¶ Κρατεῖ, μένει. κρύπτει. κυριεύει δυναμεῖ ἄρχει. ¶ Κράτει, δυνάμει. κεφαλῇ.

Κρατέει, κρατεῖ καὶ ἄρχει. ¶ Κρατέοντα, κρατοῦντα ἰσχύοντα. ¶ Κρατερόν, ἰσχυρὸν δυνατόν.

Κρατερόφορος, γενναῖος. ¶ Κρατερόφρονος, βουλοφόρου. ¶ Κρατερόδοντες, καρτερούμενοι.

Κρατερώματα, μίξις χαλκοῦ καὶ κασσιτέρου.

Κρατερώνυχες, ἰσχυροὺς ὄνυχας ἐχόντων. ¶ Κρατευταί, ὀβελίσκοι. ¶ Κρατευτάων, τῶν βάσεων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται πρὸς ὄπτησιν. ¶ Κράτει, νίκη ἀρχὴ ἐξουσία. ¶ Κρατῆρες, σιτλία, σκυφία.

Κρατηρίσκοι, οἱ τοῦ ὀφθαλμοῦ οἳ καὶ μήκωνες λέγονται.

Κρατί, κεφαλῇ. ¶ Κράτιστα, καλὰ κρατούμενα.

Κρατιστεύει, δυναστεύει, κυριεύει.

Κράτιστος. ἰσχυρότερος. δυνατώτατος.

Κρατός, τῆς κεφαλῆς. ¶ Κράτος, βασιλεία, ἰσχύς, δύναμις δόξα ἐξουσία. ¶ Κράτος λιμένος, τὸ ἀρχῆς τοῦ λιμένος. ¶ Κρατύνει, κρατεῖ. ¶ Κρατύ-

νεσθαι, ὀχυροῦσθαι. ¶ Κρατυνάμενος, ὀχυρωσάμενος. ¶ Κρατυνθέν, κρατηθέν, βεβαιωθέν.

Κρατυντῆρα, κατισχύοντα. ¶ Κρατύς, ἄρχων ἐξουσιάζων. ¶ Κραυαίνει, φροντίζει. ἐπιθυμεῖ.

Κραύαιρ, ὁ ἰσχυρός. ¶ Κραυγή, βοή, ἡ νόσημά τι παιδίοις ἐπιφερόμενον, ὃ καταβλάπτει τοῖς παιδίοις. ἢ τὸ ὁ κραυξ ἐκδιακρίς ἐστιν ἡ λεγομένη βασκανία.

Κραυσίας, ἵππος, ὁ ὑπὸ κραυγῆς καὶ ψόφου ταρασσόμενος. ¶ Κραυγάζει, βοᾷ, καλεῖ.

Κραυγός, δρυοκολάπτου εἶδος. ¶ Κραυγόν, ποιὸς ὄρνις. ¶ Κραυρότερον, ξηρότερον.

Καυρᾶν, νόσος μελισσῶν, ὅταν σκώληκας καὶ ῥάχιας ποιῶσι. ¶ Κραῦσον, τὸ πῦρ. ¶ Κρέαρα, ᾧ οἱ κηπουροὶ τοὺς βώλους ἀπαίουσιν. ¶ Κρεάγρα, ἐν ᾗ αἱρεῖται τὰ κρέα. ἁρπάγη, καὶ λύκος ἐν ᾧ τὰ ἐκ τῶν φρεάτων ἀνέλκουσι. ¶ Κρεάνας, ἐλπίδας.

Κρέας, καὶ τὸ σῶμα ἔλεγον, καὶ τὸ διδόμενον τοῖς ἀρεοπαγίταις ἡ ἀπὸ τοῦ ἀρείου πάγου βουλή, κρέας ἐλάμβανεν. ¶ Κρέατα, κρέα. ¶ Κρέασι, συμποσίοις.

Κρεῖον, ἀγγεῖον, εἰς ὃ κρέα βάλλεται.

Κρείουσα, καλλιστεύουσα. ¶ Κρεῖσσον, κρεῖττον. βέλτιον. κάλλιον. ¶ Κρείττονας, τοὺς ἥρωας οὕτω λέγουσιν. δοκοῦσι δὲ κακότυχοί τινες εἶναι, διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα, σιγὴν ἔχουσι μή τι βλαβῶσι. ἢ οἱ θεοὶ δὲ αἰσχύλος αἴτνα. ¶ Κρειττόνων, ἀρετῶν.

Κρείων, βασιλεύων ἄρχων. κρατῶν. ἰσχύων. ἡγεμονεύων

Κρέκει, κιθαρίζει. ¶ Κρέκελος, θρῆνος. ¶ Κρέκοντα, κροκύζοντα. ¶ Κρεμῶ, κρεμάσω. ¶ Κρέμασε, ἐκρέμασε. ¶ Κρεμβαλιάζειν, κογχύλια καὶ ὄστρακα συγκροτοῦντας σεισμόν τινα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις. ¶ Κρέμβολα, ἐφ' οἷς τὰς κρόκας ἐντυλίσσουσιν αἱ γυναῖκες. ¶ Κρέμμυον, κρόμμυον. ¶ Κρέξ, κοσοφαία καὶ ὀρνεόν τι ὃ τοῖς γαμοῦσιν οἰωνίζεται τάσσεται δὲ καὶ ἐπὶ τροχοῦ.

Κρήγυον, ἀγαθὸν ὠφέλιμον ὑγιές. ¶ Κρήδεμνα, τὰ χείλη. ¶ Κρήδεμνον, ἐπιβόλαιον, ὅ ἐστι κεφαλόδεσμος ᾧ χρῶνται αἱ γυναῖκες κατὰ μεταφοράν, καὶ τὰ τείχη λέγεται κρήδεμνα, στεφάνη καὶ κόσμος.

Κρήδεσμον, κεφαλόδεσμον. ¶ Κρήηνον, τέλεσον ἐπιτελείωσον. ¶ Κρήηνεν, ἀπετέλεσεν, ἐτελείωσεν.

Κρηθῖν, κακολογεῖν. ¶ Κρηθμόν, λάχανον. ¶ Κρήϊα, ζώδια. ¶ Κρήϊνον, κρεοθήκη. ¶ Κρήϊον, ἐπίκοπον, κρεοδόχον λέβητα. ¶ Κρημνιβάτης, ὑψηλοβάτης. ¶ Κρημνός, ὄχθος, ἐξοχὴ πέτρας καὶ ὄρους βάθος, χάος. ¶ Κρηναρχία, ἀρχὴ ἐπὶ τῆς ἐπιμελείας ὕδατος. ¶ Κρηνῶν, πηγῶν ὑδάτων. ¶ Κρήνη, πηγή. ὕδωρ ἀγώγιμον. ¶ Κρήηνον ἔλδωρ. τελείωσον τὸ ἐπιθύμημα. ¶ Κρηνίας, τοὺς κεφαλῖνας τινές. ¶ Κρηνικῶν, καρηβαρῶν. ¶ Κρηνοφύλαξ, ὁ τὴν κρήνην φυλάσσων. ¶ Κρηπίδων, καὶ βάθρων βωμῶν. ¶ Κρηπίς, ὑποβάθρα. θεμελίωσις. ὑπόδημα. λέγεται δὲ καὶ τὸ ἐπίθημα τῶν ἐγχύτων πλακούντων, καὶ παρὰ τὴν ἀρχιτεκτονίαν διὰ κτίσεως ἐφ' οὗ οἱ στυλοβάται. ἀπὸ ταύτης οἱ ποιηταὶ τὰς καταρχὰς καὶ θεμελίους λέγουσιν. ¶ Κρῆσαι, κεράσαι, ἐπιχέαι. ¶ Κρησίαι. καλλιόνων.

ρα, κόρχα. ¶Κουράνια, ἐκ μελίνης ἄλφιτα.

Κουράς. ἡ ἐν τοῖς ὀροφώμασι γραφή. ὀροφικὸς πίναξ. παρὰ δὲ αἰσχύλῳ ἐν μυρμιδόσιν, ἀμφιβάλλει ἐγκουράδα, ἐστὶ δὲ ἐγκουρὰς, ὀροφικὸς πίναξ. ¶Κουρότεροι, νεώτεροι. ¶Κουράτωρ, τροφεύς. παιδοκράτωρ.

Κουράων, παρθένων θυγατέρων. ¶Κουρέην, τὴν ἀκόμπτην ἢ ἀκοπλτήν. ¶Κουρεύς, ὄρνις ποιὸς ἀπὸ τοῦ φθέγγεσθαι ἐμφερὲς ἤχῳ ταφικοῦ μαχαιρίου.

Κουρεῶτις, μηνὸς τοῦ πυανεψιῶνος ἡμέρα ἐν ᾗ τὰς ἀπὸ τῆς κεφαλῆς τῶν παίδων ἀποκείροντες τρίχας ἀρτέμιδι θύουσιν. ¶Κούρη κόρη. ¶Κουρῆτες, τὸ μὲν δευτέρας συλλαβῆς παρατεινομένης, οἱ τὴν πλευρῶνα κατοικοῦντες, διὰ τὸ κουρικῶς ἀναδεῖσθαι τὰς κόμας. κούρητες δὲ προπαροξυνομένου τοῦ ὀνόματος, νεανίαι. καὶ ἔθνος κρητῶν. ¶Κουρήτεσι, κρησίν.

Κουρήτων, ἔθνος κρητῶν. ¶Κουρήτων, στόμα, ἐδόκουν εἶναι μάντεις διὰ τὸ θεσπεσιωδὲν στόμα. ¶Κουριᾶν, κομᾶν· κουρᾶς ἐπιδεῖσθαι. ¶Κουρίας, ὀροφικὸς πίναξ.

Κουρίδες. καρίδες. ἢ τὰς μικρὰς ἐγχλώρους, τὰς δὲ ἐρυθρὰς καμμάρους. ¶Κουριδίας ἐκ παρθενίας γαμετῆς. ¶Κουρίδιον, παρθένιον, καὶ τὸν ἐκ παρθενίας ἄνδρα. λάκωνες δὲ κουρίδιον καλοῦσι, παρὰ δὲ αὐτοῖς τετράχειρον ἀπόλλωνα. ¶Κουρίξ, ἀπὸ κόμης.

Κουρίζων. ἀκμάζων. νεάζων. νέος ὑπάρχων.

Κουριζομένους, ὑμεναιουμένας γαμουμένας, διὰ τὸ λέγεσθαι ἐπὶ κούροις τε καὶ κόραις, ὅπερ νῦν παρεφθαρμένως ἐκ κόρης λέγεται. ¶Κουρὶξ αἰνομένως. ἀπὸ κόμης λαμβανομένως, ἢ νεανικῶς παρὰ τὸν κοῦρον, ἢ τῶν τριχῶν παρὰ τὴν κουράν, ἢ τῆς κόμης ἀπρὶξ ἄρξασθαι λίαν, καὶ βία. τινὲς δὲ ἀνδρικῶς καὶ νεανικῶς.

Κούριξαν, ἀπέκειραν. ¶Κουρεῖον, σοφοκλῆς ἀνδρομέδᾳ· ἡμῖν οὖν τὸ κουρεῖον ἠρέθη πόλει, νόμος γάρ ἐστι τοῖς βαρβάροις θυηπολεῖν βρότειον ἀρχῆθεν γένος τῷ κρόνῳ.

Κουριᾶν, κουρᾶς δεόμενος καὶ διαφέρειν φασὶ κομᾶν καὶ κουριᾶν. τὸ μὲν γὰρ κομᾶν ἐστιν ἐπιμελούμενον τρίχας ἔχειν. κουριᾶν δὲ τὸ κατὰ συμφορὰν ἄλλως καθιέναι κόμην. ¶Κοῦροι, παῖδες νέοι ἄρρενες. ¶Κοῦρος, παῖς. νέος. υἱὸς ἄρρην. νεανίας. νήπιον. ¶Κουροτέροισι, κούροις. νέοις.

Κουρότερος, νεώτερος. ¶Κουροτρόφος, παιδοτρόφος. ὑφ' ἑτέρων ἡ δημήτηρ. ¶Κουρῶν, πρέπων. ¶Κουστωδία, βοήθεια στρατιωτική.

Κουστωδίας, τοῦ ἀπὸ δεσμωτηρίῳ ἐπικειμένου στρατεύματος ἢ συναγωγῆς. ¶Κούτερον, τὸ ὀπισθίων τοῦ βοὸς ἡ σὰρξ ὑπὲρ τὰ ἄρθρα. ¶Κουτίδες, συκαλλίδων. ¶Κουτίδια. δίκτυα. τὰ πρὸς τὰς συκαλλίδας. ¶Κοῦφα, τὰ μὴ βαθέα. ¶Κουφίζει, μετεωρίζει. ¶Κόφινος, μέτρον χωροῦν χοὰς τρεῖς.

Κουφικὸν τρόπον, τὴν κομητικὴν ὄρχησιν. ¶Κουφολογία, φλυαρία. ¶Κοῦφον. κόπον μετέωρον.

Κοῦφος, ἐλαφρός. ταχύς. γοργὸς εὔκαιρος. ¶Κουφόσκευος, ὁ βαστάζων τὴν πανοπλίαν. ¶Κουχί, καὶ οὐχί. ¶Κοχλίαι, τὰ ἐσθιόμενα ζῷα, καὶ τὰ ἐν τοῖς ὀργάνοις ξύλινα. ¶Κόχλος, τοῖς θαλαττίοις ἐχρῶντο πρὸ τῆς τῶν σαλπίγγων εὑρέσεως, καὶ ὁ στρόμβος. ¶Κοχύ, πολὺ πλῆθος. ¶Κόχυδ' ἐρριχυ-

ρῶς καὶ μετὰ ψόφου καὶ λάβρως. ¶Κοχυδεῖν, ὑπερχέειν. ¶Κοχῶναι, τὸ ἰσχίον ὅπου μὲν τῆς ῥάχεως πρὸς τῷ δακτυλίῳ, οἱ δὲ τοῦ ἰσχίου ὀστᾶ τὰ ἑκατέρωθεν μέρη, τίθεται δὲ ἐπὶ τῶν ἰσχίων. ¶Κόχωνα, τὰ ἰσχία, καὶ τὰ ὅμοια. ¶Κόψα. ὑδρεία. ¶Κόψεια, παρασάτης. χαλκός. ¶Κόψεν, ἔπληξεν ἐπάταξε τὴν θύραν, ἔκρουσε. κατέαξεν. ¶Κοψία, χύτρα.

Κόψεσθε, προσοχεῖτε. ¶Κόψιχος, εἶδος ὀρνέου. ὁ κόσσυφος παρ' ἐνίων λέγεται. τάσσεται δὲ καὶ ἐπὶ τοῦ θαλασσίου. ¶Κοῶ, αἰσθάνομαι. ¶Κοεῖ, αἰσθάνεται.

Κὸρ, εἰδώς. ¶Κοών, εἰδώς.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ρ.

Κράανον, τέλεσον. ¶Κραάρα, κόσκινον ἢ ὄρυγμα. ¶Κράβος, ὁ λάρος. ¶Κράγιον, σύντριμμα ἐν κεφαλῇ. ¶Κραγὸν, κραυγήν.

Κράγον, βοήθημα καὶ ὅρισ. ¶Κραγγὼν, ἔνυδρον ζῶον. καὶ εἶδος καρίδος. ¶Κραγγὼν, κίσσα.

Κραδεύειν. κραδαίνειν, σείειν, τινάσσειν.

Κραδαίνει, σείει, τινάσσει. ¶Κραδαινόμενον, σειόμενον, τινασσόμενον, ταρασσόμενον. ¶Κραδαίνων, ὁμοίως.

Κράδαλοι, κλάδοι συκῆς. ¶Κραδάων, σείων.

Κράδεμνον, κάλυμμα. στεφάνη. μίτρα, τὸ ἐπικράνιον στεφάνωμα. ¶Κράδη, συκῆ, κλάδος, καὶ ἀγκυρίς, ἐξ ἧς ἐνέπλεοντο οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι. ¶Κραδησίτης, φαρμακός, ὁ ταῖς κράδαις βαλλόμενος. ¶Κραδία καὶ κραδίη, καρδία.

Κραδίην ἐλάφοιο δειλότερον. ¶Κραδίης, καρδίας.

Κραδίης νόμος, νόμον τινὰ ἐπαυλοῦσι τοῖς ἐκπεμπομένοις φαρμάκοις, κράδαις καὶ θρίοις ἐπιραβδιζομένοις. ¶Κραδίης, τυρὸς ὁ ὑπὸ τοῦ ὀποῦ τῆς κράδης πηγνύμενος. ¶Κραδοφάγος, συκοφάγος. ἰσχαδοφάγος. σημαίνει δὲ καὶ τὸν ἄγροικον. ¶Κραῖρα, κεφαλὴ καὶ ἀκροστόλιον. ¶Κραίνειν, τιμᾶν βασιλεύειν.

Κραίνουσι, πληροῦσι, παρέχουσι, τιμῶσι, βασιλεύουσιν.

Κραίνων, ὁμοίως. ¶Κραιπάλη, ἡ ἀπὸ τῆς χθιζῆς μέθης κεφαλαλγία. ¶Κραιπαλώσας, μεθύσας.

Κραιπνά, ταχέα ὀξέα. ¶Κραιπνόν, ταχὺ ὀξύ.

Κραιπνοῖσι, ταχέσιν, ὀξέσιν. ¶Κραιπνότερος, ὀξύτερος, ταχύτερος. ¶Κραῖρα, ἡ κεφαλή, ἢ κεραία καὶ ἀκροστόλιον. ¶Κραῖροι, στόλοι νεῶν μέτωπα κεφαλαί. ¶Κρακαλίδαι, τῶν κιρραίων βασιλεῖς ἢ διάφορον γένος. ¶Κράμβατα, κεράσματα. ¶Κραμβαλέος, ξηρὸς καὶ κάπυρος. ¶Κράμβαλα, μνημεῖα.

Κραμβαλίζουσιν, καπυρίζουσι, κατασείουσιν. ¶Κράμβη ῥάφανος, ἃ ἕτερα λάχανα. ¶Κράμα, κέρασμα καὶ εὔκρατον. ¶Κραμβίον. τὸ κώνειον. ¶Κράμβον, καπυρόν τινα γέλωτα καὶ ξηρόν φασιν ἢ τὸν κράμβιον. ¶Κραμβώτερον, καπυρώτερον. ¶Κράμβωτον, ἰκτῖνος τὸ ζῷον. ¶Κράνα, κεφαλή. ¶Κράναι, κρῆναι, τέλειαι, ἃ αἱ τῶν ὑδάτων, καὶ ἐπιτελέσαι.

Κραναῆς, τραχείας. ¶Κρανοίκορον, μοῖρά τις τοῦ ἱερείου. ¶Κραναόν, ὑψηλὸν ταχύ. ¶Κραναοῦ. υἱὸς ῥαρός. ¶Κραναὰν πόλιν τὰς ἀθήνας ἀπὸ κραναοῦ. ¶Κρανέα, χηλευτὰ πλεκτὰ ἐκ σχοίνου, ἢ ἄλλης τινὸς ὕλης μαλάκια. ¶Κρανάι, τὰ προσκεκολλημένα σπόγγια, εἰς ἃ τὰ παρὰ ἐμβάλλεται,

νῶδες, ὀζῶδες. ¶ Κόρυξ, νεανίσκος. ¶ Κορυπτό
λεπτον, κορατιστήν. ¶ Κορυπτόλης, κορατιστής.
Κόρυς, θειγγός. ¶ Κόρυς, περικεφαλαία. ¶ Κορύσσει
κρύπτει, μάχεται, ταράσσει, αὔξει, καθοπλίζει.
Κορύσσεσθαι, ἐπαίρεσθαι. ¶ Κορύσσεται, καθοπλίζε
ται, ὑψοῦται. ¶ Κορυσσαμένη, καθοπλισαμένη.
Κορύσσων, ὁπλίζων καὶ τὰ ὅμοια. ¶ Κορυστὴς, ἀγα
θὸς ἢ ὁπλίτης. ¶ Κορύστιοι, οἱ γορτύνιοι ἢ ὁπλῖται.
Κορυτὸν, τὸ ἐπίμεστον. ¶ Κορύτῃ, τῇ κεφαλῇ.
Κορυφᾶ, κορυφῇ ἀκρωρείᾳ. ¶ Κορύφαινα, ποιὸς ἰχθῦς.
Κορυφαῖος, τέλειος, ἡγεμών. κόρυμβος, οἱ ἢ μᾶλλον τὰ
τῶν παιδίων κορυφάνια. ¶ Κορυφὸ. κεφαλή. λό
φος. ἀκρωτήριον. ¶ Κορυφιστὴς, κόσμος γυναικεῖος
ὁ περὶ τὴν κεφαλὴν χρυσοῦν, καὶ κεκρυφάλος ὁ μέσον
ῥάμμα. ¶ Κορυφεῖ. καταῤῥεῖ. ¶ Κόρυφος. κό
ρυμβος γυναικεῖος. ¶ Κορυφοῦται. αὔξεται, ὑψοῦ
ται. ¶ Κορυφώσεται, ἐκτελέσεται. ¶ Κορφῶς,
ἐλαφρῶς. ¶ Κόρχορον, λάχανον ἄγριον καὶ σῖτον.
Κορωνά, ὑψηλά. ¶ Κορουνίος. ἀμπέλου ἢ συκῆς εἶ
δος. ¶ Κορώνη, κόραξ, καὶ τὸ ἄκρον τοῦ τόξου εἰς ὃ ἡ
νευρὰ δέδεται καὶ ὁ κρίκος ἐπὶ θύρας καὶ τὸ ζῶον, καὶ
ὄρνεον, ἐπὶ ἰχθῦς καὶ λάρος, καὶ εἶδος στεφάνου.
Κορώνη τὸν σκορπίον, παροιμία ἐπὶ τῶν δυσχερέσι τὰ βλα
βεροῖς ἐπιχειρούντων. ¶ Κορῶναι, ἁλίαι αἴθυιαι,
κολυμβίδες. τὰ περιφερῆ χώματα. ¶ Κορωνίς,
τὸ πλευτικὸν ἐπὶ οἰκοδομῆς ἐπίθεμα.
Κορώνεια, πόλις βοιωτίας. ἀκρώρεια, τέλος.
Κορωνίδες, καμπυλόπρυμνοι ναῦς. καὶ αἱ ἐκ τῶν ἴων
πεπλεγμέναι στέφανοι, κυρίως δὲ τὰ βλαστήματα.
Κορωνιδεὺς, ὁ ἐπὶ κορώνης νεοττός.
Κορώνιος, μηνοειδῆ ἔχων κέρατα βοῦς. ¶ Κορωνίς,
καμπύλη πρύμνη ἢ στεφανίς. ¶ Κορωνισταὶ, οἱ τῇ
κορώνῃ ἀγείροντες, ἃ τὰ διδόμενα ὑπ' αὐτῶν κορω
νίσματα. ¶ Κορωνιῶν, γαυριῶν. ¶ Κόρωνος,
πονηρός. ¶ Κορωνόπτεια, πόα τίς ἣν καὶ κορακόπο
δα λέγουσιν. ¶ Κόρωνος, ὀρθόκερως ταῦρος.
Κόρων, τὸ ἐπικεκαμμένον τοῦ ῥυμοῦ. ¶ Κόσαι, κριθαί.
Κόσκυβος, σκεῦος συμποτικὸν ἐφ' οὗ τὰς λάταγας ἔβαλ
λον ἐρίζοντες. ¶ Κοσκύλανον, τὸ βραχὺ καὶ τὸ δί
καιον. ¶ Κοσκύλεφοι, κόλαφοι, ἢ κοσκύλεφοι.
Κοσκινόσηνος, εἰς κοσκίνου κατασκευὴν μηρινός.
Κόσκικοι, οἱ καρικίδαι ὄρνιθες. ¶ Κοσκυλμάτια,
τὰ τῶν βυρσῶν περικομμάτια. ¶ Κοσκυλματίοις,
κολακεύμασιν, ἢ παραλογισμοῖς. ¶ Κοσμεῖν, ἐρί
ζειν ἀνομοῦντων. ¶ Κοσμεῖν, τιθέναι. ¶ Κοσμῆσαι
διατάξαι, στῆσαι, στεῖλαι. ¶ Κοσμησάμενος, παρατα
ξάμενος. ¶ Κοσμήτης, κουρεὺς ἐνταφιαστής.
Κοσμήτορες, ἡγεμόνες. ¶ Κοσμίοις, εὐτελέσι λιτοῖς.
Κοσμιωτάτη, εὐκαλλωπιστος. ¶ Κόσμος, καλλωπι
σμός. κατασκευή. τάξις κατάστασις, στρατηγὸς κεκο
σμημένος κάλλος. ¶ Κόσμου. ἐμπύρωσις, ὀρχήσεως
ἡ ὑπόθεσις. ¶ Κοσσάβοις, κοττάβοις. ¶ Κοσυμβω
τὸν, κροσσωτόν. ¶ Κόσυμβε δεσμὸς, ἀνάδεσμα ἢ ἐξ
κόμβωμα, καὶ ὅπερ αἱ κεισταὶ φοροῦσιν, ὅμοιον ἀσπι
δίσκῳ, καὶ περίζωμα αἰγύπτιον, καὶ τὸ ἐγκομβοῦσθαι.
Κόσυφος, ὄνομα πτηνοῦ. ¶ Κοσταί, κριθαί.

Κόστος, εἶδος ἀρώματος. ¶ Κοσίας, κοιλίας κάμο
ρος. ¶ Κόσβαρι, αἱ ἐπὶ θυσιῶν τεταγμένοι.
Κοσύμβη, καὶ κόσυμβος, ἐγκόμβωμα, καὶ περίζωμα
αἰγύπτιον, καὶ ἐγκομβοῦσθαι. ¶ Κοσσύφος, βό
θυνος, ὄχθος. ἀνάστημα γῆς, ἢ ἀσκέρμα. ¶ Κοτέει,
ὀργίζεται καὶ ὑποπτεύει. ¶ Κοτεῖν. δυσχεραίνειν,
χαλεπαίνειν. ¶ Κοτεῖται. ζηλοῦται, ἐπιθυμεῖται.
Κοτέοντες, ὀργιζόμενοι. ¶ Κοτέων, ὀργιζόμενος
Κοτεσσάμενος, μεμψάμενος, χολωθείς.
Κοτέσσεται, χολωθείη. ¶ Κοτίνεις, στέφανος ἐξ ἐλαί
ας ἢ ὀργίλως διακείμενος. ¶ Κοτεῖ. φθονεῖ, ζη
λοῖ. ¶ Κοτίκας, ἀλέκτωρ. ¶ Κοτίλλουσα, τίλ
λουσα. ¶ Κότινος, ἀγριέλαιος, ἢ ὁ ἐξ ἀγριελαίας
στέφανος ὀλυμπιακός. φασὶ γὰρ αὐτὸν κότινον εἶναι.
Κότιξις, μέλας τι εἶδος. ¶ Κοτίλλιον, αἰδοῖον αὐ
δρός. ¶ Κότος, κότος ὀργὴ ἔχθρα χόλος εἰς ἐμ
μενος καὶ ἡ ἐγκειμένη ὀργὴ εἰς κακοποιίαν.
Κοτταβεία, πλινθεία, ἡ λαρωτηρία. ἄμεινον δὲ νοεῖν ἔπαθ
λον τοῦ ἀεὶ τὰ κοτταβίσαντι, ἐπίπταν γὰρ τὸ καταλει
πόμενον ἐν τῷ ποτηρίῳ ἐκχέοντες καὶ πειρώμενοι ψό
φον ἀποτελεῖν. ὁ δὲ ἐπιτυχὼν μάλιστα τῷ ψόφῳ
ἐνίκα. ¶ Κοτταβίζει, οἶνον ποτηρίῳ αἰωρεῖ.
Κοτταβία, ὑλόθριξ. ¶ Κοττάβινος, ὑπόθεμα λάκω
νες ἐν ᾧ οἱ κότταβοι ἐγίνοντο. ¶ Κότταβος, λάταξ,
θυεσπίδος πληθύνει. καὶ παιδιὰ παρὰ ἀττικοῖς ἀπὸ
σικελίας παραδοθεῖσα. ¶ Κόττανα, εἶδος συκῶν μι
κρῶν. καὶ ἡ παρ᾿ ἔθνος παρὰ κρησὶ κοττάνα. ¶ Κοττά
ρια, τὰ ἄκρα ἐπὶ κέγχρου. ¶ Κοττεῖν, τύπτειν, δορα
τεῖν. ¶ Κόττικαι, αἱ περικεφαλαῖαι. ¶ Κοττίδι
κα, πλατάγη κρόταλον. ¶ Κοττοβολεῖν, τὸ παρατη
ρεῖν τινὰ ὄρνιν. ¶ Κοττάναθρον, ἔνθα οἱ ὄρνιθες κοι
μῶνται. ¶ Κόττος, ὄρνις καὶ ἵππος δὲ τινὲς οὕτως
ἔλεγον. ¶ Κοττυλαῖοι, κατοικίδιοι ὄρνεις. ¶ Κοττύ
βο. τὸ φυόμενον ἐμφερὲς μύκητι. ¶ Κοτύλαια μι
κρὰ παρὰ τὴν κοτύλην. ¶ Κοτύλη, εἶδος μέτρου, καὶ
τρύβλη, ἢ τὸ κοῖλον τῆς χειρὸς, καὶ πᾶν κοῖλον, ὅθεν καὶ
εἰς ὅπερ ἡ τοῦ μηροῦ κεφαλὴ ἐμβαίνει, κοτύλη καλεῖ
ται. ¶ Κοτυληδὼν πόας εἶδος. ¶ Κοτυληδόνες
αἱ τῶν πολυπόδων πλεκτάναι. ¶ Κοτυληδὼν, ὅπερ
ἐπὶ τῶν πολυπόδων τῶν πλεκτανῶν, αἱ γὰρ ἐν ταῖς πο
σὶν αὐτῶν κοιλότητες, κοτυληδόνες λέγονται.
Κοτυλήρυτον πολὺ, ὥστε κοτύλῃ ἀρύσασθαι.
Κοτυλίσκος, κρατηρίσκος. ᾧ χρῶνται οἱ μύσται, καὶ τὸ
κοίλωμα. τινὲς, τὰ μόνωτα ποτήρια, καὶ πλακοῦντος
εἶδος, ἢ βόθρος εἰς ὃν τὸ αἷμα τῶν τῇ γῇ θυομένων ἐνέ
βαλλον. ¶ Κότωνα, σκύβαλα. ¶ Κοτυτώ, ὁ μὲν εὔ
πολις κατ' ἔχθος τὸ πρὸς τοὺς κορινθίους φορτικόν τι
να δαίμονα διατίθεται. ¶ Κοῦα, ἐνέχυρα. ¶ Κουά
ρια, σκῦμα. ¶ Κούαμα, μέλαν λάκωνες. ¶ Κουά
σαι, ἐνεχυριάσαι. ¶ Κουβιζός, στεφώς. ¶ Κούκα,
πέπασον, ἢ κυκεῶνα. ¶ Κουλεὸν, ἰακῶς τὸ κολεόν.
Κουλεὸς, ξιφοθήκη. ¶ Κουλιβατίαν, κλητίαο τὴν
σιδηρεῖτιν πόαν, ἣν ἐλξίνην ἔνιοι. ¶ Κουλιβὸς, ἡ πί
τυς. ¶ Κουμάσιον τὸ τῶν ὀρνίθων οἴκημα.
Κούνημα, κόκκον ἢ ὁ κύων. ¶ Κουνοῦνες, κώνωπες.
Κουπίκη, καμάρα ἡ ἐπὶ τῶν ἁμαξῶν στησομένη. ¶ Κου

τῶν μίμων γελοῖα καὶ παίγνια. ¶ Κορδακίας, ὀρχηστής. ¶ Κορδύλη, κορύνη, ῥόπαλον· ἢ τὸ ἐπάνω τῆς κασίδος. ὁ πανοῦργος. ¶ Κόρδυλος ἰχθὺς ποιός.
Κορδὺς, πανοῦργος. ¶ Κόραξι, πόρθει.
Κορέει, πληροῖ, χορτάσει. ¶ Κορεία, θεραπεία. κάλλυνσις. ἢ θυσία τῇ κόρῃ τελουμένη. ¶ Κορεῖν, κοσμεῖν, καθαίρειν. ¶ Κορεῖον, περικράνιον. ¶ Κόρεμα, κόρυφος ἢ πλέξις κοινή. ¶ Κορέννυται, χορτάζεται.
Κορέσαι, διοργάσασθαι. πληρῶσαι. χορτάσαι.
Κορέων, κορίσκων ὀξυβρίζων. ¶ Κορζία, καρδία Πάφιοι. ¶ Κόρη, νύμφη, ἣν τοῖς παρθένοις ἐπιμπῶν καὶ παρθένος καὶ ἡ ὄψις. ¶ Κόριον, παρθένον. ὀφθαλμὸν καὶ παῖδα. ¶ Κόρημα, κάλυθρον ἢ τινὲς σάρον. ¶ Κορθίλας καὶ κόρθιμ, τὰς σωροὺς καὶ τὴν συστροφήν. ¶ Κορθίλαι, συστροφαί. σωροί.
Κόρθιλος, ὄρνις, ὃν τινὲς βασιλικόν.
Κόρθυς, σωρός. ¶ Κόρθυνας, τὰ κατ' ὀλίγον δράγματα. ¶ Κορθύεται, διεγείρεται καὶ εἰς ὕψος αἴρεται, μετεωρίζεται, φρίσσει, ὑψοῦται. ¶ Κορθύνεται, αἴρεται εἰς ὕψος. ¶ Κορθῶ, βλάβη. ¶ Κορίαλαι, τρίγλαι ἰχθύδια. ¶ Κορίαννον, τὸ κόριον καὶ γυναικεῖον κοσμάριον χρόνος. ¶ Κορίζομαι, ὑποκορίζομαι. ¶ Κόριον, τὸ κορίανδρον, ὁ μᾶλλον κορίαμβλον. ¶ Κορικῶς, γυναικῶς ὡς κόραι.
Κορινθιάζειν, μαστροπεύειν, ἑταιρεύειν. ¶ Κορινθίαι. αἱ πόρναι, καὶ αἱ ἀπὸ Κορίνθου τῆς πόλεως γυναῖκες.
Κόρινθος, πόλις Ἑλλάδος. ¶ Κορίνθιος ξένος, ἐπὶ τῶν τὰς ἀλλαγὰς ῥιπτούντων. ¶ Κορίννειος, κοινὸν τὸ ἐγχειροῦν, ἀπὸ τοῦ περὶ Σθενεβοίας τῷ Βελλεροφῶντι ἐπιχειρούσης. ὡς ἦν Ἄτταλος ἐν τῷ περὶ παροιμιῶν, ἐπὶ τῶν διὰ κάλλος ὡς ὁ Βελλεροφόντης.
Κοριοειδὲς, κορίῳ ἢ κόρῃ ἐοικός. ¶ Κόριον, μικρὸν κοράσιον, ἢ κορίσιον τὸ λάχανον. ¶ Κορὶς, ἰχθὺς ποιὸς ἢ ποιά. ἣν ἔνιοι χαμαιπύτην. ¶ Κορίσαι, ὑψῶσαι. ¶ Κόριψ, νεανίσκος. ¶ Κορικῶντα, γαυρούμενοι.
Κόρκορα, ὄρνις περγαῖοι. ¶ Κορκόδρυα, ὑδρόρυα.
Κόρκορος, εἶδος ἰχθύος, ἢ λάχανον ἄγριον. ¶ Κορκορύγη, κραυγὴ βοὴ ταραχὴ μετὰ θορύβου. ¶ Κορκοραία, μάστιξ δοκεῖ ἐκείνη χαλεπωτάτη εἶναι, καὶ παισὶ διδομένων μάστιξ. ¶ Κορκορύεται, ἀπονεῖται.
Κορμάζειν, τέμνειν. περιδεῖν. ¶ Κορμεῖται, κοσμεῖται.
Κορμὸς, πλάτη ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμῆσθαι, πλάτη δὲ εἶδος πλοίου καὶ ἕδρα καὶ κώπη καὶ τὸ εἰς βραχὺ συντετμημένον ξύλον. ¶ Κορκούτης, αἰδοῖον ἀνδρῶν. ¶ Κόρνος, κέρχνον, μυρσίνη, Σικελοί. ¶ Κορκόπιδες, κώνωπες. ¶ Κορωνὴ, τὸ ἄκρον τοῦ τόξου ἢ κρίκιον. ¶ Κόροιβος, ἠλίθιος καὶ μωρός. ἐπὶ τῶν τὸν μωραίνοντα ἔταττον τὸν κόροιβον, ἀπὸ Κοροίβου τινὸς μωροῦ καὶ ἠλιθίου μετάγοντες, οἷον οἷον τὸν Μύγδονος ἦν παῖδα τοῦ Φρυγός. ¶ Κοροῖτις, ἀλώπηξ. ¶ Κοροκοσμία, τῶν παρθένων.
Κορωνίδες κακῶν. κεφάλαια κακῶν καὶ αἱ εἰς ἄκρον ὑπεροχαί. ¶ Κόρος, πλησμονὴ, χορτασία, ὕβρις. παῖς. κάλυμμα, καὶ μέτρον τι σιτικὸν καὶ πλέγμα μυρσίνης πεποιημένον. ¶ Κορθύεται, ὑψοῦται, κορυφοῦται. ¶ Κόρος, πλῆθος ἀνθρώπων καὶ τὰ νέα

βλαστήματα καὶ μέγα. ¶ Κόρη. τράχηλος ἢ τὸ ὀπίσω τοῦ τραχήλου ἢ κρόταφος. ¶ Κορίσιον, μικρὸν κοράσιον. ¶ Κορσεὺς, κουρεύς. ¶ Κοράφοις, ὑποπεργαίοις. ¶ Κόρσαι, αἱ τῶν ὀφρύων τρίχες καταφέρουσαι εἰς τοὺς ὀφθαλμούς, ἢ γνάθοι, ἢ κορυφαί. ἄλλοι δὲ κεφαλὰς ἐπάλξεις προμαχῶνας, στεφάναι πύργων ἢ κρόταφοι ἢ κλίμακες. ¶ Κόρσακις, τράγος παρὰ Κρατίνῳ. Δίδυμος ἤκουσεν ἀπὸ τῆς Κόρσης, Κόρσαι πόλις Κιλικίας. ¶ Κόρση, κεφαλή. ἔπαλξις. κλίμαξ, κρόταφος. ¶ Κορσίπιον, ῥίζα τίς. ἢ νόμισμα παρ' Αἰγυπτίοις τὸ κορσαῖον λεγόμενον.
Κορσὶς, πυγή. ¶ Κορσὸν, κορμόν. ¶ Κορσοῦν, κείρειν. ¶ Κορτεῖν, κροτεῖσθαι. ¶ Κορσωτήριον, κουρεῖον. ¶ Κορτερὰ, κρατερά. ἰσχυρά. ¶ Κόρτην, πάρθοι ἔθος καλοῦσιν, ἣν λαμβάνουσι παῖδες εἰς ἄνδρας ἀφικόμενοι. ¶ Κόρτος, ὁ ἐν τοῖς κυσὶ κρότων.
Κορτίνιοι, οἱ Ἀρκάδες, ὁ γὰρ Κόρτυς, πόλις Ἀρκαδίας.
Κόρυς περικεφαλαία. ¶ Κορυβαντιᾷ, ἐντελετεῖ.
Κορυβαντιώσης, μαινομένης. ἢ ἐπιθετικῶς δαιμονιζομένης. ¶ Κορυβαντισμῶν, καθαρισμῶν. ¶ Κορύβας, Ῥέας ἱερεύς. ¶ Κορυστεῖν, κορατίζειν. ¶ Κορύγης, κῆρυξ Ὀδυσσέως.
Κορυδαλλὸς πτηνὸν ζῶον, καὶ δῆμος τῆς Ἀττικῆς, ἢ κόρυδος παρ' ἐνίων. ¶ Κορυδὶς, ὄνομα κύριον. αὕτη ἐκωμῳδεῖτο ἐπὶ δυσμορφίᾳ, καὶ οἱ παῖδες αὐτῆς.
Κόρυζα, μύξα, κατάρροια περὶ κεφαλὴν πάθος.
Κορύζει, ξαίνει μωραίνει. ¶ Κορύζων, μεμωραμένος.
Κόρυθα, περικεφαλαίαν. ¶ Κορυθάϊκι, τῷ τὴν περικεφαλαίαν εὐκίνητον ἔχοντι, ἢ σείοντι. οἷον πολεμιστῇ. ¶ Κορυθαίολος, μαχητὴς ἀπὸ τοῦ αἰολεῖν τὴν κόρυν, ὅ ἐστιν ἐπισείειν. ὁ ποικίλην ἔχων περικεφαλαίαν. ἢ εὐκίνητος. ¶ Κορυθαλία. δάφνη ἐστεμμένη. τινὲς τὴν εἰρεσιώνην. ἄλλοι δὲ ὑπόροφον θύραν.
Κορυθαλλίστριαι, αἱ χορεύουσαι τῇ Κορυθαλλίᾳ θεᾷ.
Κόρυθα, περίδρομον. τὸ περιβόλαιον στέφανον.
Κόρυθες, περικεφαλαῖαι, περὶ τὸ κάρα. ¶ Κορυθία, αὐλητεία. ¶ Κόρυθοι, περικεφαλαῖαι. ¶ Κόρυθος, εἷς τις τῶν τροχίλων. ¶ Κόρυθος, φάος, περικεφαλαίας. ¶ Κόρυθας, περικεφαλαίας.
Κορυθέων, ἀλεκτρυών, οἱ νεανίσκοι. ¶ Κορυλλίων, ὄρνιθος εἶδος. ¶ Κώρυκος, θυλάκιον ἢ πήρα.
Κόρυμβα, τὰ ὑπ' ἐνίων ἄφλαστα τὰ ἀκροστόλια τὰ ἄκρα τῶν πρυμνῶν. τὰ ἀπεξυσμένα πρὸς κόσμον τῶν νεῶν ἄκρα, καὶ ἐπικεκαμμένα ἄνωθεν κατὰ τὴν πρύμναν καὶ κατὰ τὴν πρῷραν. ¶ Κόρυμβον, τὴν ἀκρόπολιν ἢ πᾶν τὸ ἐφ' ὕψος ὄν, τὸν ... ἐπὶ κεφαλῆς τοῦ ὄρους ὕλην, καὶ καθόλου πάντα τὰ μετέωρα καὶ εἰς ὕψος ἀνατείνοντα, κορύμβους λέγουσιν, ὅθεν κόρυς κύρβις. κυρβασία.
Κόρυμβος, ὁ καυλὸς τοῦ ἀσπαράγου. ¶ Κορυμβάσι, περιδρόμοις, δι' ὧν συσπᾶται γύργαθος καὶ κεκρύφαλος καὶ δεσμοί. ¶ Κόρυμνα, κόσμος τίς γυναικεῖος. περιτραχήλιος. ¶ Κορύνη, μύξα. ¶ Κορύνη, στρογγύλον ξύλον· οἱ δέ, ῥόπαλον· οἱ δέ, κολόροβον· οἱ δέ, ξύλον ἐπικαμπές. ¶ Κορύνησις, βλάστησις. ¶ Κορυνήτης, κορυνομάχος. ῥοπαλομάχος. ¶ Κορυνθεὺς, κόσσινος. κάλαθος ἀλεκτρυών. ¶ Κόρυνθος, μάζης ψωμός. ¶ Κορυ

τοῦ νομισθὲς, ἀλλ' ἔθνικοῦ ἐπὶ τῶν καινῶν πολιτῶν.

Κομμάραι, ἢ κομάραι, καὶ εἶδος μακεδόνες. ¶ Κομμαρεύειν, θηρεύειν μοχθηρῶν. ¶ Κόμμοι, ὀδόντων γόμφιοι, ἢ κόμποι. ἢ κοπρί. ¶ Κρότος, κόσμος.

Κομμοῦν ὡραΐζειν τὸ σῶμα. ¶ Κομμώσαισ, πλέκται. ¶ Κομμωθεῖσα. κοσμηθεῖσα. ¶ Κομμώτρια, ἡ πλέκτρια. ¶ Κόμμωσις, ὁ τοῦ σώματος ὡραϊσμὸς, καὶ ἀπὸ τῶν μελισσουργῶν, ὁ τοῦ σμήνους διάχρισις.

Κομμῶσαι, κοσμῆσαι. ¶ Κομμώτρια, ὁ κοσμοῦσα τὰς τρίχας καὶ ψιλοῦσα. κουρίσκουσα. ¶ Κομπάζει, καυχᾶται. ¶ Κόμπαλος, παλαιστροφύλαξ. ¶ Κομπαλικεύσαι, προσαλαζονεύσαι. ¶ Κομίζειν, καὶ καπαλαζονεύειν. ¶ Κομπεῖ, μεγαλορρημονεῖ ψοφεῖ.

Κόμποι, ὀδόντων γόμφιοι. ¶ Κόμποις, ὑπερηφάνοις

Κόμπος, ψόφος κτύπος. ἦχος ὀδόντων ¶ Κομπώδης, ἀλαζονικόν. ¶ Κομψὰ, τὰ στρογγύλα. ¶ Κομψεία, ποικιλολαλία ἡ πανουργία ἢ οἱ σκόλυμοι, ἔνιοι, τὰ τῶν κοσύφων κρέα, οἱ δὲ, γένος λαχάνων ὥσπερ τινὰ ἱπποσέλινον καὶ σμυρνίον. ¶ Κομψεύεται, κολακεύει, σεμνύνεται, πιθανοποιεῖ. ¶ Κομψὸν, ἔντιμον σπουδαῖον γλαφυρὸν, πιθανόν. πανοῦργον. λάλον. στωμύλον, σκωπτικόν. ἐπιχαρι. ¶ Κομψότερον, βελτιώτερον. ἐλαφρότερον. ¶ Κομψοῖς, βελτίστοις πανούργοις, σπουδαίοις, ἐντίμοις. καλοῖς. ¶ Κομφωδούντων, θεραπευόντων, συμπινόντων. ¶ Κομώσα γίνονται. ¶ Κοναβοῦσαι, ἠχοῦσαι, ψοφοῦσαι. ¶ Κόναβος, ἦχος. ψόφος. κρότος. ¶ Κόναι, φόνοι. ¶ Κονάειχον, γλαφυρόν. ¶ Κονδὸν, εὐτραφῆ. πίονα. δραστήριον. ¶ Κονδότερον, δραστικώτερον. ¶ Κονάσσουσα, κονιορτὸν ἐγείρουσα. ¶ Κόνδοι, κόρακες, ἀστράγαλοι. ¶ Κόνδυ, ποτήριον βαρβαρικὸν κυμβίον.

Κονδυλίζει, κολαφίζει. ¶ Κόνδυλος, ἕτερόν τι τοῦ κολάφου. ¶ Κονδυλούμεναι, ἀνοιδοῦσαι, καθάπερ ἐπὶ τῶν βρασσομένων ὑπὸ τοῦ πυρὸς ὑδάτων.

Κόνει, σπεῦδε, τρέχε. ¶ Κονεῖν, ἐπείγεσθαι, αἰσθάνεσθαι. ἐνεργεῖν. ¶ Κονίδης τινὸς ἰθαγενῶν. ¶ Κονίδης, θησέως παιδαγωγός. ¶ Κόνις, τέφρα. σποδός.

Κονεῖται, θεράποντες. ¶ Κονθυλαὶ, αἱ ἀνοιδήσεις.

Κονία, σμῆμα σποδός. ¶ Κονίαμα, μαζονόμον. ¶ Κονίασις, ἀσβέστωσις. ¶ Κονιαταὶ, ἀσβεστεῖοι ἐν οἷ χρίει. ¶ Κονίζεσθαι, κυλίεσθαι, φθείρεσθαι, κονιορτοῦσθαι. ¶ Κόνι, ἡ κόνις, ἄμμος μάχη ἀκαθαρσία.

Κόνιν αἰθαλόεσσαν, τέφραν μάχην ἀγῶνα καὶ σποδόν.

Κονίοντες, αἰόντες. λευκαίνοντων. ¶ Κονιποδες, ὑποδήματα μοιχικά. ¶ Κονιορτόποδος, ἀγροῖκος ἐργάτης. ¶ Κόνις κονιορτὸς καὶ τὰ ὅμοια.

Κονίσαι, αἰῦσαι. ¶ Κονισάλεος, κεκονιορτωμένος.

Κονίσαλοι, ἀφροδίσια. ¶ Κονίσαλος, κονιορτὸς σκίρτησις σατυρικὴ ἢ τῶν ἐντεταμένων τὰ αἰδοῖα.

Κονίσασθαι, ἀγωνίσασθαι. ¶ Κονίστρα, κονιορτοῦ πληρούσθαι. ¶ Κόννα, σποδός. ¶ Κοννάβησαν, ἤχησαν. ¶ Κονναβίζει, ὄχον ἐπιτελεῖ. δισμεύει.

Κόνναρον, καρπὸς δένδρου ὅμοιος παλιούρῳ.

Κοννεῖν. συνιέναι. ἐπίστασθαι. ¶ Κόννις, ἀλείτης πενίαν ἔχων καὶ πρὸ ὧν ἄθεστος. ¶ Κόννος, ὁ πώγων, ἡ ὑπήνη ἢ χάεις. ¶ Κοννοῦσι, γινώσκουσιν. ¶ Κονοφόρων. σκολυφόρων. ¶ Κόννου ψόφου. παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων. ¶ Κονωνειδῆς εἰς ὀξὺ λήγων.

Κοννόφοσιν, ἄφοσιν. ¶ Κονιστήριον, θεῖον συνέδριον.

Κονσουλάριος, ὑπατικός. ¶ Κόντιλος, εἶδος ὀρνέου ὁ ὄρτυξ. ἔστι δὲ καὶ ὄφις. ¶ Κονοῦσα, τὰ ἄλευρα οὕτως ἐκαλεῖτο. ¶ Κόντος, δόρυ. ¶ Κοντουβερνάλιος, συστρατιώτης. ¶ Κόντῳ πλεῖν. πρὸς κόντῳ ζῆν.

Κόνυζα, βοτάνη ἄφυλλος. τινὲς δὲ φυτόν τι εὔφυλλον ἱκανῶς. διὸ καὶ στιβάδας ἐξ αὐτοῦ ἐποίουν. ἔστι δὲ ὅτε ἐν ταῖς στέγαις ἐπέβαλον ἐξ αὐτῶν αὐτὶ ὠλεκρὸν καὶ ἐπὶ τὰ ἀκρώματα. ¶ Κονωεῖν, συνιέναι, ἐπίστασθαι.

Κόοι, τὰ χάσματα τῆς γῆς καὶ τὰ κοιλώματα.

Κοπάδες, τὰ ἐπικεκομμένα δένδρα. ¶ Κόπανον, ξύλον ἐρεταλυτικόν *. ¶ Κόπανον, ὁ σύγκαιον.

Κόπελλα, αἰδοῖα. καὶ τὰ ὀστώδη τοῦ στόματος. ¶ Κοπετός. κόμμος. θρῆνος μετὰ ψόφου χειρῶν. ¶ Κόπαθρον, φυτὸν λαχανῶδες ἄγριον. ¶ Κοπίσται, φονεύθέντες. ¶ Κοπίαι, ἡσυχίαι. ¶ Κόπιες, κερύζα ὀρνίθια. ¶ Κοπίζειν, ψεύδεσθαι. ¶ Κοπιῶσ, ὑψηλοῦ τόπου. ¶ Κόπις, μαγίς. δεῖπνον. μάζα. ἄρτος. κρέα. λάχανον. ὠμόν. ζωμός. σῦκον. τράγημα. θερμός.

Κοπτὰ, μελίπηκτα. ¶ Κομπάτιον, μονόφθαλμον.

Κοππατίας, ἵππος κεκαυμένος, ἐντετυπωμένον ἔχων σημεῖον τὸ κόππα. ὃ διὰ ἀπεστραμμένον ρ καὶ σ.

Κόπος, κοπιασμός. ¶ Κοπρεῦσαι, φυτεῦσαι.

Κόπρος, ὅτε τῶν κτηνῶν ὁ εἰς τοὺς κήπους βαλλομένη τέμβρος μέλανα κοπρώσαντες, καὶ ὁ στάσις τῶν βοῶν, καὶ ἡ κόνις κυλινδεῖ. καὶ τὰ κόπρον. ¶ Κοπρώνυμα, τὰ συρόμενα κόπρια. ¶ Κόπτει, πονεῖ. ¶ Κόπτε δὲ δεσμούς. πρὶν ὅλους κατεσκεύαζε καὶ ἐνήργει.

Κόπρου τῆς βυστασίας, ἣν ἔνιοι μάνδραν καλοῦσιν.

Κόπτη, θαλάσσιον πράσον. ¶ Κόπρειος, τῆς κύπρου.

Κόπτειον, θακῶν σκύβαλον. ¶ Κοπτομένου, ταλαιπωρουμένου. ¶ Κόπτων, τύπτων ἐλαύνων.

Κοραγεῖν, τὸ ἀπάγειν τὴν κόρην. ¶ Κορακεῖς, εἶδος ἰχθύος. ¶ Κορακίας, ὁ μέλας καὶ καλοιὸς ἢ κορακῖνος ὁμοίως. ¶ Κορακόνιοι, εἶδος ὀρνίθος.

Κόρακος πέτρα. τόπος ἐν ἰθάκῃ κληθεὶς, ἐντεῦθεν, ὁ κόραξ παῖς ὢν ἀρεθούσης διὸ θανεῖν. αὐφέρουσα δὲ τὴν λύπην ἡ μήτηρ αὐτοῦ, ἀπήγξατο. καὶ ἀπὸ τούτου κόρακος πέτρα ὠνομάσθη. ἀπὸ δὲ τοῦ μητρὸς κρήνη τῆς ἰθάκης ἀρέθουσα. ¶ Κορακοφοροκλείδης. ἔστι γὰρ ἱεροκλείδης.

Κοράλλιον, λίθος θαλάσσιος ἐρυθραῖος. ¶ Κόρανος, βασιλεὺς μακεδονίας. ¶ Κόραξ, τὶ γινωσκόμενον ζῶον, καὶ ἕτερον στεγανόπουν καὶ ἰχθὺς ποιός. καὶ τῶν ἀλεκτρυόνων ἀκρορύγχη. ¶ Κοράξαι, ἐγαρ προσλιπαρῆσαι. πεποίηται παρὰ τοὺς κόρακας.

Κοραξοὶ, σκυθῶν γένος καὶ τὸ γυναικεῖον αἰδοῖον.

Κόραξ ὑδρεύουσι, παροιμία ἐπὶ τῶν δυσχερῶς τινῶν τυγχανόντων. ¶ Κόρας, ὀφθαλμούς.

Κορασεῖ, ὀρχεῖται, καὶ ἄκλοτα ἐλήλυθε. ¶ Κοράττειν, κορακεύεσθαι. ¶ Κορασύλη, ἀπόσπασμα.

Κορύνο, ῥόπαλον. ¶ Κόραφος, ποιὸς ὄρνις.

Κόρμα, ὁ τοῦ κόρματος καὶ κορυβαντίας αἰτία.

Κόρδαξ, εἶδος ὀρχήσεως ἄσεμνος κωμικῆς. ¶ Κορδακίζουσι αἰσχρὰ ὀρχούμενοι. ¶ Κορδακισμοὶ, τὰ

ἐκτμήματα ἁρμάτων, ἀφ' ὧν ἕψεται ἡ κόλλα τοῦ βοός. ¶ Κόλλα, τοῦ βοὸς τὸ νεωτικὸν δέρμα ἐξ οὗ τὸ κολλᾶν. ¶ Κόλλοπες, οἱ κόλαβοι, παιδίοις αἱ χορδαί, τὸ δὲ νεωτικὸν ἢ τὸ τραχηλιαῖον τοῦ βοὸς κόλλοψ, διὰ τὸ εἰς κόλλαν ἐπιτήδειον. ἢ τοὺς σκληροὺς δὲ καὶ πεπορνευκότας παῖδας, ἐντεῦθεν κόλλοπας φασίν.

Κολλήεντα, καλῶς κεκολλημένα, ἢ τὰ ἐκ συμβλημάτων ἡρμοσμένα. ¶ Κολλητάς, σανίδας, τὰς θύρας τὰ θυρώματα. ¶ Κολλίδαι, γένος ἰθαγενῶν.

Κόλιξ, τὸ περδύμθρον(?). ¶ Κόλλικας, εἶδός τι ἄρτου.

Κολλικονόμον, τὸν κόρδακα. κόλλικα. λέγονται καὶ κορδακίσματα. ¶ Κόλλοπι, κολοβῷ. ¶ Κολλοπίζειν, καθέλκειν. ¶ Κολλοπῶσαι, κατακολλῆσαι.

Κόλλου, ἄρτος. ¶ Κόλλοψ. τοῦ νώτου ὁ φορίνη, καὶ περὶ λοφιᾶς τὸ ἄκρον. ¶ Κόλλυβα, τρωγάλια.

Κολλυβιστής, τραπεζίτης, κόλλυβος γὰρ εἶδος νομίσματος, καὶ ὁ ἐν τῷ χαλκῷ κεχαραγμένος βοῦς.

Κολλύρα, Θεόφραστος ἀπὸ τῶν ἐκ τέφρας πεπλασμένων, ἢ ἐν ἕλκουσι. ¶ Κολλυρίων, ὄρνις ποιός.

Κολλύχνιον, καθίου λέπισμα. ¶ Κολοβάθινα, τὰ κολλοβαφῆ. ¶ Κολοβοί, ἐπικόπτει. ¶ Κολλοβός, κονδὸς μικρὸς ὀλιγοστὸς ἢ ἐστερημένος, ἢ νόμος τις κιθαρῳδικός. ¶ Κολοιβάζειν, ἀπέκτως ἐσθίειν.

Κολοίδιον, παραξιφίδιον. ¶ Κολοίδρον ξύλον μάχας ποιούντων ἐπεισφερόμενον. ¶ Κολοίη, φωνή.

Κολοιοί, σκῶπες μικραὶ κορωνίαι. ¶ Κολοιός, ὃς οὐ ταχὺ ὀρχεῖται ἐν Ἀλεξανδρείᾳ. ¶ Κολοίπημα, ἄπλυτον κάθαρμα. ¶ Κολοίτεα, δένδρον τι.

Κολοί, τύποι κακοί. ¶ Κολοίφρυξ, ταναγραῖος ἀλεκτρυὼν ἢ ὄρος Βοιωτίας. ¶ Κολοκάνοι, εὐμήκεις καὶ λεπτοί. ¶ Κολοκτρύων, ἀπὸ τοῦ κολονοῦ, ἀλεκτρυόνος μεγάλου γέγονεν. ¶ Κολοίστιον, ξυρόν.

Κολόκυμα, τὸ τυφλὸν κῦμα, οἱ δὲ τὸν σκώληκα καλούμενον τὸ μικρὸν κῦμα. ¶ Κολοκώνας, τὰς βαλβίδας τινές. ¶ Κολόν, κολυστόν. μέσον τράγου κέρατα οὐκ ἔχοντα ἢ ὁ τῶν κεράτων ἔκφυσις, ἀλλὰ τὸ μόνον ἔχει τὸ ζῷον, καὶ μηδέποτε εἰς τὸ τέλειον κέρας φορεῖν. ταύτας δὲ καὶ κολόκρους ἔλεγον. δηλοῖ δὲ καὶ τὸ ἔντερον καὶ τὸ κολοβόν, παρὰ δὲ Ὁμήρῳ τὸ κολοβὸν τὸ κεκολοβωμένον. ¶ Κόλος. κολοβός, ὁ μάχη ἄκριτος ἢ θόρυβος νοσώδης πρὸς κολοβός. ¶ Κολοσσοί, ἀγάλματα ὑπερμεγέθη ἀνδριάντων. ¶ Κολοστομός, ἔπαυλις κατάβασιν ἔχουσα τὸν πυλῶνα.

Κολοσσίαι, ἀνδριάντος σκιὰ καὶ τὸ εἰς ὕψος ἀνάστημα.

Κολοσυρτεῖ, θορυβεῖ τὰ ὁράσι. ¶ Κολοσυρτός, θόρυβος συρφετώδης κονιορτώδης ὄχλος ἀναφορά. ¶ Κολυᾶν, θορυβεῖν. ¶ Κουλούει, κατασείει, σάττει, κωλύει, ἐμποδίζει, κολοβοῖ. ¶ Κολούεται, ἐλαττοῦται. ¶ Κολουρέη, κολοβῇ νεότητι. ¶ Κολουρίᾳ, τῇ ἀποτομίᾳ. ¶ Κολουρίτης, γῆς σκελοί.

Κόλουρον, κολοβὸν μάστιγα. ¶ Κόλου, κώλιον Λακώνων. ¶ Κολουμβᾶ, θορυβεῖ. ¶ Κολοιούς, ψωμούς.

Κολοῦσθαι, κολοβοῦσθαι. ¶ Κολούσματα, κλάσματα. ¶ Κολούων, μειῶν ἐλαττῶν. ¶ Κολοφών, ὁ κολοιός, καὶ ἰχθῦς ποιὸς θαλάσσιος, ἢ τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον, καὶ ἐπὶ παθῶν ὅτι συμφορῶν

λαμβάνεται. ἢ τὸ ὄνομα πόλεως κεφάλαιον καὶ τὸ τέλος ἤγουν τὸ πέρας τοῦ πράγματος. ¶ Κολοφώνια, ὑποδήματα κοῖλα καὶ μεταλλικόν τι. ¶ Κολοχειρ, χείραργος κόλπον ἀνειμένην τὸ κατὰ τὸ στῆθος μέρος ἀνέλκουσα ἵνα τὸν μαστὸν δείξῃ. ¶ Κόλπος, κοῖλος τόπος παραθαλάσσιος. ¶ Κόλσκεσθαι, ἱκετεῦσαι.

Κόλυβος, ἔπαυλις. ¶ Κολυμβίζοντες, ἐκτελοῦντες. ¶ Κολυμβητάς, τοὺς ἐκ τῶν φρεάτων ἀναπέμποντας τοὺς κάδους. ¶ Κολυμβίς, ὄρνις ποιός.

Κόλυμβοι, αἱ κολυμβάδες τὰ ὄρνεα, ἢ ζωύφια ἐν κολυμβήθραις. ¶ Κορύρας, ἀρτίδια μικρὰ καθαρά.

Κολύμφατος, φλοιός. λεπίδιον. ¶ Κολυρίζοντες, ἐκκενοῦντες. ¶ Κολοττός, ὄνομα δήμου. ¶ Κολόφανον, φλοιὸς λεπύριον. ¶ Κολυφρόν, ἐλαφρόν.

Κολῶ, κολάσω. ¶ Κολῶναι, αἱ πόλεις Τροίας.

Κολωμένους, κολάσαντας. ¶ Κολωνός, παροιμία, ὀψὲ ἦλθες, ἀλλ' εἰς τὸν κολωνὸν ἴθι, ἐλέγετο δὲ ἐπὶ τῶν μισθαρνούντων. ¶ Κολωνία, τάφος Ἠλείοι.

Κολώνη, τόπος ὑψηλός, καὶ ἐπανάστημα γῆς βουνοειδές. ἢ πόλις μεγάλη. ¶ Κολωνός, τόπος ὕψος ἔχων.

Κολῷον καὶ κολῳόν, ἢ κολῳός, θόρυβος ἀταξία ταραχή. ἡ μεταφορὰ ἀπὸ τῶν ζώων. ¶ Κολώπου, τόπος ἐν τῷ ἄστει. ¶ Κόλωψ, ἀμφιάτωρ. ¶ Κολοφών, πέρας. ἔσχατος. τέλος. ¶ Κολοτέα, δένδρον τι.

Κομᾷ, γαυριᾷ μεγαλοφρονεῖ, ἢ χλοηφορεῖ ἢ ἀναθάλλεται.

Κόμαι, τρίχες. ¶ Κομαῖθα, ὁ τυχοῦσα γυνή. ¶ Κομάσονται, κομηθήσονται. ¶ Κομάκτωρ, ἡ λέξις, παρὰ Ῥίνθωνι ἐν Μοσχίᾳ. ¶ Κομανίαν, πορνείας ψίλειαν ἄνοιαν. ¶ Κόμαρος, φυτόν τι ὅπερ φέρει καρπὸν μιμαίκυλον. ¶ Κομάς, θεραπείας καὶ τὰ συοφόρβια.

Κόμβαι, κορῶναι* πολυείνιοι. ¶ Κομβακεύεται, κόμπους λέγει. ¶ Κόμβαλα, σήματα τινά. ¶ Κόμβοι, κηρίων μέτρον. ¶ Κόμβυζεν, ποιὸν ἦχον ἀπετέλεσεν. ¶ Κομβολύτης, βαλαντοτόμος. ¶ Κόμβωμα, στόλισμα, σκείρωμα. ¶ Κομβίζων, φυσιῶν,

Κόμβος, κόσυμβος τὸ ἔκταμα. ¶ Κόμβας, ὀδόντας γομφίους. ¶ Κομβώματα, τὰ ἐν ταῖς ῥάβδοις μικρὸν τόρνον ἔχοντα, ὑπὸ πτακλέων. ¶ Κομβάσασθαι, στολίσασθαι. ¶ Κομεῖν, ἐπιμελείας ἀξιοῦν. ¶ Κόμεεν, κομεῖν ἐπιμελεῖσθαι θεραπεύειν, ὅθεν καὶ κόμη καὶ ἱπποκόμος. ¶ Κομενταρείσιος, τὰς ἐγγραφὰς τῶν ἐγκλημάτων δεχόμενος. ¶ Κόμαι, αἱ τρίχες τῆς κεφαλῆς καὶ χαίτη. ¶ Κομιδή, ἡ ἐπιμέλεια θεραπεία.

Κόμης, ἄρχων, ἡγεμών. ¶ Κομβῶσαι, ἀναλαβεῖν.

Κομητά, εὐχητά. ¶ Κομήτης, ἀστὴρ καλὰς τρίχας ἔχων, ὁ ἀστήρ. ¶ Κομία, εὐωχία. ¶ Κομίαν ὑμεῖς ἐξαίτησιν λαμβάνειν τοῦ ἀφεθῆναι. ¶ Κομιδῆ ἄκρον. πάνυ σφόδρα. παντελῶς, ἢ συλλογὴ ἢ λῆψις ἢ ἐπιμέλεια.

Κομιζέ, ἐπιμελείας ἀξίου. ¶ Κομίζεται, νομίζεται, λέγεται ὅπερ ἐστὶν ἐν τυμπανιστρίαις. ¶ Κομίζων, βαστάζων ἐπιφέρων. ¶ Κομίσαι, φέρειν σῶσαι, θρέψαι. ἀναλαβεῖν, ἀνακομίζειν, ἐπιμελείας ἀξιῶσαι. ¶ Κομιστάς, ἐπιμελητάς. ¶ Κομίστρια, ἐπιμελήτρια, τροφός. ἐμπλέκτρια. ¶ Κομιούμενος, ὠνησόμενος. ¶ Κομιστή, τροφή. ¶ Κόμματα, ἕνα τῶν εἰπεῖν. ¶ *Κομμακενθεω. οὐ μόνον ἐπὶ

δὲ λεπτὸν, ἑξακισχίλιοι τῶν ταλάντων. ¶ Κόδρους οὓς ἡμεῖς λέγομεν κρονικούς τινας. τὸ ἀρχαῖον αὐτῶν ἐμφανίζοντες ἀθηναῖοι. λαμπρὸς τῷ γένει. ¶ Κοδύμαλον, τὸ στρουθίον μῆλον, οἱ δὲ κυδώνιον, οἱ δὲ ἄνθους εἶδος, οἱ δὲ, κόσμος παρὰ ξαχίλιος. ¶ Κοδώνια, σῦκα χειμερινὰ, ἢ καρύων εἶδος περσικῶν. ¶ Κοθεῖ, κάθανεται νοεῖ. ¶ Κόθημα, εἶδος τοῦ αὐδίου καὶ κόπλον ὁμοίως. ¶ Κόθορνος, ὑπόδημα, ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. τινὲς δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττειν φασὶ τὸ ὑπόδημα τὸ κόθορνον. ¶ Κοθούειν, ἀλώπεκα. ¶ Κόθουρος, ἀργὸς, ἄκεντρος. ¶ Κολοβοῦρος, σιτοκοῦρος, ἀχρεῖος, κακοῦργος ἀλώπηξ.

Κοθὼ, βλάβη. ¶ Κοθωκίδαι, δῆμος. ¶ Κωθωνίσαι μεθύσαι, κώθων γὰρ τὸ μέγα ποτήριον. ¶ Κώθων, περιφερὲς καὶ μέγα ποτήριον. ¶ Κοία, κλέψημα.

Κοιδὰ, κοῖλα. ¶ Κοιάζει, ἐνεχυράζει. ¶ Κοιὰς, σφαίρας ἢ λίθους. ¶ Κοίασον, συνήθης. ¶ Κοιᾶται, ἱερᾶται. ¶ Κοίελος, τὸ ἐν τοῖς κυάμοις θηκίδιον.

Κοίζειν, τὰ χοιρίδια μιμητικῶς λέγεται. ¶ Κοίημα, γέννημα. ¶ Κοίης, ἱερεὺς καβείρων ὁ καθαίρων φονέα, οἱ δὲ κόης. ¶ Κοῖκες, ἐν αἰθιοπίᾳ φοινίκων εἶδος, καὶ τὰ πεπλεγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη φορμοί. ¶ Κοικύλλειν, περιβλέπειν, κῦλα γὰρ τὰ ἐπάνω τῶν ὀφθαλμῶν. οἱ δὲ, τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον, ἄλλοι φθονεῖν. ¶ Κοιλάδας, πεδία λιβάδας. ¶ Κοιλὰς, τὸ ἔνδον καὶ ὁ βαθεῖα γῆ. ¶ Κοίλησι, βαθείαις. ¶ Κοιλία, ὀχετὸς ἐν κυρήνῃ, καὶ τὸ ἐκ ξύλων οἴκημα. ¶ Κοιλὶς, δῆμος ἀττικός. ¶ Κοίλισκον, κοῖλον. ¶ Κοιλώμασι, ταπεινώμασιν. ¶ Κοῖλον τοῦ πολλὸς δίξαι, εἶδος τῶν εἰς φυγὴν τετραμμένων. ¶ Κοῖλον, λόχον, τὸν δούρειον ἵππον. ¶ Κοιλότερα, βαθύτερα. ¶ Κοιλοπέτυξ, ὁπλίτης. τινὲς δὲ ὀϊστός. ¶ Κοιλῶπι, πέζωμα. ¶ Κοῖλος, θυρεὼν οὐκ ἔχων θύρας.

Κοῖλο, τὸ καλόν. ¶ Κοιλώτεα, δένδρον τι.

Κοιμάστριος, κοιτών. ¶ Κοιμηθέντι, κατακλιθέντι. οὐ πάντως ὑπνώσκοντι. ¶ Κοιμηθῆναι, κατακλιθῆναι, ὑπνῶσαι. ¶ Κοιμίζει, κατακλίνει. ¶ Κοιναχόρηγος, κοινῇ δημοσίᾳ. ¶ Κοινίον, πορνίον. ¶ Κοινοβούλας τοῖς συνέδροις. ¶ Κοινοδήμιον, τὸ δημόσιον ἢ τὸ δικαστήριον. ¶ Κοινολογεῖται, κοινῇ διαλέγεται.

Κοινοκαθῆτες, συνθηκοφύλακας. ¶ Κοινὸν, βδελυκτόν. ἀκάθαρτον. ¶ Κοινὸς, διαπότης, καὶ μέρος τι ἐπὶ νεὼς, δῆμος, ἀδελφὸς σοφοκλῆς ἀντιγόνῃ, ὦ κοινὸν αὐτάδελφον ἰσμήνης κάρα, καὶ ἐν ὑδροφόροις. τὸ λύκοινον ἀμφιτείτην. ¶ Κοινῶνας, κοινωνούς.

Κοινῶσαι, προσανενεγκεῖν. ¶ Κοινὸς, ἑρμῆς, παροιμία ἐπὶ τῶν κοινῇ τι εὑρισκόντων. ¶ Κοῖον, ἐνέχυρον.

Κοιόλης, ὁ ἱερεύς. ¶ Κοιοφόρος, ἔγκυος ἐγγαστρουμένη.

Κοισποιβάτην, σπέρμα ἄγριον. ¶ Κοιρανέων, κοιρανοῖς καθιστάς. ὁ τὰ τοῦ κοιράνου ἔργα ἐπιτελῶν, κελεύων βασιλικῶς ἢ βασιλεύων. ¶ Κοίρανος, ὁ ἐπικρατῶν καὶ ἡγεμονεύων βασιλεύς. ¶ Κοίσκαι, δίκαιοι.

Κοισοὶ, κορμοί. ¶ Κοῖται. γυναικῶν ἐπιθυμίαι.

Κοιτάσαι, κατακοιμῆσαι. ¶ Κοίτη, κίστη. ἐν ᾗ τὰ βρώματα ἔφερον. αἱ δὲ μικραὶ κοιτίδες. ¶ Κοιτὶς, ἡ

μικροτέρα κίστη ἐν ᾗ ὁ γυναικεῖος κόσμος ἀποτίθεται.

Κοιτὴν ἰαύει, εἰς τὴν κοίτην ἐγκοιμᾶται. ¶ Κοίτης, ὁ ἐν τῇ κοίτῃ ὕπνος, καὶ θηλυκῶς ἡ κοίτη. ¶ Κοιτὸν τὸ δωμάτιον. ¶ Κοιφὸν, κοῖλον. ¶ Κοκόσκειν, ἀφιδρώσκειν, καθιδρώσκειν. ¶ Κόγκαλος, ῥόμβος. στρόβιλος, πεύκη. ¶ Κοκκίδα, αἴγειρον. ¶ Κοκκόαξ, κορώνη. ¶ Κοκκοῦσαι, συκῆ. ¶ Κοκκοβάρη, γλαύξ. ¶ Κοκκοθραύστης, ὄρνις ποιός. ¶ Κοκκόνοι, οἱ πυρῆνες τῶν ἐλαιῶν. ¶ Κόκκος, ἐξ οὗ τὸ φοινικοῦν βάπτεται καὶ αὐτὸ τὸ χρῶμα καὶ τὸ γυναικεῖον μόριον. καὶ ὁ τοῦ σίτου κόκκος. ¶ Κόκκου τὸν τοῦ σίτου κεγχραμίδα, καὶ ἐπιβόημα οἰωνόμου. ¶ Κοκκοχλύζειν, συλλαβίζειν. ¶ Κοκκοποιὸν, κοκκοβαφές.

Κόκκυ, τὸ ἐλάχιστον. ¶ Κοκκυβίας, ὄνομα κύριον.

Κόκκυγες, εἶδος ὑπογονευθέντων πλειόνων ἐστὶν καὶ ὀλίγων ὄντων. ¶ Κοκκυγίαν ἄνεμον οἱ κροτωνιᾶται.

Κοκκύζει, περαίνει, φωνεῖ ὀξέως. ¶ Κοκκύμηλα, ὁ καρπός. ¶ Κόκκυξ, τὸ ζῶον, ἢ τὸ ὄρνεον, καὶ ἡ βοτάνη καὶ ὁ πρόβολος καὶ τοῦ ὑγροῦ ὀστέου τὸ πρὸς τοῖς ἰσχίοις καὶ λόφος. καὶ περικεφαλαία. ¶ Κόκκυ, λόφος.

Κόκκωνες, οἱ κόκκοι ἐπὶ ῥοιᾶς καὶ ὅθεν ἰξός. ¶ Κοκρύδεκοι, κυλλοί. ¶ Κοκρύδων, ληστῶν, κλεπτῶν.

Κοκκία, οἱ πάπποι καὶ οἱ πρόγονοι. ¶ Κῶλα, ὅσα μέλη, ἢ ὅπλα. καὶ εἶδος ὀρχήσεως, ὁ καὶ ξιφισμός.

Κολαβρίζειν, σκιρτᾶν. ¶ Κολαβριζομένη, κώλοις ἁλλομένη. ¶ Κόλαβρον, τὸ χοιρίδιον. ¶ Κολάζειν, πραΰνειν ὀγκᾶσθαι. ¶ Κολακαφόρ: κλείδης, ἱδροκλείδης ὃν εἰς πονηρίαν κωμῳδοῦσιν. ἕρμιππος μὲν ἐν κέρκωψι. φρύνιχος δὲ ἐν κωμασταῖς. ὁ δὲ ἀσκληπιάδης, κλεώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπιστήσας. ¶ Κολάττω, κόλακα. ¶ Κολακώνυμος, κλεώνυμος λέγεται κολακώνυμος, κόλαξ ὤν. ¶ Κολάπτει, κλᾷ ἢ τῷ στόματι, ἢ γλύφει. ¶ Κόλασις, τιμωρία.

Κολασσία, ἀνδριάντος σκιὰ, καὶ τὸ εἰς ὕψος ἀνάστημα.

Κολαφιζόμενος, ῥαπιζόμενος. ¶ Κόλαφος, κόνδυλος. παρὰ δὲ ἐπιχάρμῳ ἐν ἀγρωστίνῳ καὶ παιδοτρίβου ὄνομα. ¶ Κόλεα, ποιά τις ὄρχησις. ¶ Κολεάζοντες, ὠθοῦντες. ¶ Κολύοντες, πραΰνοντες.

Κολεάμος, ματαιόφρων. ¶ Κολεασμὸς, τὸ πραΰνεσθαι, πεποίηται δὲ ἀπὸ τοῦ κόλου, καὶ ἀπὸ τοῦ καθιέναι εἰς τὸ κόλον. τοῦτο δὲ κολεάζειν ἐλέγετο. ¶ Κολέαχος, κακόχολον ὄνομα. ¶ Κολεῖν, ἐλθεῖν. ¶ Κολεκάνοι. τοῦτ' εἶδος μύκοις διὰ λεπτότητι ἐπίκαστο. στράττις δὲ ἐν τῷ φορτικῷ δράματι τοῖς τι οὐκ ἄξια τις ἔξω τὴν ἀπουσίαν μητέρα τῶν διδύμων κολέκαν λέγων.

Κολεὸς, ὁ θήκη τοῦ ξίφους, καὶ λάρναξ καὶ ὑδρία. ¶ Κολεραὶ, νόθα, νωθρά. ἔνιοι δὲ πρόβατα τραχέα. ¶ Κολεᾶσαι, ἀναθόματα. ¶ Κολεμὶς. ἄρτεμις, ἀπὸ κολέμου τοὔνομα λαβοῦσα. ¶ Κολοβεῶσι, κατὰ παρουσίαν ἀπὸ τῶν τὰς ἐλαίας πατούντων. ὁ δὲ λέγεται κολέζαρ. ἔνιοι δὲ ἐνάλλονται εἰς τὸ κόλον, ὃ δηλοῖ εἰς τὸν γαστέρα.

Κολιβάζει, ἐσθίει, κατατρίβει. ¶ Κολία, ὀρχήσεως εἶδος, καὶ ἐπικιδεία. καὶ μέζον τι. καὶ τὸ ἡμικόλιον, καὶ τὰ ἐκ μέλιτος σατέλια. ¶ Κολιᾶν, ἐθίζειν, ἀγωνομονεῖν. ¶ Κολιάσαι, ὀρχήσασθαι. ¶ Κόλλεα, πα

Κ νέωρον, φυτὸν τὸ τοῖς θεσμοφορείοις ὑποστρώνυται, καὶ ὃ ἐστὶ καθαρὸν χρῶντα καὶ γυναικεῖον μόριον.

Κ νεῖ, κόπτει. ¶ Κνῦθος, κνυθός.

Κ νηθόμβροι, τὴν ἀκοὴν ζητοῦντες τι ἀκοῦσαι καθ' ἡδονήν.

Κ νῆκις, κνικοειδὴς τοῦ ἀέρος κατάστασις, καὶ λέρρις λεπτὴ καὶ νεφέλιον λεπτὸν, καὶ μελανία καὶ ἔλαφος.

Κ νῆκις ἐπινίνοθε, μελανία τις τῷ σώματι, ἄλλοι δὲ ἀπὸ τῶν νεφῶν εἴπον. ¶ Κνηκόν, τὸ κροκίζον χρῶμα ἀπὸ τῆς ἀνθοῦς, ὅτι δὲ ἐστὶ καρποῦ τὸ λευκόν.

Κ νῆκος, λευκὸς ἢ εἶδος τι σπέρματος καὶ πυρός.

Κ νῆμαι, τὰ διερείδοντα ξύλα τὴν χοινικίδα τοῦ τροχοῦ, αἱ κερκίδες, αἱ τῶν τροχῶν ῥάβδοι, χαλκέας καὶ τὰ κνήματα, καὶ ὁδοὶ ἀνώμαλοι ἢ ἀναντώδεις, ἢ ἡμῶν κνῆμαι ἤγουν τὰ σκέλη, ὑπὸ δὲ κνήμησι τέραξε.

Κ νημαργὸς, κνημώδης παχύκνημος.

Κ νήμη, μέρος ποδός. ¶ Κνήμησι, τοῖς τραχέσι τόποις καὶ δυσβάτοις. ¶ Κνημίαι, φθοραὶ καὶ τὰ ὀρθὰ ξύλα τῶν θρόνων ὅπου ἐστὶν ἤτοι κλίνη.

Κ νήμας, τὰ ἀντικνήμια καὶ τὰ ἤτοι τῶν θρόνων ἑκατέρωθεν ξύλα διὰ τὴν καθέδραν πανταχῇ, καὶ τὰ ἐν τοῖς ἁρματίοις τροχοῖς, καὶ τὰ ἐπὶ ἁμάξης ὑποθέματα.

Κ νημοῦμαι, φθείρομαι. ¶ Κνημουμένοις, τραχεῖς καὶ δυσβάτοις τόποις. ¶ Κνημωθῆναι, φθαρῆναι.

Κ νημῶσαι, διαχῶσαι. φράξαι, φθεῖραι, κλεῖσαι, ἐλθεῖν. ¶ Κνηστήρ, φονεὺς ὀλετήρ.

Κ νῆν, κνύθειν. ¶ Κνῆστις, κοπὶς σιδηρᾶ ξυστὴρ ἐν ᾧ ξύουσι τὸν τυρόν. τινὲς δὲ καὶ τὴν ῥάχιν ἀκούουσιν. ἔνιοι τὸ ἀκνεῖν. ¶ Κνηστὸς, ἄρτος ἀρτεμίδωρος.

Κ νηφὴν, τὸ κνεφόν. ¶ Κνίδαι, σκνῖφαι ἢ πέταλίς.

Κ νιδᾶται, δάκνεται, ἴσως ἀπὸ τῆς πέας.

Κ νίδος, νήσου ῥόδου. ¶ Κνίζει, λυπεῖ.

Κ νίδοντες, κνίδημασι τρώοντες.

Κ νίζων, ἢ κνιζεῖν λυπῶν ἢ συκάμινα τέμνων.

Κ νίπα, σπίλη. ¶ Κνιπεῖν, σείειν, ξύειν, μέλαθρα καὶ δοκούς. ¶ Κνίπες, ὄμματα παραβλεπόμενα καὶ ζῷα τῶν ξυλοφάγων. ¶ Κνιπίδος, πέρασμα δρᾶς. ¶ Κνίσα, ἀτμὸς καπνὸς τῶν θυσιῶν καὶ τὸ λίπος τοῦ ἱερείου καὶ ὁ ἐπίπλους. ¶ Κνίσαι, φθεῖραι, ὀλέσαι, λυπῆσαι. ¶ Κνισαλέω, παρακνίσω.

Κ νίσης, τῆς ἀναθυμιάσεως ἢ τοῦ λίπους.

Κ νισῆεν, θυώδης. ¶ Κνισμὸς, ζηλοτυπία ἢ μέλος τι κνισμῷ αὐλούμενον. ¶ Κνισολοιχὸς, λίχνος.

Κ νιστὰ, λάχανα συγκεκομμένα. ¶ Κνίφεα, κνίδες.

Κ νὶξ, ζῷον πτηνὸν, ὅμοιον κώνωπι.

Κ νοῦς, ὁ ἐκ τοῦ ἄξονος ὄχος, λέγεται δὲ καὶ κνοὴ, καὶ ὁ τῶν πολλῶν ψόφος, ὡς αἰσχύλος σφιγγί. τινὲς δὲ φασὶν κνοῦν μὲν ἦχον. χνόην δὲ μέρος τοῦ ἄξονος ἢ χοινικίς.

Κ νῦ, τὸ ἐλάχιστον. ¶ Κνύειν, κνήθειν. ξύειν.

Κ νῦθα, κνησμὸς ἀπὸ τοῦ κνύζεσθαι ἤτοι τῶν κυνῶν καὶ ὁ κόνζα καὶ τὰ συγκοπήν. ¶ Κνύζεσθαι, μοχθεῖν κλαίειν ἀφανίζεσθαι. ¶ Κνυζηθμὸς, ἰδίωμα ἤχου φωνῆς καὶ κλαυθμός. ¶ Κνυζὸν, ἀέρα ἐπινέφελον καὶ πνευματώδη. ¶ Κνυζοὶ, οἱ τὰ ὄμματα κνοῦντες.

Κ νυζούμενον, στένοντα, ἢ φωνὴ κυνῶν, ἢ κνυζηθμὸς λεπτὸν φθεγγομένων. ¶ Κνυζώσω, συστέσω, κακώσω.

Κ νύζωψ, λάχανον ὅμοιον σελίνῳ.

Κ νυθὸν, σμικρόν. ¶ Κνυπῶσαι, σιγκώσω.

Κ νύθος, ἄκανθα μικρά. ¶ Κνώδακες, οἱ ἐν τοῖς φυσητῆρσιν ἀσκοί. ¶ Κνώδαλα, κυρίως τὰ θαλάττια θηρία. κινώδαλα καὶ ὅσα ἐστὶν τὰ ἐν τῇ ἁλὶ κινούμενα. ὅμηρος δὲ ἤτοι χερσαίου φησὶν κνώδαλον θηρίον ἢ ζῷον μικρόν. ¶ Κνώδαξ, κέντρον, ἄξων, γνώμων, ὅρπηκον χρυσοχοϊκόν. καὶ χαλινόν. ¶ Κνώδη, χωρία. θηρία. ¶ Κνώδων, ἡ ἀκμὴ τοῦ ξίφους καὶ τοῦ δόρατος.

Κ νῶος, ἡσυχία πάντων. ¶ Κνώσσειν, ὑπνοῦν καθεύδειν κοιμᾶσθαι ῥέγχειν. ¶ Κνωσόμενοι, κνηθόμενοι.

Κ νωπεὺς, ἄρκτος, ἔνιοι κνουπεύς.

Κ νωσσὸς. πόλις. ¶ Κνωσσίοντι, καθεύδοντι.

Κ νωσιάκωλα, τὰ ὁρμητικά.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ο.

Κ

οᾶ, ἀκούει, πυνθάνεται. ¶ Κοάλεμος, ἠλίθιος ἀνόητος. ¶ Κοαλδδεῖν, λυδοὶ τὸν βασιλέα. ¶ Κοαλιεῖν, βάρβαρον ἔθνος.

Κ όαλοι, βάρβαροι. ¶ Κόαξ, βάτραχος.

Κ όαρον, ἐλάχιστον. ¶ Κοάσαι, αἰσθέσθαι.

Κ οάχλικας, ἄρτοι. ¶ Κόβακτα. κολακεύματα πανουργήματα. ¶ Κόβαλος, πανοῦργος κακοῦργος στωμύλος λάλος, ἀφ' οὗ καὶ ὁ κομψὸς ἔνιοι μάταιος ἄλλοι κρόταφοι, στὸ ἄσωτος παθαστὴς ἀπατεών κακόχολος. ¶ Κόβαλος, ἄνθρωπος. ¶ Κόβιρα, γελοῖα.

Κ όβιρος, γελοιαστὴς, σκώπτης, λοιδορητής.

Κ οβελίσκον, ξυβλίον. ¶ Κόγκαλος, κονιορτός.

Κ ογκυλεύοντες, κογκύλιον ἐκπιάζοντες. ¶ Κόγξ, ὄμπαξ, ἐπιφώνημα τετελεσμένοις, ἢ τῆς δικαστικῆς ψήφου ἦχος ὡς ὁ τῆς κλεψύδρας, παρὰ δὲ ἀττικοῖς βλόψ. ¶ Κογχαλίζειν, πεποίηται ἀπὸ τοῦ ἤχου τῶν κόγχων. ¶ Κόγχας, ἢ χήμας καὶ τὸ μεῖζον.

Κ όγχναι, αἱ ὄγχναι. ¶ Κόγχην διελεῖν, παροιμία ἤτοι τοῦ ῥαδίως τι ποιῆσαι.

Κ όγχας, ἤτοι τοῦ ἀξίου οὐ τέλειαν ἐπίθεσιν.

Κ ογχίτης, εἶδος λίθου. ¶ Κόγχον διελες, ἴσον ἐποίησας. ¶ Κόγχος, κοχλίας. ¶ Κογχυλάσιοι, γυναῖκες νύμφαι. ¶ Κογχύλαι, κηκίδες.

Κ ογχύλιαι, τὰ ὄστρεα καὶ πορφύραι. ¶ Κογχυλίας, λίθος σκληρὸς ἔχων ἐν ἑαυτῷ κογχυλίοις τύπους.

Κ όδαλα, ἰχθῦς, κεστρεύς. ¶ Κοδαλεύεσθαι, ἐνδομυχεῖν διατρίβειν. ¶ Κοδαλεύομαι, ἐνδομυχῶ.

Κ οδαλευομένη, ἀρεσκευομένη, ἀπραγοῦσα.

Κ οδομαί. αἱ φρυκτωρεῖαι. ¶ Κοδράντης, τὸ πᾶν ἢ τὸ τέταρτον τοῦ φόλεως. ἢ λεπτὸν. τὸ δὲ λεπτὸν ἑξακισχιλιοστὸν ταλάντου, ὃ ἐστὶ νόμισμα ἐν ᾧ κόκκοι τρεῖς. τὸ δὲ τάλαντον, λίτραι ἑκατὸν εἰκοσιπέντε ὁ δὲ κοδράντης, νομίσματα τρία ὁ δὲ ἔσχατος κοδράντης, τὸ τέταρτον τῆς φόλεως. ¶ Κοδομεύει, φρύγει τὰς κριθὰς ἢ ἔργῳ οἰκοδομεῖ. ¶ Κοδομεύειν, τὸ ἐν ἰπνῷ φρύγειν, ἢ τινὶ ἀγγείῳ. ¶ Κοδομεὺς, ὁ ἐπιστάτης τῶν φρυγόντων τὰς κριθὰς φρύγων.

Κ οδομὸ, ὄνομα θεραπαινίς, ἀπὸ τοῦ κοδομεύειν, ὅπερ ἐστὶν ἐν ἰπνῷ φρύγειν. ¶ Κοδομία. ἰπνία φρυκτία ἀλετρεία. ¶ Κοδράντης, τὸ πᾶν, ἢ λεπτὰ δύο, τὸ

Κ λετὰ, κοσεία. ¶ Κλητῆρες, μάρτυρες.

Κ λυθὲν, κεκλημένον. ¶ Κλεδὼς. δόξα ὀνόματος κε κλημένος ὁ ἔνδοξος. ¶ Κληθραὶ, κλεῖθρες.

Κ ληδὸν, καλούμενον κλῆσιν. ¶ Κλήτωρ, κῆρυξ, ἄγγελος, ὑπηρέτης. μάρτυς. ¶ Κλίβα, τεῖχος.

Κ λίμακες, πλοίου εἶδος. ¶ Κλιματηφόρος, ὁ ἐπὶ κλιμακίου τιθεὶς τὸν νεκρὸν, κλιμακίας τὶς τῶν πυρῶν. ¶ Κλιμακίσκοι, πλάσματα ποιά.

Κ λιμακτῆρες, οἱ τῆς κλίμακος βαθμοί. ¶ Κλίματα ὑποδήματα. ¶ Κλίναι, τροπαὶ τῶν μαχομένων, καὶ τὸ παρέχεσθαι ἔξωθεν ὑπό τινος καὶ τὸ συνηθές.

Κ λῖναν, ἐξέψαντο ὑπεχώρησαν. ¶ Κλίνθη, κατεκλίθη, ἐπέκλινεν. ¶ Κλινθῆναι, ἀνακλιθῆναι, ἀνακλῖναι. ¶ Κλινὶς, ἐπὶ τῆς ἁμάξης νυμφικὴ καθέδρα. ¶ Κλίνουσι τάλαντα μεταβάλλει τὰ ζυγά.

Κ λινθῆτην, ἐκλίνθησαν. ¶ Κλόθρα, εἶδος δένδρου ὁ μοχλός. ¶ Κλινοπετεῖς, ἐπὶ δίφρου καθήμενοι.

Κ λεινὸς, ἔνδοξος ἀγαθὸς καλός. ¶ Κλινόστιχον, τὴν ψαλίδα. ¶ Κλιντὴρ. δίφρος ἀνακλιτός.

Κ λιντῆρες, δίφροι κλῖναι. ¶ Κλίνη, κράββατος.

Κ λινίδιον, ὑποκοριστικῶς τὸ αὐτό. ¶ Κλισία, κλίνη σκηνή. ¶ Κλισιάδες, αἱ δίπτυχοι θύραι κλισίαι.

Κ λισίαι, αἱ αὔλειοι πυλῶνες. ¶ Κλίσις, σκηνὴ καθέδρα καὶ ἡ ἔπαυλις, ἀπὸ τοῦ κλίνεσθαι ἐν αὐτῇ τὰ θρέμματα, καὶ πρόθυρον νίκανδρος, κλισία στάλη, οἱ δὲ, κρηπῖδα ἐνῷ οἱ θρόνοι ἔκειντο. Διονύσιος δὲ τοῦ μεγάλου οἶκον. ¶ Κλισίον, πανδοχεῖον. ἡ βάσις, ἐφ' ὃ τίθεται ὁ θρόνος. ¶ Κλισίον, παραστάς. προβάτων καὶ βοῶν στάσις, καὶ εἴσοδος, ἔνιοι τὰς τοῦ πυλῶνος θύρας πλατείας εἰς ἃς δύναται ζεῦγος βοῶν εἰσελθεῖν.

Κ λισμοὶ, θρόνοι ἢ ἀνάκλιντρα. ¶ Κλίσις, ὀνομασία.

Κ λίται, στοαὶ, ἢ ἐλαίας εἰς τὸ κατακλίνεσθαι.

Κ λιτὺς, τόπος κατωφερής. ¶ Κλιτὺς καὶ κλιτύες τὰ ἀποκλίματα τῶν ὀρῶν ἢ τὰ κατωφερῆ τῶν ὑψηλῶν ἢ κλίμακες. ἢ ὀρλόφοι. καὶ αὐλῶνας καὶ φάραγγας. ¶ Κλιμαδὸν, ὁ δερματίνος δίφρος.

Κ λιὸς, μέρος τι ἐπὶ νεὼς, ὁ παραξάχιλιος δεσμός. κοχλάσειον, ἢ ταιμανιάκης. ¶ Κλοίστρον, κλῶστρον.

Κ λοιωτὰ, δεσμοῖς δεξιλημμένα, κλοιὸς γὰρ εἶδος δεσμοῦ παραξαχιλίου. ¶ Κλοιώτης, ὁ δεσμώτης,

Κ λυριμιχοχὶς, ἀκουσαὶ θρόνους ¶ Κολοιοί. εἶδος ὀρνέων. ¶ Κλονεῖ, ταράσσει, φθείρει, φοβεῖ.

Κ λονεῖται. φθείρεται, ἔρχεται. ¶ Κλονέονται, ταράττονται. ¶ Κλονέοντο, ἐθορυβοῦντο, ἐταράσσοντο, καὶ τὰ ὅμοια. ¶ Κλῶνες, αἱ ἐκφύσεις τῶν δένδρων.

Κ λόνιον, ἰσχίον, ῥάχις. ὀσφὺς τὰ αὐτὰ καὶ τὰ ὅμοια.

Κ λόνος, ταραχὴ πολέμου ἢ σεισμός.

Κ λονούμενος, ταρασσόμενος. ¶ Κλοπεύειν, παραλογίζεσθαι: ἀπατᾶν κλεψιμαίᾳ στρατεύεσθαι.

Κ λονιστὴρ, παραμήριος μάχαιρα παρείχιον.

Κ λοπευτὴς, διαλλάκτης ἀλαζών.

Κ λύδων, πέλαγος. ¶ Κλυδὼν, χώρα καὶ ὁ τοῦ ὕδατος φορὰ ἢ κυμάτων σφοδρότης.

Κ λυδωνίζεται, ταράττεται, παρακρούεται.

Κ λυδώνιον, πέλαγος, χειμὼν, καὶ θόρυβος πραγμάτων.

Κ λύει. ἐπακούει. ¶ Κλύειν, ἀκούειν, αἰσθάνεσθαι

μάλιστα δέ τ' ἔκλυον αὐτοῦ. ¶ Κλύζει, πλημμυρεῖ, ῥέει βρύει. ¶ Κλῦθι. ἄκουσον.

Κ λύμενος, ἰατρός. ἀφυής. ὃν ἀριστοφάνης φησὶν αὐσαμεμῖχθαι τῷ μορσίμῳ διὰ τὸ καὶ τὸν μόρσιμον ἰατρὸν εἶναι ἀφυῆ, ὃν δὲ ὁ ξαγγοδοποιὸς ἀφυὴς ὁ μόρσιμος. λέγεται δὲ καὶ ὁ κισσὸς ὡς αὐτίμαχος, κισσοῦ τε κλυμένοιο καὶ ἀμπελίνας. ¶ Κλύεμεν, ἐπάκουσόν μου.

Κ λυταὶ, ἔνδοξοι ἀγαθοὶ καλοὶ τίμιοι πολύ, ὁ πανταχοῦ κηρυττόμενοι. ¶ Κλυτόδη, κλυτοῦ παῖ. ¶ Κλυτοπώλῳ, ἐνδοξοπώλῳ, ἱππεῦ ἀγαθός. ¶ Κλυτοτόξῳ, τῷ κατὰ τὴν τοξείαν ἐνδόξῳ. ¶ Κλυδὼς, ὄρνις ὁ ἀλεκτρυών. ¶ Κλυτοτέχνης, περιβόητος διὰ τὴν τέχνην.

Κ λύων, ἐπακούων. ¶ Κλωγμὸς, ὁ διὰ τῆς γλώττης περὶ τὸν οὐρανίσκον ψόφος, ὃν λάκησιν τινὲς φασίν οἷον οἱ ὀνηλάται ποιοῦνται κυρίως.

Κ λῶπες, κλέπται. ¶ Κλώδωνας, τὰς μιμαλλόνας, μαινάδας, βάκχας. ¶ Κλώζειν, τὸ ἐκβαλεῖν ἐκ τοῦ θεάτρου. κλωγμοὶ δὲ ἐλέγοντο. καὶ τὰ μιμήματα τῶν γινομένων ἐν τοῖς στόμασι ψόφων, οὓς πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ποιητῶν. ¶ Κλώθει, κατακλώθει, νήθει, ἐπιμηρύζει βλαστάνει, καλῶς αὔξεται.

Κ λῶθες, μοῖραι. ¶ Κλωκυλὰ, τὸ καθῆσθαι ἐπ' ἀμφοτέροις ποσίν. ¶ Κλωμακόεν, κρημνῶδες δύσβατον. ¶ Κλωμακόεσσαι, πολλὰ ἀποκλίματα ἔχουσαι, ἀφ' οὗ τὴν τραχεῖαν καὶ ὀρεινὴν σημαίνει ἢ κρημνώδη, ἢ δύσβατον. ¶ Κλῶπ, συντρίβων κατακαίων.

Κ λώνακα, ῥάβδον καὶ τὰ κλιμακώδη χωρία.

Κ λώναξ, κλάδος. ¶ Κλῶντες, σῶντες, συντρίβοντες. ¶ Κλωπᾶσθαι, ἐπιθυμεῖν θέλειν, καὶ τὸ λάθρᾳ ἢ ἀψοφητὶ ἰέναι καὶ πράσσειν καὶ κλέπτεσθαι

Κ λώπεια. ὄρχησίς τις ὡς ἰόβας ἐν τετάρτῳ θεατρικῶν. ¶ Κλῶπες, κλέπται. ¶ Κλωπωμένη, λάθρα ἢ ἀψόφως περιιοῦσα ἐφιεμένη παρὰ τὸ κλέπτεσθαι οὕτως τὸ προθυμεῖσθαι δὲ οὕτως ἔλεγον.

Κ λώσκων, ἐπικλώθων. ¶ Κλωστὴρ, τὸ κεκλωσμένον ῥάμμα. ¶ Κλώψ, κλέπτης.

Κ μητὰ, πεποιημένα, πεπονημένα.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ν.

Ναδάλλεται, κνήθεται: ¶ Κνάζει, βοηθεῖ.

Κ ¶ Κνακὸς, ψαρὸς, ἵππος. ¶ Κνακὸν, λευκὸν, πυρρόν. ¶ Κνάμπτει, κάμπτει, καταξαίνει κατίχει. ¶ Κνάξ. γάλα λευκόν.

Κ νάμπτομαι, κακοῦμαι, καταπονοῦμαι, καταξύομαι.

Κ ανάπτειν, κελεύω γλῶσσαν συνέχειν ἐντὸς τῶν ὀδόντων κελεύω τὴν γλῶτταν. ¶ Κναπτόμενον. ξαινόμενον

Κ νάσαι, ὀλέσαι, λυπῆσαι. ¶ Κναστήριον, ἐν ᾧ λάπτον λάκωνες. ¶ Κνάφοι, ἄκανθαι, αἷς κνάπτεται τὰ ἱμάτια. ¶ Κνάφου δίκην, ὅταν ἐν κύκλῳ οἱ κναφεῖς περιέλκωσι τὰ ἱμάτια περὶ τὸν λεγόμενον κνάφον, ἔστι δὲ φυτὸν ἀκανθῶδες.

Κ νεομένων, πηγνυμένων. ¶ Κνέφαλον, τύλη. ἣν δὲ ἡμεῖς τύλην, ἀττικοὶ τύλιον καὶ πῖλος ἢ προσκεφάλαιον, ὁ τύλη. ¶ Κνέφας, ἑσπέρα σκοτία νὺξ κενὴ φάους. ¶ Κνέφος, σκότωσις.

Κ λαδαρῶν, κλάδων. ¶ Κλαδαρόρυγχος, ζοχίλου
εἶδος. ¶ Κλαδᾶσαι, σεῖσαι. ¶ Κλαδάραχοι φα
ρμοί. ¶ Κλάδας, ζυγὰ αὐλοῦ. ¶ Κλαδόνες, κλάδοι.
Κ λάδος, ὄζος. ¶ Κλαδεῖ, λοιδορεῖ φθέγγεται.
Κ λάει, δακρύει, κλαίει. ¶ Κλαζομένιοι, οὕτω κωμῳ
δοῦνται, δοκοῦσι γὰρ ἐπικόπτοντες πρός τι ἄλλο.
Κ λαζομένιος, οὗτος ὁ ἡρακλείδης ὁ κλαζομένιός τε καὶ
ὁ βαθὺς καλούμενος. ¶ Κλάζοντες, κραυγάζοντες.
Κ λάζων, βοῶν, διαχίζων, καίων, ὁ κελεύθων αὐτὶ τῆς ση
μαίνων ὑπὸ ψόφῳ τὴν πορείαν. ¶ Κλαέσαι, κλαυ
σαι. ¶ Κλαιδόν, τὸ κανοῦν καὶ κλεῖς. μοχλός.
Κ άβακος, ὁ κάχληξ. ¶ Κλᾶξαι, κλεῖσαι. ¶ Κλαμα
ρὰν, πλαδαρὰν ἀσθενῆ. ¶ Κλαμμίς, ἀναδενδράς.
Κ λαμυστοῦσαι, βοῶσαι, καλέσαι. ¶ Κλᾶν, κάμπτειν. ἐμ
ποδίζειν. τέμνειν ἀμπέλους ὅπερ ἡμεῖς κλαδεύειν.
Κ λανία, ψέλλια βραχιόνων. ¶ Κλαπάζειν, χρονίζειν.
Κ λαπαγεῖ, ἐλαφρῶς καθεύδει. σκελοί. ¶ Κλάρας,
φοίνιξ τὸ δένδρον. ¶ Κλάρες, αἱ ἐπὶ ἐδάφους ἐσχάραι.
Κ λαρία, κληρεία κλήματα ἀμπελόφυλλα. ἢ χωρίον
κλῆροι. ¶ Κλάσιον, ἀμπελόφυρον καὶ ἐπίθετον ἀ
πόλλωνος. ¶ Κλάρεοι, κλάδοι, δοῦλοι.
Κ λαρὰ, ψελλία. ¶ Κλαρῶται, εἵλωτες. ¶ Κλά
θρον, κλεῖθρον. ¶ Κλάσματα, συντρίμματα, θρέμ
ματα. ¶ Κλαστήριον, δρέπανον τὸ τῆς ἀμπέλου.
Κ λάστης, ἀμπελουργός. ¶ Κλαυκίθων, λαμπρυνόμε
νος τὰς ὄψεις. ¶ Κλαυθμυριζομένων, κλαιόντων.
Κ λαυμυριόμενον, κλαίοντα, τεραντῖνοι. ¶ Κλαυμα
ρίζεται ὁ κλαίει. ¶ Κλαῦσιν, ἀγῶνα ἄνθος τι.
Κ λαυτάν. ποιὰν φωνάν. ¶ Κλέα, τὰς ἀνθρωπείας
κλέος γὰρ ἡ δόξα καὶ ἡ φήμη καὶ ὁ λόγος. βοηθήματα ῥή
ματα. ¶ Κλεεινόν, ὀνομαστόν. ¶ Κλεεινῶν, ὀνομα
στῶν ἐνδόξων. ¶ Κλεῖδες, ὑποδήματος εἶδος κρητικόν.
Κ λεῖδες, ἀκρατεῖς κύπριοι. ¶ Κλιθῶ, ἀποδεξατω.
Κ λεῖθρα, μοχλοὶ ἀσφαλείας πύλαι. ¶ Καλιά, νοσ
σιά. ¶ Κλεηδόνα, κληδόνα, φήμην δόξαν. ¶ Κλεῖ,
ἐπαινεῖ ὑμνεῖ. ¶ Κλειδοῦχος, γυνή. ¶ Κλακλινά
Κατέγραψαν, κατέξυσαν. ¶Κατεγυμνάζετο, ἐν τῇ γυμνασίᾳ ἀνάλωσεν. ¶Κατεδάει, κατεκάει.

Κατέδαρθεν, ὕπνωσεν. ¶Κατεδάωσε, κατέκαυσεν. ἐπολέμησεν. ¶Κατέδεισε, κατέβριξε, κατέφρυσε, καὶ ὅτε μὲν ἀβρῶς διαιτᾶσθαι καὶ τρυφᾶν, ὅτε δὲ τὸ κατηφιᾶν. ¶Κατεδηδεσμένον, καταβεβρωμένον. ¶Κατεδήδοκε, καταβέβρωκε. κατέφαγεν. ¶Κατεδηδοκὼς, καταβεβρωκώς.

Κατεδίφων, κατέκοπτον. ¶Κατέδησε, κατεδέσμευσε. κατώχωσε. ¶Κατεδικάσθησαν, κατέκρινεν.

Κατέδυσαν, τέθνηκεν. ¶Κατέδυσαν, ἐτεθνήκεισαν.

Καθήρπασθεν, κατεκοιμήθησαν. ¶Κατεδρύπτετο, κατεκόπτετο, κατεξύετο. ¶Κατέδυ, κατεπόθη, καταποντίσθη. ¶Κατέδων, κατεσθίων. ¶Κατεζώμβρεν, ἐτύρβαζεν. ὡς παρὰ ζωμὸν ἐκροφίζετο γάλα. ¶Κατεθέλγοντο, κατεμαγεύσαντο. ¶Κατέθεσε, κατεπήδησεν. ¶Κατεθώπευσε, ἐπῄνεσεν.

Κατεθύθη, κατεκλείσθη. ¶Κατέθυψας, διαθλάσας. ¶Κατείβετο, διερρήγνυτο, κατέρρει.

Κατειβόμενον, διαφθειρόμενον, καταρρέον. ¶Κατεικὰς, ἐπιεικὰς. ¶Κατειλάδα, ἡμέραν χειμερινήν.

Κατεῖλε, κατέλεξεν, ἐποίκιλλεν. ¶Κατειλεῖον, συνέστελλον. ¶Κατειλεῖν. κατέχειν, καταβαλεῖν.

Κατειληθέντας, συσχεθέντας, καταβληθέντας.

Κατειλῆφθαι, προκαταλαμβάνεσθαι. ¶Κατείλεα, τὰ ἔσωτερα οἰκήματα. ἐρυθραῖοι. ¶Κατείλοχε, κατέλεξε. ¶Κατειλυσπᾶσθαι, εἱλούμενον σπᾶσθαι.

Κατειλυσπωμένην. ὁ μὲν λυκόφρων, καταρτωμένην. ἐρατοσθένης δὲ, συγκεῖσθαι τὴν λέξιν ἐκ τοῦ εἰλεῖν καὶ σπᾶσθαι. ¶Κατείλυται. κεκάλυπται.

Κατειλωπᾶν, καταβλεφαρίζειν.

Κατειμένα, κατὰ τὰ χόρδια. ¶Κατειπεῖν, διαβαλεῖν.

Κατείργει, ἐκώλυεν. ¶Κατειργάζετο, ἐκώλυσε, κατηγωνίσατο. ¶Κατειργμένος, ἐγκεκλεισμένος.

Κατείρας, ἀπὸ τῆς πέλτης. ¶Κατειρέσθαι, κατηρτισμένοι ἐν ἔρωτι. ¶Κατείρηκεν, λάθρα διαβέβληκεν.

Κατειρωνεύεται, μέγα φρονεῖ ἢ χλευάζεται. ¶Κάτεισι, κατέρχεται. ¶Κατεκαμάρωσε, κατενύβρισεν.

Κατέκανεν, κατέκτεινον. ¶Κατεκείαθεν, κατεκοιμήθη.

Κατεκερμάτισεν, συνέθραυσεν. ¶Κατέκηλε, σιωπᾶν ἔπεισεν. ¶Κατεκήλησε, μετεπράϋνεν, ἔθελξεν. κηλεῖσθαι δὲ λέγεται τὸ ὑπὸ αὐλῶν θέλγεσθαι.

Κατεκλάσθησαν, ἀπῆλθον. ¶Κατεκλάζετο, κατεκέκλειστο καταπεκλεισμένος εἶχεν. ¶Κατεκλάσθη, ἐνέδωκε. ¶Κατέκτα, ἀπέκτεινεν. ¶Κατεκνίζειεν, κατέξεεν. ¶Κατεκόπησαν, ἐφονεύθησαν. ¶Κατέκταν, ἀπέκτειναν. ¶Κατεκπλῆσαι, κατεπραΰναι. ¶Κατελάσαι. καταπατῆσαι. ¶Κατελεγχῶσαι, κατελέγξαι, καταλέξαι. ¶Κατελέξαντο, κατεκοιμήθησαν. ¶*Κατελελίβουν, κατεμείζουν. ¶Κατέλεκτο, κατεκοιμήθη. ¶Κατέλεξας, κατεκοίμισας, κατέβαλες. ¶Κατέλευσα, ἔλεγξα, συνέτριψα. ¶Κατέλευσαν, λίθοις ἔβαλον.

Κατέληξεν, ἐπαύσατο. ¶Κατημαξευμένην, κατατετριμμένην. ¶Κατέμαπτε, κατελάμβανε.

Κατέμαρψε, κατέλαβεν ἢ κατέβαλεν. ¶Κατ' ἐμαυτὸν, κατὰ τὴν ἐμὴν δύναμιν. ¶Κατεμεγαλαυχίσατο, μεγάλως ἐκαυχήσατο. ¶Κατενάρκησα, ἐβάρυνα. ¶Κατένασσε, κατῴκησεν. ¶Κατενεκοῦντο, ἔρχονται. ¶Κατενεμήσατο, κατέφαγεν, ἀνήλωσεν.

Κατένευσεν, ἐπένευσεν, ὑπέσχετο. ¶Κατενόραπ, ἀπέκτεινεν. ¶Κατεντευκτὴν. κατεντυγχάνοντα.

Κατ' ἔντευξιν, κατ' ἐντυχίαν. ¶Κατευχθέντα, κατευτυχηθέντα. ¶Κατενύγησαν, ἐλυπήθησαν. ¶Κατενῶπα, κατ' ἐναντίον κατ' ὄψιν. ¶Κατεξανίστατ. κατεπαίρεται. ¶Κατεξανίει, διεσθίει. ¶Κατεξουθενοῦντος, κατευθύνοντος. ¶Κατεξύνασκε, κατεξόρανεν. ¶Κατεπέδεσθαι, καταπραΰνεσθαι.

Κατεπάδω, γοητεύω, πραΰνω. ¶Κατέξω λείας, ἔξω τῶν ὅρων. ¶Κατεπάλμενος, καθαλλόμενος.

Κατέπαλτο, καθήλατο. ¶Κατεπίστευεν, κατεκτίσεν. ¶Κατεπείγει, κατασπεύδει. ¶Κατέπεφνε, κατέσφαξε, κατεφόνευσε. ¶Κατεπεφωρευμένος, ἐγκεκεντισμένος. ¶Κατεπία, κατὰ τὸ ἔμπροσθεν τῶν θυρῶν μέρος. ¶Κατεπιάνθη, ἐλιπάνθη, ἐξάφθη, πίων ἐγένετο ὁ λιπαρός. ¶Κατεπιφύεται, καταβρέχει. ¶Κατεπλάγη, κατέσκληκεν. ¶Κατέπλασεν, καθῆλαρ. κατεπλατύνετο, κατέπλησε. καθυπερηφανεύετο, ἀνέπλησεν, ἀνεπλήρωσεν. ¶Κατεπόθησαν, κατεποντίσθησαν. κατέπεσον. ¶Κατεπληχέναι, φοβηθῆναι.

Κατεπλήχησαν, ὑπὸ φόβου ἐταπεινώθησαν.

Κατεπληκότα. κατεπλήσσοντα. ¶Καταργόν, ταπεινούμενον. ¶Κατέρεσα. κάθισαι. πέσσαι.

Κατερικτά. τὰ ἐρεικόμενα ὄσπρια καὶ σχιζόμενα, οἷον κυάμους. ἔνιοι δὲ καὶ τοὺς πυρούς. οἱ δὲ κατερρωγότα ἱμάτια. ¶Κατέρεζε, καθίζου.

Κατερέζετο, ἐκαθίζετο. ¶Κατερείξε, κατέψησεν.

Κατερίκνωσε, κατέρριξεν. ¶Κατερόντων, καταπλεόντων. ¶Κατέρραξε, κατέβαλεν. ¶Κατερρηκότας διερρηγμένους. ¶Κατερρινωμένοις, ὑπηλέσιν.

Κατερρινωμένον, κατεπεπυκασμένον, καταδεδερματωμένον. ¶Κατερρύηκεν, ἐσάπη. ¶Κατερύκει, κατέχει. ¶Κατέρυκεν, ἐπέσχεν, ἐκώλυσεν. ¶Κατέροτε, καὶ ἄλλοτε. ¶Καθυθραίνει, καταβάπτει ἐρυθρῷ βάμματι.

Κατέσκαψε, κατώρυξεν. ¶Κατεσκληρωμένης, πεπαλαιωμένης. ¶Κατεσκληκότα, κατεσκληρωμένα.

Κατέσπασε, κατέσεισεν. ¶Κατεσοφίσθη, ἐπλανήθη.

Κατεστιγμένος, καταθύσας. ¶Κατεστίγμεθα, ἐσφακελώθημεν. ¶Κατεστήριξεν, ἀρχῇ νόμῳ ἀπέδειξεν, ἀπέδωκεν, κατεστήλιτευσεν. ¶Κατεστιγμένος, πε

Κ ατασκεδάσαι. καταχέαι. ¶ Κατασκελεῖν. κατασκελετεύειν τὰς σάρκας καταφαγεῖν. ¶ Κατασκεθεῖν, διασχεθεῖν. ¶ Κατασκιδναμένης. κατασκορπιζομένης. ¶ Κατασκῆψαι, κατασπεῖραι. ¶ Κατάσκιος, παντόθεν σκιὰν ἔχων. ¶ Κατάσκοποι, καραδοκοῦντες, ἐπίβουλοι. ἢ δόλων ἐξιχνευταί. δολεροί, δόλιοι

Κ ατασμῆξαι, μιαίνειν, καῦσαι, ἐμπρῆσαι. ¶ Κατασοβεῖται, καταδιώκεται. ¶ Κατασοφισθεῖσα, χλευασθεῖσα, τεχνασθεῖσα. ¶ Κατασπᾶν, χαλᾶν, ἢ σιαλίζειν ἑτέρου ἐσθίοντος, ἢ παρὰ δεῖπνῳ διαλεγομένου, καταπίνειν τὸ σίαλον. ¶ Κατασπατελᾶ, ξυφᾶ.

Κ ατασπέρχων τὴν, περὶ τὴν οἰκίαν, ἢ περὶ τὴν ἑστίαν κεκαυμένην. ¶ Κατασπερχόμενος, ἐπειγόμενος, καταπληττόμενος. ¶ Καταπιλάζων, μολύνων.

Κ ατ' ἀσπίδα. ἐπ' ἀσπίδα. ¶ Κατασπολυκῶσαι, ἐπελάσαι. ¶ Κατασπόδησον. κατέλασον. ¶ Κατὰ στάθμην, κατ' ὀρθὸν κατ' ἔπαυλιν. ¶ Κατάστασις, ἀποδοχὴ ἢ κόσμος, ἢ ἦθος. ¶ Καταστῆρας, ἀποπεπληρωμένα ἐν ᾧ τόπῳ λειπόμενα ἀπόσπασιν κατάστασιν, ἢ καταπαυστήρια κατάστασιν ἔχοντα ἀποπέμπεσθαι. καθαπερ μεγάλα. ¶ Καταστίλβει, περικαλύπτει.

Κ αταστίλξαι, καταγαγεῖν τὸν βοῦν. ¶ Κατὰ στεφάνης, ὄρους ἐξοχῆς, ἀκρωρείας: στεφάνη γὰρ εἶδος κόσμου περὶ τὴν κεφαλήν. ἢ περικεφαλαίας, ὡς Ὅμηρος ἀυχέν' ὑπὸ στεφάνης εὐχάλκου. ¶ Κατάστημα, ποίημα, στάσις, ὁρμή. ¶ Καταστίζων, βεβαιῶν, καταψηφίζων ὅσον τῶν ἀτακτούντων. τὰ ὀνόματα περιέστιζον καὶ ἐζημίουν. ¶ Κατάστικτον, ποικίλον. καὶ σώφρων κεντήματα φυσεῖ. ¶ Καταστίλβει, καταγάζει. καταλάμπει. ¶ Κατὰ στίχους, κατὰ τάξεις. ¶ Καταστοχῶν, περιβολήν. ¶ Καταστόμα, κατὰ τὴν ἀρχὴν μεταφορικῶς. ¶ Καταστομίς, μέρος τι τοῦ αὐλοῦ τὸ ἐνάλβιον. ¶ Καταστοχάζεται, κατασκοπεῖ. βάλλει.

Κ αταστρέφει, σκαλεύει. ¶ Καταστροφῆς, ἐρημώσεως.

Κ αταστρώματα, τὸ νεὼς μέρος. ἐν ᾧ ἑστῶτες ναυμαχοῦσιν. ¶ Καταστύξαι, κατασῦραι. συμπλέξαι, μισῆσαι. ¶ Καταστυφέλου, καταξήρου. ¶ Κατάστυφλον, κατάξηρον, καὶ ἡμεῖς δὲ τὰς αὐχμώδεις χώρας καὶ σκληράς, στυφλὰς καλοῦμεν. ¶ Κατὰ συνδεσμόν, κατὰ κοινωνίαν κατὰ σύμπραξιν. κατὰ συγγένειαν.

Κ ατασῦραι ἑλκύσαι σαγήνην. ¶ Κατὰ σφᾶς, καθ' ἑαυτούς. ¶ Κατὰ σφέων, κατ' αὐτῶν ἢ καθ' ἑαυτούς

Κ ατασφίγκωνται, καθῆλωνται. ¶ Καταχάσαι, καταχεῖν, ἢ ἀμυχὰς ποιῆσαι: ¶ Καταχεῖν, κατακρατεῖν, κατισχύειν. ¶ Κατὰ τάξιν, κατὰ κόσμον. ¶ Κατ' αὐτὸ, μὲν ὁμονοοῦσιν. ¶ Καταπεθηπέναι, θαυμάζειν διὰ τὸ ἐκπεπλῆχθαι. ¶ Καταπεθήπεσαν. κατεθαύμαζον. ¶ Καταπεθηπότες, ἐκπεπληγμένοι. ¶ Κατεθηπώς. διὰ ἰάσεως. ¶ Κατεκνεφάγη. κατέφαγε τὰ τέκνα. ¶ Καταπέπηται, ἐφαπλοῦται. ¶ Καταπεθῆσθαι, συναινέσαι.

Κ ατὰ τὸ αὐτὸ, ὁμοῦ. ¶ Καταρξεύω. ¶ Κατὰ τὸ κρίμα, κατὰ τὴν τάξιν, ἢ κατὰ τὸ πρόσταγμα. ¶ Κατατείχειν, λεπτόν. ¶ Κατάξοπιν, κάτωθεν πρόσωπον δὲ τὸ ἐναντίον. ¶ Καταξυφῶ. καταπατάλω.

Κ ατατρύχει, λυπεῖ, καταπονεῖ. ¶ Κατηγύοντα, κατασκευάζοντα. ¶ Κατατυχεῖν, ἐπιτυχεῖν. ¶ Κατὰ τῶν συῶν, κατὰ τῶν χοίρων. ¶ Καταυγάσας, φωτίσας. ¶ Κάταυλον, καταυλημένον, ἀναπεπλησμένον. ¶ Καταῦσαι, καταυλῆσαι, καταλῦσαι.

Κ αταυστής, καταδυστής. ¶ Κατ' αὐτὸν, ὅμοιον αὐτῷ.

Κ αταφάγη, κατεσθίει. ¶ Κατὰ φάλαγγα, κατὰ μετωπίδα. ¶ Καταφάναι, καταπεῖν. ¶ Καταφατικόν, δυσκάθεκτον. ¶ Καταφάσας, ἀπορήσας, αἰτιάσας. ¶ Καταφατουμένη, κατακτωμένη, κυρίως δὲ ἐκ προκαταλήψεως. ¶ Καταφιλοσοφήσαντες, διὰ τῆς σιγῆς νικήσαντες. ¶ Καταφλᾶσαι, κατακόψαι. ¶ Καταφοιτῆσαι, παραγενέσθαι.

Κ αταφορεῖν, ὑπνοῦν. ¶ Καταφοινικώς, χαρίσας πλύνων. ¶ Κατάφωρον, ἐληλεγμένον, φανερόν, ὑπεύθυνον. ἢ καταφανῆ γενόμενον.

Κ αταφορτικός. σφοδρός. ¶ Καταφράκτοις, ψυχαῖς ταῖς ἐπισκοπουμέναις, καὶ μὴ δὲ μᾶλλον εἰλήχασι, ἰσοβάλκιμον καὶ εἶδος πολεμικοῦ ὡς καταφράκτου. ¶ Κατὰ φρένα, κατὰ διάνοιαν. ¶ Καταφῆξας, κατὰ φρατρίας. ¶ Καταφρονεῖ, ὑπερφρονεῖ. ¶ Καταφρονέων, καταβουλευόμενος.

Κ αταφρυγήσεται, καταξηρανθήσεται. ¶ Καταφρύσσει, καταξηραίνει. ¶ Καταφυεῖν. γεννηθεῖν.

Κ αταφυλαδόν. κατὰ ἔθνη. ¶ Καταφύξει, κατασβέσει. ¶ Κατάφυρος, σύνδενδρος τόπος. ¶ Καταφωνεῖ, ταράσσει. ¶ Καταφωραθείη, καταληφθείη. ¶ Καταφωρᾶν, ἐρευνᾶν ἐπιζητεῖν. ¶ Κατάφωρος, φανερός. ¶ Κατὰ φῶτα, κατὰ ἄνθρωπον:

Κ αταχαλᾶ, καταβραχύ. ¶ Καταχεῖ, κακολογεῖ.

Κ ατὰ χεῖρα. ἕτοιμα. εὐχερῆ. ἢ ὁ νῦν πρὸς χεῖρα καὶ εἰς πολλὰ χρήσιμος οἰκέτης. ¶ Καταχήν, καταχάσμησις κατάγελως. ¶ Καταχήνη, καταγελάσει μυκτηρίσει ἐξευθενίσει. καὶ ὑπὸ πεισιστράτου καλαμίς ἐμφορὲς ζῷον ἀπὸ τῆς ἀκροπόλεως προβεβλημένον ὅποια τὰ πρὸς βασκανίαν. ¶ Κατάχερσος, ὁ λιπαρὸς ὁ φρόνιμος: ¶ Καταγείσωσ, ἐπηκοώρειος μετεωρίαν. ¶ Καταχθόνιος, κατὰ τῆς γῆς ἢ ὁ ᾅδης. ¶ Καταχρήση ἀρκέσει. ¶ Καταχρηστικῶς, ὅταν καταχρῆταί τις ἀπὸ πράγματος εἰς πρᾶγμα καταστοχαζόμενος

Κ αταχρᾶται, κακῶς χρᾶται. ¶ Καταχρυσοῦσαι, καταλιθῶται. ¶ Κατέχυσας, ἀήρ. ¶ Καταχύσματα, τραγήματα. ἔθος γὰρ εἶχον κατὰ τῆς κεφαλῆς κάρυα καὶ ἰσχάδας καταχέειν τῶν νέων ἢ τῶν δούλων περὶ τὴν ἑστίαν καθισάντων, καταχεῖν δὲ καὶ τοῦ νυμφίου. λέγεται δὲ καὶ περὶ ζωμοῦ. ¶ Κατάχυτλον, τὸ βαλανευτικὸν σκαφίον. ¶ Καταχώραν, κατὰ φύσιν, ἢ ἀκίνδυνον. ¶ Καταψαίρουσι, κινοῦνται.

Κ αταψεφεῖ, κατασκοτίζει. ψεφὰς γὰρ τὸ σκότος, παρὰ τὸ ψεφᾶσθαι τὸ μεταμελεῖσθαι, καὶ οἷον σκότος περιτιθέναι τοῖς λεγομένοις τὸ καταψεφεῖν, ἔθ' ὅτε δὲ καὶ τὸ φροντίζειν οὕτως λέγομεν:

Κ αταψηφίζεται, κατακρίνει.

Κ αταψήχων, κολακεύων ἡσυχῆ τρίβων. ¶ Καταψιλωθήσεται, ψιλὸν γενέσθαι. ¶ Καταπεπατημένα, καταπεπλασμένα. ¶ Καταπέζεις, καταπαύσεις. ¶ Καταπάθη, καταπολάθη, καταβάλλεσθαι.

θυόμβροσ, κατακαυχώμενος. κατηχῶν. ¶ Κατανεμηθείσης, καταλαβούσης. ¶ Κατανεῖμαι, κατανεῦσαι. ¶ Κατενήνοχε, συνωμολόγηκεν.

Κατανενομένα, ἀμυχὰς ἔχοντα. ¶ Κατανέμεται, κατανέμεται. ἀναλίσκεται. ¶ Κατανεύοντα, κατανοοῦντα, θεωροῦντα. ¶ Κατανεῦσαι, συνθέσθαι, ἐπινεῦσαι, συγκατατίθεσθαι.

Κατανήσει, αὐξηθῇ. ¶ Κατανθρακῶσαι, κατακαῦσαι, καὶ ὀπτῆσαι. ¶ Κατανίφεται, καταφθείρεται, καὶ καταχιονίζεται. ¶ Κατανομεύς. κατα * πηθής.

Κατανοοῦντι, καταβλέποντι. ¶ Καταντᾶ, καταρρέει. ¶ Κάταντες. ἐπὶ τὰ ἔμπροσθεν.

Κατάντης, ῥᾴδιος. εὔκολος. ἢ κατακεκριμένον. καταφορής. ¶ Καταντήσας, λαχών. κληρωθείς.

Καταντησαίτο, φθινησαίτο. ¶ Κατ' ἄντησιν, κατ' ἐναντίον. ¶ Κατ' ἀντιβολίαν, κατ' ἀντίβλησιν. ¶ Κατ' ἀντικρύ. ἐναντίον. ¶ Καταντήσειν, κατέναντι. ἐξ ἐναντίας. ¶ Κατανενυγμαι, ἡσύχασα, λελύπημαι. ¶ Κατανύχετε, ἡσυχάσατε, λυπήθητε. ¶ Κατάνυξις, ἡσυχία ἢ λύπη.

Κατανύων, καταναλίσκων. ¶ Κατανύσαι, συντελέσαι. ¶ Καταξανεῖ, καταρρίψει, βασανίσει.

Κατ' ἀξίαν, κατὰ δόξαν. ¶ Καταξύμενα, κατὰ λυσάμενα. ¶ Καταχορᾷ, καταντλεῖ. ¶ Καταπαίει, μαστίζει, τιμωρεῖται. ¶ Καταπέλμενος, καταπονηθείς. ¶ Καταπέλτης, βέλος. πειστικὸν ὄργανον δι' οὗ ἀφιέμενον βέλος. ¶ Κατὰ πάντα τρόπον πάντα. ¶ Κατάπαστος, πεποικιλμένος. ¶ Κατάπεπτον, ἀσκελὲς, ἢ ἀθρόον. ¶ Καταπειρόντων, καταδικαζόντων. ¶ Κατὰ πάλαισ, κατὰ τὸ γάλακτος ἀσχία. ¶ Καταπλατέσσονται, καταδραμοῦνται ἀπὸ τῶν πλατειῶν. ¶ Καταπέλτης, εἶδος βασανιστηρίου ὡς ὅπλον χαλκοῦν ἐν ᾧ ἐξαρθροῦσι τὰ μέλη οἱ δήμιοι. ¶ Καταπεπτωκα, καθῃρημένα. ¶ Καταπέποιθα κατερρύηκα. ¶ Καταπεπολτωμένα, καταπεπινακωμένα. ¶ Καταπεπληγὸς, καταπεπληχός. ¶ Καταπέφνε. ἀπέκτεινε. ¶ Καταπέμενοι, καταπτόμενοι. ¶ Καταπεφρικότων, δειλιώντων. ¶ Καταπέψαι, καταπραῦναι, ἢ ἐν αὐτῷ καταχεῖν, μεταφορικῶς ἀπὸ τῶν πεσσομένων σίτων.

Καταπημαίνειν, καταβλάπτειν. ¶ Καταπίει, καταπίνει. ¶ Καταπίμπρασθαι, κατακαίεσθαι κατὰ τὸ πίνδαρον. ¶ Κατὰ πίονα μηρί' ἔκηα. κατέκαυσα τὰ λιπαρὰ μηριαῖα ὀστᾶ. ¶ Καταπειρητήρια, τόποις βαθέσι πειράζοντι καὶ ἡ λεγομένη βολίς.

Καταπλαγέντα, θαυμάζοντα. ¶ Καταπλακών, καταπλήξας. διαμαρτών. ¶ Καταπλεκεῖσι, συνδεθεῖσι, συμπεπλεγμένοις. ¶ Κατάπληξ, καταπεπληγώς. ¶ Καταπλάσαι, μολῦναι. ¶ Καταπλήσσει, καταπλάσσει, φοβερίζει κατεξανιστᾶ.

Καταπλήττεται, φοβεῖται. δέδιε. ¶ Καταπληκμόνες, ὃ δῆμα καταπλῆμα λέγεται. δι' ὧν καταθῆναι μετέχοντων ἀπὸ τῶν κυλιομένων καὶ ῥὶς ποσὶ καταξεχόντων οὕτως φασὶ καταχρατηθείς.

Κατὰ πόδα, περ' αὐτὰ κατ' ἀξίαν ἐπὶ ὀπίσω.

Καταποθῇ. καταναλωθῇ. ¶ Καταπολεμῶ, νικῶ.

Καταπονουμένοις, πειραζομένοις. ¶ Κατὰ πορθμὸν, στενὴν θάλασσαν. ¶ Καταπόσον, πλεονάκις.

Καταπρανοῦς. καταφεροῦς. ¶ Καταπραΰνεις, ἡμερωποιήσεις, φρονήσεις. ¶ Κατάπρεμνος καταρρίζως. ¶ Καταπρηνὴς, κατὰ πρόσωπον ἐπὶ στόμα καταφερής. ¶ Κατὰ πρεσβείαν, κατὰ πρεσβυγένειαν, ἔνιοι δὲ κατὰ δήμοσια. ¶ Καταπροϊξάμενος, καταφρονήσας καὶ οὐκ εὐλαβηθείς. προῖκα δὲ ἑαυτὸν ποιήσας. ¶ Καταπροίξεις, καταφρονήσεις. ἢ διαφυγών γελάσεις. ¶ Κατὰ πρόκλησιν. κατὰ χάριν. κατὰ πρόσκλησιν. ¶ Κατέντιον, ὑπερῷον.

Κατὰ πρωτομιστήν. κατὰ τὸν ὀμφαλόν. ¶ Κατὰ πρωτῆρας. ἡλικίας ὄνομα οἱ πρωτῆρες παρὰ λακεδαιμονίοις. ¶ Καταπτήσσει, δειλιᾷ. φοβεῖται.

Καταπτήτην, ἔπτηξαν. ἐφοβήθησαν δυϊκῶς.

Κατὰ πτόλιν, κατὰ τὴν πόλιν. ¶ Κατάπτυστον, ἐξουθενημένον. ¶ Καταπτώσσει, φοβεῖται, δειλιᾷ ταπεινοῦται. ¶ Καταπυγοσύνη, ἡ διὰ μεγάλη

Καταπύγου, κιναίδου, ἢ σωματεμπόρου. ¶ Καταπυγής. ὁ μέσος δάκτυλος καὶ ὁ καταφερής. ¶ Καταπύει, ἐνέπλησε, κατηνόει. ¶ Καταπύθεται, σήπεται. ¶ Καταρράκτης, ὀχετός. ῥύαξ. καὶ ὁ ἀετὸς σοφοκλῆς λαοκόοντι, καὶ τὰς ἁρπυίας ἐν φινεῖ.

Καταρράξαι, κατάξαι. ¶ Καταρραπίστης, ἐργώμενος ἐν τῷ πολλὰ θυσιῶν. ¶ Καταρράσσειν, κατακλᾶσθαι. ¶ Καταρᾶσθαι, ἀρᾶσθαι θεοῖς.

Καταραψῳδῆσαι, φλυαρῆσαι. ¶ Καταρβύλοις, χλαίναισ ποδήρεσιν, ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι, σοφοκλῆς τρωίλῳ. ¶ Κατάρδειν, ἀρδεύειν. ποτίζειν. ¶ Κατάρξαντο, ἐκαθέσθη.

Καταράξαι, καταρρῆξαι, καταψῆσαι. ¶ Καταράκτης, ὁρμητικός. ¶ Καταρεπής, ἐπιρρεπής. ἐπικλινής. ¶ Καταρρεῖσθαι, καταλύειν. ¶ Καταρρεπάζονται, σκορπίζονται. ¶ Καταριστὴν, ὀρθὴν διορθωτὴν. παρὰ καλλιμάχῳ, τὴν χάλαζαν.

Καταρθίστων, ἐπικροτούντων ἐπιψοφούντων. ¶ Κατάρξασθαι τοῦ ἱερείου, τῶν τριχῶν ἀποσπάσαι. ¶ Καταρράσσειν, καταρρίπτειν. ¶ Καταράσσοντων, πολὺ κτυπούντων. ¶ Καταρρᾶξαι, καταβαλεῖν ἢ καταψῆσαι. ¶ Καταρρεῖν, ἀναλίσκεσθαι. ¶ Κατάρρησιν, κατηγορίαν. καταβόησιν. καταλαλίαν. κακολογίαν. ¶ Κατάρρυτα, ἀρδεύσιμα. ¶ Καταρτύσαι, κατασκευάσαι, πληρῶσαι, στερεῶσαι. ¶ Καταρρυβδήσας, καταπιών. ῥοφήσας. ¶ Καταρρυῆναι, καταπεσεῖν. ¶ Καταρυθμίζεσθαι, κατευθύνεσθαι, κανονίζεσθαι. ¶ Κάταρσον, κατάκλειστον. ¶ Καταρχὴν ἀσφαλής. τέλειος. ¶ Καταρνίζομαι, ἀθυματίζομαι.

Καταρῶμαι, εὔχομαι προσκυνῶ. ¶ Καταρώγα, γῆν τινα πρὸς φυτείαν ἀμπέλων εὔθετον. ¶ Κατὰ σαυτὸν, ὅ ἐστι κατὰ σέ. ὅμοιός σοι. ¶ Κατασείειν, ταράσσειν. ¶ Κατασίσας, σβέσας. ¶ Κατασεσεισμένα, κατασεσεισμένα. ¶ Κατασημαίνεσθαι, κατασημειοῦσθαι. ¶ Κατασίνεσθαι, καταβλάπτειν.

Κατασείειν, καταταράξειν. ¶ Κατασκαφής. κατεσκαμμένος. ¶ Κατασκάφιλος, καταισχύνων τοὺς φίλους. ¶ Κατασκάψαι, κατορύξαι.

μενος. καὶ αἱ δὲ τὰ ὀνείδη ὑπὸ αἰσχύνης ἐπ' οἰκίας μένουσαι ἡ ἀξία κεκεῦθαι. ¶Καταχεχύσθαι ἔξω. ἐπεὶ αἱ κενεαὶ φρονούμεναι, ῥέουσι. τινὲς δὲ, συμπαρέξω καταχέω τα. ¶Κατακεντεῖ, τιτρώσκει.

Κατακερματίζει, εἰς πολλὰ ἀναλίσκει, διατέμνει, ἢ λεπτύνει. ὃ μερίζει. ¶Κατακερτομεῖ, χλευάζει, φλυαρεῖ. ¶Κατακεχρημένη, κατακεχυμένη.

Κατακεχύσθαι. κατακεχύσθαι.

Κατακήρυκτον, κατέχειν καὶ τὸ ἀποχρήσασθαι.

Κατακερχνοῦνται, τραχύνεται, διὰ τὴν οὐλότητα, ἔνθεν καὶ κερχνῶσαι, τὸ κατατρῖψαι καὶ ἤτοι τραχῦναι, καὶ πίνακες κερχνωτοὶ, καὶ ὀστέινον κέρχνος.

Κατακλεισθείσῃ, καταβληθείσῃ. ¶Κατακηλούμενοι, ἐκχρούμενοι, καταθελγόμενοι. ¶Κατακκίσασθαι. προσποιεῖσθαι. ¶Κατακλαύδειν, συλλήβδην.

Κατάκλεισαι, ἐν Κορίνθῳ ἑταῖραι τινές. ¶Κατακλησία, ὅτι τῶν μειζόνων τι δὲ ἢ πρᾶγμα ἐπικρῖναι κατακλησίας ἐποίουν τῶν ἐν τοῖς ἀγροῖς οἰκούντων.

Κατάκλιτος, τελευταία. ¶Κατακνῆσις, τυροκνῆστις. ¶Κατ' ἄκνηστιν, κατὰ τὴν ῥάχιν ἣν μὴ ἔστι κνήσασθαι ῥαδίως. ¶Κατακοιμίζει, καταπραΰνει.

Κατακοιρανέοντα, κατακοσμοῦντα. ¶Κατὰ κόλλακας, ἢ κατακίκκας, κατὰ πλάσμα κατάκομον.

Κατακόνα, διαφθορά. ¶Κατακορής, ὀχληρός.

Κατακορμάσαι, κατακόψαι. ¶Κατὰ κόρρης, κατὰ τοῦ κροτάφου, ὃ κατὰ τῆς σιαγόνος, πλῆξαι.

Κατὰ κόσμον, κατὰ τρόπον ἐν τάξει κατὰ τὸ δέον κατὰ τὸ καθῆκον. ¶Κατ' ἄκρας ἑλεῖν, τὸ ἐξ ἐφόδου καὶ τὸ αἰφνίδιον. ¶Κατακρατήσατε, νικήσατε.

Κατακράτος, ἰσχυρῶς. τελείως, αὐτοπάντως. ¶Κατακρεὰς, κατάκειρος. ¶Κατὰ κρῆθεν, κατὰ κεφαλῆς. ¶Κατ' ἄκρης, κατὰ κορυφῆς κατὰ κράτος.

Κατακρημνίζων, κατακρημνῶν. ¶Κατακρολύσει, καταλύσει, ἐπεὶ καὶ αἱ ἀκρόπολεις ἐπὶ λόφων εἰσίν. ἢ κατανασκάψει. ἐπεὶ καὶ αἱ ἀκρόπολεις, ἀναστήματα γῆς καὶ λόφοι εἰσίν. ἢ καταγελάσει. ¶Κατάκριμα, κατάκρισις, καταδίκη. ¶Κατάκριτος, κατάδικος.

Κατὰ κράτος, ἄρδην. φοράδην παντελῶς σφόδρα.

Κατακροτεῖ, ἀσμένως ἐπαινεῖ, κατευφημεῖ. ¶Κατακτάμεναι, ἀποκτεῖναι. ¶Κατακτενοκόμη, κατακτενισμένη. ¶Κατάκτεια, ἱδρυτός. ¶Κατακυνῶν, ἢ κατακύων ὅταν τὸ χοινίον ἑλίξας τοῦ ἄκρου περι-κατακλείσῃς. ¶Κατακυριεύσουσι, κατακρατήσουσι.

Κατακυρωθεὶς, καταχωσθείς. ¶Κατακωκύσουσι, καταθρηνήσουσι. ¶Κατακωλύσουσι, θρηνήσουσι. ¶Κατακωμᾶ, καταγελᾶ. ¶Καταλαβεὶς, πάσσαλος.

Καταλαβέσθαι, κατανοήσασθαι, φθάσασθαι, ἀφελέσθαι. ¶Καταλαγνευθεὶς, εἰς ἡδονὰς κατενεχθείς.

Καταλαθισταί, ἐξηγηταί, ἢ ἐνδεικνύοντες τὰ δημόσια.

Καταλαλάζειν, κατεύχεσθαι, ἢ πολιτικῶς βοᾶν.

Κατὰ λαπάρην, κατὰ τὴν λαγόνα.

Καταλαπριώσει, ἀποκτενεῖ καταλέξεται κατασυντρίψουσι ἢ καταστορήσουσι. ¶Καταλοχισμὸς, τάξις.

Καταλαλιᾶν, καταλγύνεσθαι λυπεῖσθαι.

Καταλεάναντες, κατατρίψαντες. ¶Καταλειχεὶς, καταλειχθείς. ¶Καταλείχεσθαι, ὀδύρεσθαι τόν τε θνεῶτα. ¶Καταλείβεται, καταρρεῖ. ¶Κατάλειμμα, ὑστέρημα μέρος. ¶Καταλαγνεύσας, καταλέξας. ¶Καταλειφθέντες, ὑστερηθέντες. ¶Καταλεῖναι, καταμῖξαι. ¶Καταλέξας, κατακοιμίσας.

Καταρρυθμίσας, ἀπαρτίσας. ¶Καταλευκαλέα, κάθυγρος κατειλημμένη. ¶Καταλεύει. λιθοβολεῖ.

Καταλεῦσαι, ἐγκλῖναι, λιθοβολῆσαι. ¶Καταλευσθέσθω, λιθασθήτω. ¶Καταλευόμενοι, εἰς τὰ μέταλλα βαλλόμενοι. ¶Καταλήγει, παύεται. ¶Καταληΐζει, διαρπάζει. ¶Καταληϊσάμενος, λαφυραγωγήσας, καταπατήσας. ¶Καταληξόμεθα, καταπαυσόμεθα.

Κατάληξις, ὑποχώρησις. ¶Καταλιχνευούσης, καταπραϋνούσης. ¶Καταλειβόμενον, καταστάζον.

Καταλιπαίνειν, λιπαροποιεῖν. ¶Καταλείβη, καταδύη. ¶Κατάλιψ μεσόδμη. ¶Καταλλάγδην, τὴν αὐτὴ τινὸς διδομένην δωρεάν. ¶Καταλλαγὴ, εἰρήνη φιλία. ¶Καταλλαγὴν, δωρεὰν ἀντάπαθλαν μεταλλαγὴν, κατάλλαγμα. ¶Κατάλληλον, ἁρμόδιον ὁμαλόν. ¶Κατάλληλος, ἁρμόζων. ¶Καταλλήλως ἀκολούθως, ἁρμοζόντως. ¶Καταλογάδην, πεζῇ, ἢ τὰ πεζῷ λόγῳ γραφόμενα. ¶Καταλογὴ, τὸ τὰ ἄσματα μὴ ὑπὸ μέλει λέγεσθαι. ¶Καταλογισθείη. ἀττικώτερον. ἀλλὰ σὲ ἀλογισθείην οἱ θεοί. ¶Καταλογιεῖται. καταριθμήσει. ¶Καταλογισμῷ, ἀριθμῷ.

Κατάλογον, ἀρίθμησιν. ¶Κατάλογος, ἡ ἀναγραφὴ τῶν ὀφειλόντων στρατεύεσθαι καὶ ἐξαρίθμησις, κατάληπον τὸ μύρτον. ¶Καταλοιὴ, ληστεία. ¶Κατὰ λόφα, κατὰ τοῦ αὐχένος. λόφος γὰρ ὁ αὐχὴν, ἢ κατὰ κεφαλὴν ὡς καταμάλα καὶ καταμαλόν. ἢ κατὰ τῶν ὤμων ἢ τοῦ τραχήλου. ¶Καταλοχισμῷ, τῷ τῆς γενήσεως. ¶Κατ' ἀλλοθρόους κατὰ τοὺς ἀλλοδαποὺς ἢ πόῤῥω ὄντας. ¶Καταλυΐζεται, διομεύεται, στρέφεται. ¶Κατάλυμα. οἴκημα. καταγώγιον. ¶Καταλῦσαι. ἀπολαῦσαι. θεοχθῆναι.

Καταμεῖναι, καταβαλεῖν. ἢ τὸ ἀρξάμενον. οὐχὶ δὲ καὶ, ἢ τὰ ἑψόμενα λάχανα ἐκπιάσαι. ¶Καταλύειν, ξενοῦν. πρόδηλον, καθαιρεῖν. ¶Καταμαλάσσοντα, κατασκληρύνοντα. ¶Καταμαλθάσσων, καταπραΰνων. ¶Κατ' ἁμαξιτὸν. τὴν καθημαξευμένην ὁδὸν καθ' ἣν αἱ ἅμαξαι διέρχονται. ¶Καταμάρψαι, καταλαβεῖν. ¶Καταμεμυκέναι, ἀποπλῆξαι. κατὰ μέρος. ¶Καταμήσας. καθάπαξ. ¶Καταμήζειν, ἐπιπάσσειν, ἀμήτῃ τὸ σκαφίον, ᾧ ἐπιπασσόμεθα. ἢ ἀμητῆρες οἱ θερισταί. ¶Καταμηλῶσαι, τῇ μήλῃ χρήσασθαι καθεῖναι. ¶Καταμιλύειν, κατακηρύσσειν, ζητεῖν. ¶Καταμογγές, ἀπὸ ἀκμῆς σώματος. ¶Καταμυεῖ, καταπίνει, κατεσθίει, μυεῖν γὰρ τὸ ἐσθίειν. ¶Κατὰ μικρὸν, κατὰ βραχύ. ¶Κατὰ μόθον, κατὰ τὸν πόλεμον. ¶Κατὰ μοῖραν, κατὰ τρόπον, κατὰ καιρόν, ἢ νόμον. ¶Καταμόνας, τὰς μισθώσεις τῶν ἐργατῶν εἰς χρόνον. ¶Κατάμυσον, κατάκυψον. ¶Καταμφωτοὶ, αὐλοί τινες οὕτω καλοῦνται. ¶Καταμωκᾷ, καταγελᾷ. ¶Καταναῖ, κατὰ τὸν νοῦν. ¶Καταναλίσκων, ἐσθίων, δαπανῶν.

Κατανάξαντες, ἀνάξαντες εἰς τοὐπίσω ἀναχωρήσαντες.

Κατανδρίσασθαι, καταπαλαῖσαι. ¶Κατανιαν-

Καταβάτης, ὁ ἀπὸ τοῦ ἅρματος ἀποβάτης. ¶ Κατα-
βιβάζοντος. καταπατοῦντος. ¶ Καταβλακεύειν, κα-
ταβλακεῖν ῥαθυμεῖν. ἢ διὰ παντὸς ῥαθύμως.

Καταβλέψει, καταπίνει. ¶ Καταβλὴς, μάνδαλος.

Καταβλώσκειν, καταδέχειν, ἀποφεύγειν. ¶ Κατα-
βοὴ, καταβόησις, κραυγή. ¶ Καταβολάδιος, κλά-
δια ¶ Καταβολὴ. θυσία. τελετή. ¶ Κατὰ βοὺς ἐ-
ξαυθι, εὐχέσθαι κατὰ βοός. ¶ Καταβόσκονται, τρέφονται;
νέμονται, δαπανῶσιν. ¶ Καταβραβεύεται, κατακρί-
νεται, καταγωνίζεται. ¶ Καταβοᾷ, κατακράζει.

Καταβρίξας, κατακοιμηθείς. ¶ Καταβρῶξαι;
καταπιεῖν. ¶ Καταβρόξει, καταπίνει.

Καταβεβωσμένοις, περιβεβοσμένοις. ¶ Καταγχεῖν
καταφθορεῖν. ¶ Καταγγέλλεται, κηρύσσεται.

Κατάγειν, ἔστι ἐν ναυστάθμῳ ἄγειν. ἢ καταλῦσαι.

Καταγιῶται, οἱ ἐκπλέοντες τοὺς πλουτοῦντας, οἰκοῦσι
δ' ἔξω τῶν πόλεων. ¶ Καταγινώσκω, μέμφομαι.

Καταγλωσσῆσαι, καταναλῶσαι. ¶ Κατάγλωττον. εἶ-
δος φιλήματος. ¶ Καταγλωττίζειν, βλασφημεῖν;
καὶ τὰ ἐρωτικὰ καὶ πορνικὰ φιλήματα.

Κατάγματα, μηρύματα ἐρίου ἢ καταπάσματα.

Καταγνῶναι, ἐπιγνῶναι, μέμψασθαι. Σοφοκλῆς Ἀθά-
μαντι. ¶ Κατάγραπτος, ποικίλος. ¶ Καταγρα-
φὴ, καὶ ἡμεῖς λέγομεν ἐν ζωγραφίᾳ, κατέγραψεν καὶ
κατάγραμμα. ¶ Καταγρεῖ, καθαιρεῖ καταλαμβάνει.

Καταγοητεύων, ἀπατῶν. ¶ Κατάγχει, πνίγει,
κωλύει. ¶ Κατήχει. ἀνακρούει. ¶ Καταγωγὴ,
κατάλυσις κατάλυμα, πανδοκεῖον. οἴκημα.

Καταγωγὶς, ἱμάτιον ποιόν. περὶ τοῦ χιτὼν γυναικεῖον:
καὶ σκεῦος ποτηρικὸν καὶ κράσπεδον καὶ περιάλωμα,

Καταγωνίζεται. νικᾷ. ¶ Κατὰ δάκρυα λείβεις. κα-
τασπένδεις, κατὰ δακρύον κλαίεις. ¶ Καταδει-
πνοῦσι, κατεσθίουσιν. ¶ Καταδαρθάνοντα, κατα-
κοιμώμενον. ¶ Καταδαρθεῖν, κοιμηθῆναι.

Καταδιαλλάξαι. ¶ Καταδεδάρθηκεν, καθύπνωκεν.

Καταδέψαι, καταδαπανῆσαι. ¶ Καταδέδευται, κα-
ταβέβρωται, καταμεμέθυσται. ¶ Καταδιαιτᾶσ-
θαι, καταφιλεῖσθαι. ¶ Καταδέδρομε, κατέδρα-
μεν. ¶ Καταδέστεροι, ταπεινότεροι. ἐλαττότεροι.
μικρότεροι. ¶ Καταδεκνύων εἴδη κατ' ἐβὴς ποτέ ἐστιν

Καταδίσκος βοηθήσας. ¶ Καταδέδυκε, καταβέβρω-
κεν. ¶ Καταδημομερεῖσαι, μερίσαι δήμῳ.

Κατὰ δ' ἔστυγεν. ἐμίσησεν. ¶ Κατὰ δὲ φρένιν ἦγα-
γεν ἐμίσησε κατεφρόνησεν. ¶ Καταδοῦν, κατακό-
πτειν. ¶ Καταδ' ἥνεον, κατελάμβανεν. ¶ Καταδείσας;
φοβηθείς. ¶ Καταδηώσαντες, πολεμίσαντες, πορ-
θήσαντες, προδύσαντες, καταφανίσαντες. ¶ Κα-
τὰ δὲ τάσιν κατ' ἔκτασιν. ¶ Κατὰ δάσκιον, κατὰ
χωρισμόν. ¶ Καταδιελέσθη, καταμερίσασθαι.

Καταδιαιτᾶσι, καταχωρίζουσι. ¶ Καταδίκη. κατάκρισις.

Κατάδικος, κατακεκριμμένος. ¶ Καταδοχμώσας,
καταχεῖν. ¶ Καταδάψιον, εἶδος καύματος.

Καταδαπανήσει, καταψοφήσει. ¶ Καταδρύπτον-
τες. ταράττοντες. ¶ Κατάδρυπος, ὀργίλος κατα-
ρράκτης. ¶ Καταδράθει, καθυπνῶσαι. ¶ Κατα-
δρομὴ, ἁρπαγή. ¶ Καταδέδρομε, κατέσχεν.

Καταδραθέντος, κατακοιμηθέντες. ¶ Καταδύεται,
κρύπτεται. βυθίζεται. ¶ Καταδύντος, βυθισθέντος.

Καταδύμεναι, λάθρα ὑπεισελθεῖν. ¶ Καταδυναστεύω,
βιάζω. ¶ Καταδύσεσθαι, εἰσελθοῦσαι. ¶ Καταδύ-
σεις, οἱ λάθριοι τόποι ἢ βαθεῖς. ¶ Καταδυσωπῆ-
σαι, παρακαλέσαι. ¶ Καταείμενοι, κατακείμενοι.
περιεχόμενοι, κατάσκιοι, ἢ κατάστεγοι. ¶ Καταείνυ-
ον, κατακάλυπτον. ¶ Καταείσατο, κατῆλθεν.

Καταείσατο γαίη, κατέδυ καὶ κατεπλήγη εἰς τὴν γῆν ἢ.
κατεφάνη. ¶ Καταεάσας. κατακοιμηθείς. ¶ Κατα-
έλξαι, κατακλεῖσαι. ¶ Καταζήνασκε, κατεξήρανεν.

Καταζῶσαι, ἱμάντες οἱ τὰ σκεύη τοῖς ἵπποις καταζων-
νύντες. ¶ Κατὰ ἤθεα, κατὰ συνηθείας. ¶ Κατα-
ῆσεται, καταπνεύσει. ¶ Καταήνται, καταλελάληται.

Καθάπαξ, συλλήβδην. ¶ Καταιθε. κατάκαιε.

Καταθεῖν, καταδέχειν. ¶ Καταθεῖναι τὴν τιμήν.
ἐνλοπῆσαι τὴν ζημίαν. ¶ Καταθεὶς, λεχθεὶς λα-
ληθείς. ¶ Καταθελγόμενα, καταπραϋνόμενα.

Καταθέοιεν, βλέποιεν. ¶ Καταθεώμενοι, καθορῶν-
τες. ¶ Καταθεῶτο, βλέποι. ¶ Καταθῆξαι, πα-
ροξῦναι. ¶ Καταθλήσαντος, καταγωνισάμενοι.

Καταθοινήσαντες, καταφαγόντες. ¶ Καταθοίνωνται
καταρμῶσι. ¶ Καταθρέξαι, καταδραμεῖν.

Καταθρῆσαι. κατασκοπῆσαι. κατανοῆσαι, κατιδεῖν.

Καταθρίσαι, ῥᾷον κατιδεῖν εὐχερῶς. ¶ Καταθύμια,
ἀρέσκοντα τῇ ψυχῇ, ἡδέα. ἐνθύμια. ἢ κατὰ νοῦν.

Καταθύσασθαι, μαντεύσασθαι. ¶ Καταθῶμαι, ἀνα-
παύσωμαι, ἀποθείσωμαι. ¶ Κατ' αἰανὸν, κατὰ τὸ
πρόσωπον. ¶ Καταιβάτης, Διὸς ἱερόν. ¶ Καταιβολὴ,
ἡ ἐπιληπτικὴ νόσος. ¶ Καταιγὶς, ἐπιφορὰ ἀνέμου σφο-
δροῦ ἢ τοῦ ὑετοῦ ζάλη. ¶ Κατ' αἶγας ἀγρίας.
παροιμία λεγομένη εἰς ἀγρίας αἶγας τρέπειν τὰς νό-
σους. μάλιστα δὲ τὴν ἱεράν. ¶ Καταιγίσας, κατα-
χέσας. οἱ γὰρ ἀνατιθέντες ἱμάτια κατέχιζον αὐτὰ,
ἵνα μὴ ἀρθῶσι παρά τινων. ¶ Καταιγὰς, καταιγί-
δας. ¶ Κατ' αἰγίλιπος, κατὰ τοῦ ὑψηλοῦ ἧς καὶ αἶξ
ἀπολείπεται. ¶ Καταιόδωσα, κατήχωσα. ¶ Κα-
ταιθαλωμένα, κατεσποδωμένα. ¶ Καταῖθυξ ὄμ-
βρος, ὁ καταιθύσσων. φαίνεται δὲ καὶ καταῖφλεξ κα-
ταφλεγόμενος καὶ ἀναζέων. ¶ Καταίικες, κατα-
πνοαί. ¶ Καταικνεῦσαι. συγκαταθέσθαι. ¶ Κα-
ταῖξ, κατάσεισις ὁρμή. ¶ Καταιονεῖ, καταντλεῖ.

Καταίρεσιν, κατάλυσιν. ¶ Καταίροντες, καταπλέον-
τες. ¶ Κατ' αἶσαν, κατὰ μοῖραν. ¶ Καταίσια;
καταίσιμα. ὅθεν ἐκ καταισίμοις ἐπιφημιζόμενοι λέ-
γουσι τὰς ἐπ' ἀγαθῷ μαντείας. ¶ Καταιτιῶμαι,
μέμφομαι. ¶ Καταῖτυξ, εἶδος περικεφαλαίας.

Κατὰ κάθοζον, ὑπεναντίας. ¶ Κατακαίειν, κατα-
φλέγειν. ¶ Κατακαινιῶ, ἀποκτενῶ. ¶ Κατα-
καίειον, εἰς καίειον τέγον. ¶ Κατὰ καιρὸν, κατὰ χρό-
νον. ¶ Κατακαλεῖται, κατακοσμοῖτο. ¶ Κατακα-
λύπτων, κατακρύπτων. ¶ Κατὰ κάνδον, κατὰ θα-
νάτου. ¶ Κατέκανε, ἀπέκτεινεν. ¶ Κατακάνεον. φίλ-
τρον. ¶ Κατέκαπτον, ἐπιτύλλεον. ¶ Κατάκαρπος.
πλούσιος. ¶ Κατακάρφει ἀφανίζει, ξηραίνει. ¶ Κα-
τακάρψεις, καταφλέξεις. ¶ Κατακάσαι, κακοδαι-

μένον ἐπ' ἀνθράκων, ὑπὸ δὲ μακεδόνων ἡ πύλη. καὶ τὰ ἐν τοῖς ξηροῖς ξύλοις σκωλήκια καὶ τὸ θαλάττιον ζῶον. ¶ Κάραγος ὁ θρασὺς ψόφος, οἷον πρίων.

Καραδάλη, ἁρμενοθήκη. ¶ Καραδοκεῖ, προσδοκᾷ ἐκδέχεται ἢ ἐπιτηρεῖ τὸ κεφάλαιον τοῦ πράγματος.

Κάραι. συκαῖ. ¶ Καραιός, Ζεὺς παρὰ βοιωτοῖς, οὕτω προσαγορεύεται ὥς μέν τινές φασι διὰ τὸ ὑψηλὸς εἶναι ἀπὸ τοῦ κάρα. ¶ Καράμα πίθω, κάλυμμα, ἡ ἐπὶ τῆς ἁμάξης σκηνή. ¶ Καράμβαν, ῥάβδον ποιμενικήν, ἣν μυσοὶ συκαλόβον.

Καρανοῦσθαι, τελειοῦσθαι. ¶ Κάραννος, κεκρύφαλος κρήδεμνος, ἢ ἔλαφος ὁ ζημιά. ¶ Καρανῶ. τὴν αἶγα κριτόν. ¶ Καρανῶσαι, κορυφῶσαι.

Καράξω, χρώσω. ¶ Καράρα, κεφαλή. ¶ Καραρύες, οἱ σκυθικοὶ οἶκοι, ἔνιοι δέ, τὰς κατήρεις ἁμάξας.

Καρὰς, ὁ ἀποσπερματισμός. ¶ Καρεταί. κεφαλαί.

Κάρη, ἡ κεφαλή. ¶ Καρή, ἡ ὥρα, ἐξ οὗ καὶ ἀκαρίαιον. ¶ Καραρμῶσαι. ἀποκεφαλίσαι.

Καρβάζοντες. βαρβαρίζοντες. ¶ Καρβαίζει, καρικῶς λαλεῖ καὶ βαρβάρως. ¶ Καρβανίζει, βαρβαρίζει.

Κάρβανοι, τὰ τῶν σφενδόνων καρφία ὡς σίλβικος.

Κάρβανοι καὶ περσικοί, οἱ ἀλφὸν ἢ λέπραν ἔχοντες, ἕλληνες δὲ τοὺς βαρβάρους, οἱ δὲ τοὺς κᾶρας.

Καρβάρεοι. κάραβοι. ¶ Καρβατίνη, μονόπελλον, καὶ εὐτελὲς ὑπόδημα ἀγροικικόν.

Κάρβις, μακροπούς. ¶ Καρβῖναι, βαρβαρικαί.

Κάρδακες, οἱ στρατευσάμενοι βάρβαροι ὑπὸ περσῶν, εἰς ἀσίαν οὕτω καλοῦσι τοὺς στρατιώτας. ἀπὸ ἔθνους ἢ τόπου. ¶ Κάρδαμον, βλέπειν.

Καρδαμάλη, μάζα. ¶ Καρδαμίνη, τὸ * ῥεῖον, ὃ ὂν ἐμφερὲς καρδάμῳ, γίνεται δὲ ἐν ὕδασι.

Καρδαμύλη, πόλις. ¶ Καρδάμυσσε, κατάπιε.

Καρδίαι, οἱ ἕλληνες πολλοὺς σκύθας διὰ τὸ πίλιν αὐτοὺς ἐλλωίσαι καρδίαν διαρπάσαι.

Καρδίας, θαλάσσης, τοῦ βυθοῦ. ¶ Καρδιαλγίαι, λύπαι καρδίας. ¶ Καρδία, καὶ ὁ λογισμὸς καὶ ὁ συνήθης. ¶ Καρδιοβολεῖσθαι, λυπεῖσθαι.

Καρδιοῦσθαι, καρδιουργεῖν ἐπὶ τῶν ἱερείων.

Καρδιώττειν, τὴν καρδίαν ἀλγεῖν. τινὲς δὲ ἐκκενωθῆναι τὸν στόμαχον ὑπὸ λιμοῦ. τάττεται δὲ καὶ ἐπὶ τῶν ναυτιῶν.

Καρδιουλκίαι, πύλαι χαρδίας, τὰς καρδίας ἕλκον τῶν θυμάτων. ¶ Καρδόπιον, ἡ καρδόπου τὸ πῶμα. κάρδοπος δὲ ἡ μάκτρα. ὄργανον ἡ κάμπτρα ὅπου τὰ ἄλευρα μαλάσσουσιν ἤτοι ἀβάκιον.

Καρδόπῳ, μάκτρᾳ κατακαίει.

Κάρδυ. ἔθνος βαρβαρικόν. ¶ Καρέντα; καταβρωθέντα. ¶ Κάρη. κάρα. κεφαλή. ¶ Καρηᾶται. κεφαλαί. τάξεις. ¶ Καρηβαρεῖ. βαρύνεται κεφαλήν. ἐξ οἴνου μεθύει. κάρη δὲ κεφαλήν.

Καρηκομόωντες, τὰς κεφαλὰς κομῶντες.

Κάρηνα, ἄκρα. κεφαλαί. κορυφαί. τείχη.

Καρήνων, κορυφῶν ἄκρων. ¶ Καρησσός, πόλις καὶ ποταμός. ¶ Καρθμοί, κινήσεις. ¶ Καρῖται. ἐπὶ τοῖς πειραταῖς κᾶρες. ¶ Καρικὰ μέλη, ἐλέγετό τις καρικὸς ῥυθμὸς ἐκ τροχαίου καὶ ἰάμβου συγκείμενος. ¶ Καρική, ἀσύνθετος, καὶ ἄμπελος.

Καρικόν, εὐτελὲς μικρόν. δηλοῖ δὲ καὶ ἀφροδίσιον σχῆμα αἰσχρόν. ¶ Καρικάζειν, βαρβαρίζειν.

Καρικοί, τράγοι ὡς εὐτελῶν ὄντων σοφοκλῆς σαλμωνεῖ· εἰμὸ ἄρα ὑποσυγχέων τοῖς κιλικίοις. ¶ Καρικῷ πλοίῳ, καρικῷ σχήματι, λέγεται δὲ ἀπὸ τῶν ἀκολάστων σχῆμα καρικόν. ¶ Καριμοίροις, τοὺς ἐν μηδεμιᾷ μοίρᾳ. ὁ μισθοφόροις διὰ τὸ τοὺς κᾶρας πρώτους μισθοφόρους γενέσθαι. ¶ Καρῖναι, θρηνῳδοὶ μουσικαί, αἳ τοὺς νεκροὺς διὰ θρήνων παραπέμπουσι πρὸς τὰς ταφὰς καὶ τὰ κήδη. παρελάμβανον δὲ αἳ ἀπὸ καρίας γυναῖκες. ¶ Καριῶσαι, ἀποκτεῖναι.

Κάρκαιρε, ἰλίωμα ὄχου. ¶ Καρκαίρει, ψοφεῖ.

Καρκανὸρ, τάξεις. ¶ Κάρκαρα, οὖλα ὁ δὲ τὰ καὶ τὰ ποικίλα τῇ ὄψει καὶ πίτυρα παρὰ σιμωνίδῃ. ἔνιοι τὰς μάνδρας ῥίνθων ταῖς τῇ οὐρανίᾳ ὄψει.

Καρκαρίς, ξύλων ἢ φρυγάνων φορτίον ἢ δεινός.

Κάρκαροι, τραχεῖς καὶ δεσμοί. ¶ Καρκίνος, τὸ νῦν καρκίνωμα λεγόμενον, καὶ ὑποδήματα κοῖλα, καὶ δεσμός τις καὶ τῆς πτέρυγγος. ὁ εἶδος ζώου καὶ ἄστρον.

Καρκινοῦται, ὅταν ῥιζοῦται ὁ σῖτος καὶ σκληρύνεται.

Καρκώ, λάμια. ¶ Κάρκα, λεῦκος τὸ πρῶτον ἀποθλιβόμενον διὰ τῶν χειρῶν καὶ κούρευμα. ¶ Κάρμηλος, ὄρος ἐν τῇ φοινίκῃ. ¶ Κάρμορον, τὸν κηρὶ μεμορημένον. ¶ Καρνεᾶται, οἱ ἄγαμοι. κεκληρωμένοι δὲ ἐπὶ τὴν τοῦ καρνείου λειτουργίαν. πέντε δὲ ἀφ' ἑκάστης ἐπὶ τετραετίαν ἐλειτούργουν. ¶ Κάρνη, ζημία. ¶ Καρνησσόπολις, λύκτος ὁ κρητικὴ οὕτως ἐκαλεῖτο. ¶ Κάρνον, τὴν σάλπιγγα γαλάται.

Καρνεῖος, ἐπίθετον ἀπόλλωνος, ἴσως ἀπὸ κάρνου τοῦ διὸς καὶ εὐρώπης. ¶ Κάρνος, φθείρ. βόσκημα. πρόβατος. ¶ Καρνοστάσιον, σταῦλος ὅπου τὸ κάρνον ἵσταται.

Καρμεγάλη, ἀκρίς. ¶ Καρόπαις ἔπακμος παῖς.

Καρός, κωφός, οἱ δέ, σκοτόδινος. βόσκημα. ἐγκέφαλος ὢν ὁ καιρὸς ἡ φθορά. ¶ Καρὸς αἴσῃ καρὸς ἡμέρα, ὅμοιον θανάτου μοίρα. διὰ τὸ πρώτους μισθοφόρους κᾶρας γενέσθαι. μισθοφόρου μοίρα.

Καρορίς, ὕδρα. κρῆτες. ¶ Κάρου, τοῦ ἐπὶ τὴν κεφαλὴν πλασμονῆς. κάρου. ¶ Κάρουα, κάρυα λάκωνες.

Καρούμενος, ὠνησάμενος. ¶ Καροῦσθαι, ὠνεῖσθαι.

Καροῦχος. εὐχερὴς εὔκολος.

Καρπάλιον, κάρπωμα. ¶ Κάρπαθος νῆσος.

Καρπαλίμοισι, ταχέσι. ¶ Καρπάλιμον, ταχύ.

Κάρπαθος τὸν μάρτυρα. παροιμία. καρπάθιος δὲ λαγὼν κατ' ἔλλειψιν τοῦ ἐπηγάγετο, διὰ τὸ μὴ εἶναι λαγωοὺς ἐν τῇ χώρᾳ, ἐπηγάγοντο αὐτοί, καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τόν τε σῖτον αὐτῶν καὶ τὰς ἀμπέλους ὑπ' αὐτῶν βλάπτεσθαι ὁ γοῦν ἀρχίλοχος παρὰ ταύτην τὴν παροιμίαν εἴρηκε καρπάθιος τὸν μάρτυρα.

Καρπαθῶναι, σκορπισθῶναι. ¶ Καρπάτινον, ἀγροικικὸν ὑπόδημα μονόδερμον. ¶ Καρπεῖν, πλήττειν.

Κάρπαια, ὄρχησις μακεδονική. ¶ Κάρπεσθαι, καθαίρειν. ¶ Κάρπη, τὰ σπέρματα, καὶ τύπανα ὀβελίσκοις ἔχοντα. ¶ Καρπία κλωνία. ¶ Καρπίζεσθαι, προσολύσασθαι. ¶ Καρπίζουσι, ποτίζουσιν καρπὰ ποιοῦσι. ¶ Καρπινά, δένδρα καρπὸν ἔχοντα.

Καρποβόλον, τὸ ἰσόβολον ἀργεῖοι.

Κανεῖν, κτείνειν, ἀναιρεῖν, ὅθεν τὸ κανοῦν ἀπὸ τῶν κανομένων ἱερείων. ¶Κανέοισι, κανοῖς, μαζί, κανισκίοις.
Κανὸν, κανοῦν. ¶Κάνιστρον, κανίσκιον.
Κανηφόροι, ἐν ταῖς πομπαῖς αἱ ἐν ἀξιώματι παρθένοι ἐκανηφόρουν ὥσπερ καὶ ἐν τοῖς παναθηναίοις. οὐ πάσαις δὲ ἐφεῖτο κανηφορεῖν. ¶Κανηφόρος, ἀμφορεὺς τῶν νυμφῶν ὃ τὸ κανοῦν φέρουσι. ¶Κανθάρεως ἀμπέλου εἶδος. ¶Κανθαρίς, χρυσοειδὲς ἰχθύς, ἢ ζωΰφιον λυμαντικὸν σίτου καὶ ἀμπέλου καὶ κόπρου.
Κάνθαροι αἰτναῖοι. μεγάλοι ἀπὸ τῆς αἴτνης.
Κάνθαρος, ποτηρίου εἶδος ἀπὸ τοῦ κατασκευάσαντος. καὶ ποιὸς ἰχθύς. καὶ πλοίου εἶδος. ὁ δακτύλιος τῶν ἱερῶν. ¶Κανθάρου σκιά, παροιμία ἐπὶ τῶν φοβουμένων τὰ μὴ ἄξια φόβου. ¶Κανθάρων, λιμὴν οὕτω καλεῖται ἐν πειραιεῖ. ¶Κανθήλιος. ὠμὸς μωρός. ὄνομα. ¶Κανθήλια, τὰ ἐν τῇ πρύμνῃ τῆς νεὼς ἐπικαμπῆ ξύλα τὰ ἐπιτήδεια πρὸς σκηνοποιίαν, ἢ τὰ σάγματα τῶν ὄνων. καὶ τὰ φύρις ἐπιτήδεια λύγινα πλέγματα καὶ τῆς βιθυνίας ὄρη.
Κανθύλας, τὰς οἰδήσεις αἰσχύλος σαλαμινίαις.
Κανθίαι, σπυρίδες. ¶Κανθίς, ὀνίσκος ὄνος.
Κανθός. ὁ τοῦ ὀφθαλμοῦ κύκλος, καὶ ὁ ἀνάπνοος τοῦ καπνοῦ ἐν τοῖς ἰπνοῖς. τινὲς δὲ καπνοδόχην* πάντως χυτρόποδας σκέλοι καὶ εἰς ὃ τὰς κάχρυς φρύγουσιν. ¶Κανθῶνα, καθαρῷ. ¶Κἂν ἴσαι, παροιμία μετωνυμευμένη ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις φερομένων ψήφων ἴσων, ἀπολύονται γὰρ τῶν ἐγκλημάτων ὁπόταν ἴσαι ἐξενεχθῶσιν αἱ ψῆφοι. ¶Κανίας, κάλαθος.
Κάγκανον, ὕλην ξηράν. ὕλην.
Κάνναβις σκυθικὸν θυμίαμα ὃ τοιαύτην ἔχει δύναμιν, ὥστε ἐξικμάζειν πάντα τὸν παρεστῶτα, ἔστι δὲ φυτὸν τι λίνῳ ὅμοιον, ἐξ οὗ αἱ θρᾶσσαι ἱμάτια ποιοῦσιν ὀρόδ(?)ντας. τοῦτο τὸ σπέρμα θυμιῶσιν.
Κανναβιασθῆναι, πρὸς τὴν κάνναβιν ἐξιδρῶσαι καὶ πνευσθῆναι. ¶Κάναθρα, ἀστράβη ἢ ἅμαξα πλέγματα ἔχουσα ὑφ' ὧν πομπεύουσιν αἱ παρθένοι ὅταν εἰς τὸ τῆς ἐλευσῖνος ἀπίωσιν. ἔνιοι δ' ἔχει εἴδωλα ἐλάφων ἢ γρυπῶν. ¶Κάννα, ψίαθοι. καὶ τὰ αἰγύπτια πλέγματα, ἀφ' ὧν καὶ τὰ κάναθρα, καὶ εἶδος γῆς χρυσολίθου. ¶Κάννηκες, πλέγματα ταρσῶν.
Καννώνου, πανδοκεῖον, καννώνου ψήφισμα. εἰσήνεγκε γὰρ αὐτὸς ψήφισμα, ὥστε διειλημμένοις τοῖς κρινομένοις ἑκατέρωθεν ἀπολογεῖσθαι. ¶Καννοῦν, κανίσκιον, δισκάριον. ¶Κάντορες, οἱ κρατοῦντες.
Κανὼν, κτένας ἢ τὸ ξύλον περὶ ὃ ὁ μίτος καὶ αἱ τῆς ἀσπίδος ῥάβδοι ἀφ' ὧν ὁ τελαμὼν ἐξῆπται.
Καπαλευτάς, ὀνολάτας. ¶Κάος, ἐκαλοῦντο.
Καπαλίζει, ζωγλατεῖ. ¶Καπελαί, κάπηλοι φάτναι. ¶Καπάνη, τεχίνη κωνή. ¶Καπάνια, ἀρτιδίνευ. ¶Καπανικώτερα, ἀπὸ τῆς φάτνης, χορταστικώτερα. τινὲς δὲ αὐτὰ τὰ μείζονα καπάνας γοῦ, ἀπήνας λέγουσιν. ¶Καπαλύσαι, μαντεύσασθαι. ¶Κάπας, μέμβρις ἢ φάτνας.
Κάπετα, κατακόψεις πάσσαλοι. ¶Κάπετες, καθαρὸν παρὰ θηλῶν*. ¶Κάπετα, κτηνῶν τροφή.
Καπεμβαφίζων, ὁ ἐπεμβάπτων. ¶Κάπασι, κατέ-

πιον. ¶Καπίτις, χοῖνιξ. ¶Καπίριο, τὴν τάφρον παρὰ τὸ ἐσκάφθαι. ¶Καπετός, τάφος. σορός. ὄρυγμα. βόθρος. οἱ δὲ σκαπετόν. ¶Καπετώλιον. ὁ ζεὺς ὅρος. ¶Κάπη, φάτνη. ¶Κάπησι, φάτναις. ἀπὸ τοῦ κάπτειν ἀφ' αὐτῶν.
Κάπηλα, ὁ κρεόπωλις, ἀγορὰ παρὰ ταραντίνοις.
Καπηλεύει, μεταπωλεῖ, οἰνοπωλεῖ, καὶ τὰ πρὸς τὰς τροφὰς καὶ πόσεις. ¶Καπηλεύοντες, πραγματευόμενοι. ¶Κάπηλος, μεταπράτης. ὁ τὰ πρὸς τὴν κάπην πιπράσκων. κάπη δὲ ἡ τροφή. ¶Κάπτηνε, ἔπινε. ¶Καπηλοδύτας, ὁ ἐν τῷ καπηλείῳ ἐρχόμενος. ¶Καπίλη, ὅπου ὁ κυβερνήτης κάθηται πάσσαλος, περὶ ὃν καταπλέονται τὰ χοινία καὶ τὸ ἐν τῇ πρύμνῃ κοίλωμα ἔνθα οἱ ναῦται πάντα ἀποτιθέασι.
Καπηλτια. γυναικεῖα ἱμάτια.
Κάπηξ, ξύλον τι ἐν τῇ πρύμνῃ τῆς νεὼς ὑπερέχον.
Καπιθύ, παράβλημα ἀλόγων. ¶Κάπια, τὰ σκόροδα κορωνῶται. ¶Καπίθη, ἀγγεῖον χωροῦν ἀττικὰς κοτύλας δύο. ¶Καπίων, κιθαρῳδικοῦ νόμου ὄνομα. ¶Καπίστριον, φορβεία ὄνου. ¶Καπνίας ἐκφαντίδας ὁ τῆς κωμῳδίας ποιητὸς καπνίας ἐπικαλεῖν διὰ τὸ μηδὲν λαμπρὸν γράφειν. καὶ οἶνος δὲ καπνίας λέγεται ὁ κεκαπνισμένος, καὶ καπνὸς ἄμπελος ἡ μέλαινα. ¶Κάπνισαν, πῦρ ἀνῆψαν.
Καπνίζοντες, καπνὸν ποιήσαντες.
Καπνοκορτυάζεται, σκιστᾷ παρὰ ἐπιχάρμῳ.
Καπνωμένας, καπνιζομένας. ¶Καπνοστὰ, πνέοντα. ¶Κάπεις, κήπεις. ¶Καπνυκτὰ, πνέοντα.
Κάπος, ψυχὸ πνεῦμα ἢ ὁ τοῦ φοίνικος φλοιὸς ἐν ᾧ κέκρυπται ὁ καρπὸς καὶ ἡ πρώτη ἔκφυσις.
Κάπουλος, φάρυγξ. ¶Κάπτα, τινὲς δὲ τὸ ἐλάχιστον οὐκ ἔνι, καὶ παρὰ καλλιμάχῳ γράφεται κάμπτα τὸ ἀνεστραμμένον, ὡς ὁ μυκτηρισμός.
Καπασσόν, ποικίλον. ¶Καππάτια, γυναικεῖα ἱμάτια. ¶*Κάππει, κατῆλθον. ¶Καπασιὸν, κατὰ τὸ πεδίον. ¶Κάππεσε, κατέπεσε.
Καπατήεια, καταβατήεια. ¶Καπίλοι οἱ πριηνεῖς τῆς κυρήνης. ¶Καπυδὸς, * καταπεπονημένος.
Κάπρα, αἲξ τυρρηνοί. ¶Κάπραινα, ὁ καταφερὴς ἀπὸ τῶν κάπρων. ¶Κάπρας, ἀκολασίας.
Καπρία, εἶδος ὀρχήσεως ἐνόπλου. ¶Καπρίσκος, ἰχθύς. ¶Καπροδρυασούμ, χωρίον παρακλύσεως.
Κάπρονται, ἐκαλοῦντο οὕτως οἱ θρᾶκες. ¶Κάπρος, σύαγρος ὗς ἄγριος. ἢ τὸν φάγρον ἰχθὺν καὶ νόσημα τι γενόμενον ταῖς μελίσσαις. ¶Καπροσύνη, ποδικάθαρσις. ¶Καπροφάγος, ἄρτεμις ἐν σάμῳ.
Κάπτει, καταπίνει. ¶Κάπτοντες, ἀπολιχόμενοι, ἐσθίοντες. ¶Καπύνιοι, ἀκόλουθοι. ¶Κάπυος, πνεῦμα κόπος. ¶Καπυρὸς. καπύρσιον. ἐκπνέον.
Κάπφαγε, κατέφαγε. ¶Καρθάναρος, φθεῖρον, πρόβατον, γένος καρικόν. ¶Κάρα, κεφαλή, ἀπὸ τοῦ ἀττικοὶ διὰ τοῦ ᾱ λέγουσιν, ὅμηρος δὲ ἰακῶς κάρη.
Κάρα, αἲξ ἥμερος παρὰ ἀπολλώνιος ὑπὸ γειτονίων, ἄλλοι δὲ ὁ συκῆ. ἴσοι τὰ πρόβατα καὶ τὸν κεφαλήν.
Καραβαία δίκρουν ξύλον. ¶Καραβίδες, γραῖαι, μεθυμναῖοι. ¶Κάραβος, ἔδεσμα ὥς φασιν ὁπτὸν

ξυλοκοπῆσαι, ἢ σκηνοποιῆσαι. ¶ Καλονέοντες, διώκοντες, θορυβοῦντες. ¶ Καλλονὴ, εὐπρέπεια.

Κ αλόνης, εἴρων ῥόδων. ¶ Κάλος, σχοινίον. καὶ καλώδιον. ¶ Καλοπαίς, εὐοφθάλμοις. ¶ Καλοτίθηνα, καλόβοσκα. ¶ Καλόβριχον, τὸ ἀλάβαστρον. ¶ Καλοτύπος, ὁ δρυοκολάπτης. ¶ Καλπάζει, ὀξυποδῶς σακκάζει. ¶ Κάλπη, ὑδρία, στάμνος. ¶ Κάλπις, ἵππος βαδιστὴς ἢ εἶδος δρόμου. ¶ Κάλπος, ποτηρίου εἶδος. ¶ Κάλρι, ὑποδήματα κοῖλα ἐν οἷς ἱππεύουσι. ¶ Καλύβη, σκληρὰ παστάς. ¶ Καλυβὸς, παστός. ¶ Καλυγὲς, τὰ ἔμβρυα. ¶ Καλυδναὶ, αἱ νῆσοι πλησίον ῥόδου. ¶ Καλυδίλα, γέφυρα. ¶ Καλύδραι, ὁ παλαιά. ¶ Καλυδναῖον, ἀρχαῖον παλαιόν,

Κ αλυδναῖος, αἰδωνεὺς καὶ πρωϊνὸς καὶ ἀρχαῖος παλαιός. ¶ Καλυδὼν, πόλις. ¶ Καλυδώνιος, αὖξ.

Κ αλυδώνιοι, ἔνδοξοι μὲν, αἶγα δὲ διὰ τὸ ὀδυνῆναι φαῦλον σκευὴν ὄντα. ¶ Κάλυψιν, κάλυκα αὐτοστρόφους.

Κ άλυκας, ὅρμοις, περιτραχηλίοις κόσμοις.

Κ αλύκειος, λίθος ὁ ἐν ταῖς ἅλωσι γινόμενος.

Κ άλοκες, γυναικεῖος κόσμος. ¶ Καλυκίζειν, αὐλεῖν.

Κ αλυκὸν μικρὸν ῥόδον. ¶ Καλύκων τὸ ὄμμα ῥοφύλλων. ¶ Καλύκουρος, εὐόφθαλμος. ¶ Κάλωβα, κόσμια. ¶ Κάλυξ, τὸ ἄνθος τοῦ ῥόδου, τὸ μὲν ἐκπέταλον ἄνθος ὁ νύμφη, καὶ τὸ ἐνόπιον. ἢ ὁ χρυσοῦς σύριγξ ἡ τοῖς πλοκάμοις περιέχουσα. ἔνιοι ἔμβρυα ἀποδιδόασι κάλυκας. οἱ δὲ βλαστήματα. σημαίνει δὲ καὶ τὴν θαλασσίαν πορφύραν. ¶ Καλύξεις, ῥόδων καλύκια. ¶ Κάλυξις, κόσμος τὶς ἐκ ῥόδων. ¶ Καλύπτειν. σκεπάζειν κρύπτειν. ¶ Καλύπτρα, κόσμημα κεφαλῆς καλύμματα. ¶ Καλύειον, ξυλύφιον.

Κ άλωβα, σπάθαι φοινίκων σκόλοπες, χάρακες, σταυροί. ¶ Καλχαίνει, ταράσσει, πορφύρει, στένει, φροντίζει, ἄχθεται. κυκᾷ ἐκ βυθοῦ. ταράσσεται. ¶ Κάλχας, στρατεὺς τὸν ποταμόν φησιν, ὅς ἐστι χαλκίδος.

Κ άλχη. διφθέρα πορφύρα. βοτάνιον ἀνθοφόρον. μέρος κεφαλῆς κίονος. ¶ Καλώδια, χυνία. ¶ Κάλων, κάλον ἀπ' εὐθείας τὸ κάλως λαμβάνεις τὸ σύνηθες. ¶ Κάμακας, κοντάρια ὀρθὰ, ἢ καλάμους ὀξεῖς. ¶ Καμάκασος, ὡσεί τις λέγει ἐν τῷ βαράθρῳ ὃ τῷ κρημνῷ ὁ δεσμωτήριον. ¶ Κάμακες, δόρατα ἱππικὰ ἢ ὀρθὰ ξύλα ὑπὸ ταῖς ἀναδενδράσι.

Κ αμακίς, κοσμάριον, ὃ ταῖς πλοκάμοις περιέχει. ἔνιοι σύριγγα. ¶ Κάμαξ, δόρυ χάζα. ἢ τὰ ὑπὸ τοὺς ἀναδενδράσι ξύλα. ¶ Καμὰν, τὸν ἀγρὸν κρῆτες.

Κ άμαξι, τοῖς ὑποβαστάζουσι τὰς ἀμπέλοις ξύλοις.

Κ αμάραι, ζῶναι στρατιωτικαί. ¶ Καμαρεύουσι, ταλαιπωροῦσι πορίζουσι. ¶ Καμαρεύω, στρεύω, ταλαιπωρῶ. πορίζω, κακοπαθῶ, συνέχω. ¶ Καμάρης, δεσμεύς. ¶ Καμαρία, κοιτὼν καμάρας ἔχων. ¶ Καμασανῶς λέγει. προοιμιακῶς λέγει ἀποτόμως αὐθαδείως

Κ άμαροι στῦλαι, ἐν οἷς ἀναγέγραπται ὁ περιορισμὸς τῆς ἀσίας. ¶ Καμαρὶς, κοσμάριον γυναικεῖον.

Κ αμάσαι, σεῖσαι. ¶ Καμάσσειν, κραδαίνειν, τινάσσειν, σείειν τὰ μέσα. ¶ Καμασῖνες, ἰχθύες. ¶ Καμασὸς, βάραθρος. ¶ Καμάσονται, πληθύνονται. ¶ Καμασὶς, μεῖζόν τι. ἀμείψας. ¶ Κάματος, νόσος, κόπος,

μόχθος, πόνος. ¶ Καματηρὸν, ἐπίπονον ἐπίλυπον.

Κ αματώδης, νοσώδης. ¶ Καματῶν, κοπιῶν. ¶ Κάββαλεν, κατέβαλεν. κατέλαβεν. ¶ Καμβατηθεὶς καταπονηθείς. ¶ Κάμβη, παύετη. ¶ Καμβολίαι, κακολογίαι. λοιδορίαι. ¶ Καμβρίζοντα, ἀμελοῦντα. ¶ Κάμον, ἐκοπίασαν. ¶ Καμεῖν, κοπιάσαι, ἢ ὀκνῆσαι νοσῆσαι ἀποθανεῖν. ἐπιμελῶς κατασκευάσαι. ¶ Καμινοῖ καμινευτῖα τινὲς κεκμηκύα τὰς ἶνας ἀποβεβληκυῖα γενὴ καμινοῖ. ¶ Καμεῖται, κοπιάσει. ¶ Κάμερον, ἐκάμετον δυϊκῶς. ¶ Κάμινοι, εὔπλευροι βόες ἰσχυροὶ καὶ εὐτύχιοι. ¶ Κάμινος, μέρος τι τοῦ νεώς.

Κ άμιρος πόλις ῥόδου. ¶ Καμάρψαι, καταλαβεῖν,

Κ άμαρψις, μέτρον σιτικὸν τὸ ἡμιμέδιμνον αἰολεῖς.

Κ αμάρσια, τὰς ἐρυθρὰς κανίσκας. ¶ Καμάστιν, μέζον τι. ¶ Κάμματα, φύλλα κλέφυης ἐν οἷς σκέπουσι τὰ ψαιστά. ὁμοίως καὶ αἱ καμματίδες.

Κ άμμει, καθίζει. ¶ Καμμένειν, καταμένειν λάκωνες. ¶ Κάμμορος, ἀχλύς. ¶ Καμμονίην, τὴν ἐκ κατὰ μόνας μάχης νίκην. ¶ Κάμμορε, κακόμοιρε

Κ αμμορέων. κακοπαθῶν. ¶ Κάμνει, νοσεῖ, ἐργάζεται κοπιᾷ, ὀργίζεται, ἀποθνήσκει. ¶ Κάμορος, κλῆθρα τὸ δένδρον. ¶ Καμπαλέας, καμπύλας.

Κ άμπειος δρόμος. δρόμοι τινὲς ἦσαν κάμπειοι. οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες.

Κ αμπεσίγουνος, ἡ ἐλεινῶς ἀπὸ τοῦ κάμπτειν τὰ γόνατα τῶν ἁμαρτανόντων. ¶ Καμπσόγυια, κάμπτοντα τὰ μέλη. γυῖα γὰρ τὰ μέλη. ¶ Καμπεσίγυια, ὁμοίως καμπικοῦρος παρὰ ἐπιχάρμῳ. ¶ Κάμπος, ἱππόδρομος σκελοί. ¶ Καμπούλος, ἐλαίας εἶδος λάκωνες. ¶ Καμπελόχοις, ἀρότοις.

Κ άμπτειν, τὸ ἐν τῇ ᾠδῇ καμπὰς ποιεῖν.

Κ αμπτόμενος, ἐπικλινόμενος. ¶ Καμπύλα, ἐπικαμπῆ στρεβλά. ¶ Κάμψα, θήκη γλωσσοκομεῖον.

Κ αμψικίζουσι, βαρβαρίζουσι. ¶ Καμψὸν, καμπύλον. ¶ Κἂν, καὶ δὴ ἂν ἀλλά. ¶ Καμῶ, ἐργάσομαι. ¶ Καμψία, κανὰ κανίσκια κανάβια κυνηγετικὰ ὡς γύργαθοι ἢ ὑποδήματα ποιά. ¶ Κανάβιος κηρὸς, ᾧ χρῶνται οἱ ἀνδριαντοποιοὶ πρὸς πλάσιν.

Κ άναβοι, τὰ ξύλα περὶ ἃ τὸ πρῶτον οἱ πλάσται τὸν κηρὸν τιθέασιν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄσαρκοι κάναβοι λέγονται. ¶ Κανάδοκα, χεῖλος οἰστοῦ λάκωνες.

Κ ανάδοι σιαγόνες. γνάθοι. ¶ Κάνακις, ξίφος.

Κ ανάξας, ταράξας. ¶ Κάναστρον, ὄστρακον, τρύβλιον κανοῦν. ¶ Κανοφόρος. * μεσόδμη.

Κ ανάχη, ψόφος. ὄγκος. ἦχος. κραυγή.

Κ αναχηδὰ, ἠχητικῶς. ¶ Καναχίζει, οἰμώζει.

Κ αναχίζειν, ἐψόφει, ἐφώνει. ἐκραύγαζεν.

Κ άνδη, γυνὴ ἢ κανδ. ¶ Κάνθαλοι, κοιλώματα βάθρα κοιλόβαθρα. ¶ Κάνθαρος, ἄνθραξ.

Κ ανδαύλας, ἑρμῆς ἢ ἡρακλῆς. ¶ Κανδοφόροις, μελανειμονοῦντες. ¶ Κανδόχα, κύλη λάκωνες.

Κ άνδυλος. διὰ ἐλαίου καὶ γάλακτος καὶ τυροῦ καὶ μέλιτος πέμμα ἐδώδιμον. ¶ Κάνδυς, χιτὼν περσικὸς ὃν ἐμπορπῶνται οἱ στρατιῶται. ¶ Κανδυτάνες, ἢ κανδύλαι ἱματιοθῆκαι ὅπου τὰ πολυτελῆ ἱμάτια ἔβαλλον. ¶ Κάνδαλος. κακοῦργος. λῃστής.

γεωργικὰ φέροντες. ¶ Καλαθίσκος, εἶδος ὀρχήσεως καὶ σκεῦος γυναικεῖον παρὰ μενάνδρῳ. ¶ Κάλαθος, τὸ γνήσιον ὁ καὶ ψυκτὴρ καὶ τὰ ὑπὲρ τὸ πρόσωπον μέρη. καὶ ἄγγεῖον, ἐν ᾧ χωνεύουσι σίδηρον καὶ γυναικεῖον σκεῦος εἰς ἐρίων παράθεσιν. ¶ Καλαΐς, τὸ ἱστίον καὶ ὄνομα κύριον. ¶ Κάλαμα, ὄγκος, ἰχθῦς. ¶ Καλαμαία, εἶδος ἀκρίδος ἣν καὶ μάντιν καλοῦσι. ¶ Καλαμᾶται. ξυγᾶ τὰ ἀνώτερα μέρη τῶν ἐλαιῶν. ¶ Καλάμη, τὸ τέλος φέρειν τοὺς παροίκους. δηλοῖ δὲ ὥς τινες καὶ ἄκαρπον ἡλικίαν. ἄλλοι ὑπὸ τῆς συγγενείας τοῦ σώματος. ἄλλοι τὶ λείψανον. ἔστι γὰρ καλάμη κυρίως τὸ ξυλῶδες τῶν σταχύων, ἢ τὰ ἐκ τῶν ἀλοητῶν λείψανα. ἐξ ὧν δυνατὸν θεωμάτων ἐστὶ γνῶναι πόσος ἦν ὁ καρπός. ¶ Καλαμηΐδες, αἱ τὰ δράγματα συλλέγουσαι. ¶ Καλάμια, τὰ στελέχια. ¶ Καλαμίνδαρ, πλάτανος ἠλιδιεῖς. ¶ Καλαμίνθη, πόα ὁμοία ἡδυόσμῳ. ¶ Καλαμὶς, κοσμάριόν τι περὶ τοὺς πλοκάμους. ἔνιοι σύριγγα. ἄλλοι χρυσοῦν περιχείλιον ἢ γραφείων θήκην ἢ τὸν τοῦ ἀλιέως κάλαμον, καὶ ὁ ἁλιευτικὸς κάλαμος. κερνῶνται δὲ, τοὺς μικροὺς τέττιγας καλαμίνδας καλοῦσι. ¶ Καλαμίτης, ἥρως τὸν ἠλισίῳ πλησίον. ¶ Κάλαμος, ὄροφος κῶοι. καὶ τὸ ἐπιτήδειον ἐπὶ λύρας ὀχεῖον. καὶ τοῦ σίτου ὁ καυλὸς ἢ αὐλός. ¶ Καλαμοτύπης ἱξευτὴς λάκωνες.

Καλαμώμενον, καλαμᾶσθαι λέγεται ὅταν ἐκ τῶν τεθερισμένων ἀπολείμματά τινα συνάγωσιν ἢ στάχυας.

Καλαμῶται, εἶδος ἐσχάρας. ¶ Καλαοιδία, ἀγὼν ἐπιτελούμενος ἀρτέμιδι παρὰ λάκωσιν. ¶ Κάλαον, καλὸν ὑποπόδιον. ¶ Κάλοι. χοῖνοι. ¶ Καλαρίνδαν, ὀχυροὶ λάκωνες. ¶ Καλαῤῥυγαί, τάφροι, ἀμείβας.

Καλάσιρις. χιτὼν, πλατύσημος ἢ ἡνιοχικὸς καὶ ἱππικὸς χιτών. ἔνιοι δὲ λινοῦν καὶ ποδήρη χιτωνίσκον. ἰσχνὸν ἀεὶ στρωμνὴς θεσμοφοριαζούσαις. ¶ Καλασίεια, τὰ λοχία ἃ καλοῦσιν ὥας. ¶ Καλαυνεῖ. ξυρᾷ ἐμπίπλατι. ¶ Καλαυρεῖ. ξυρᾷ. ¶ Καλαυρόφορος. βακτηριοφόρος. ¶ Καλαῦροψ, ποιμενικὴ ῥάβδος ἢ βουκολική. ¶ Καλαύροπον, ξύλον ᾧ τοὺς βόας βάλλουσιν. ¶ Καλάβροψ, ποιμενικό. ¶ Κάλαφος, ἀσκάλαφος μαντεύτης. ¶ Καλεοίμην, κληθείην. ¶ Κάλεον, ἐκάλουν. ¶ Καλέοντι. καλοῦντι. ¶ Καλλιάς, ὄνομα ἢ μοιχός. ¶ Καλεσομένη, καλέσασα.

Καλεῖσθαι, εὔχεσθαι. καλέσασθαι. ¶ Καλέσαρ, ἐκάλεσεν, ἀνέλαβεν ἐκ λειποψυχίας. ¶ Καλεύειν, λιθοβολεῖν. ¶ Καλέχες, κατέκειτο, πέδιλοι. ¶ Κάλυβος, ἀποκεκαλυμμένος τὸ αἰδοῖον. ¶ Καλημενεῖ, καλεῖ σαφῶς. ¶ Καλόν τ' ἐπικάστην. ἣν οἱ μεθ' ὅμηρον, ἰοκάστην καλοῦσιν. ¶ Καλήτωρ, ἴδιος κῆρυξ. ¶ Καλιαὶ, νοσσιαὶ ἐκ ξύλων καὶ ξύλινα τινὰ περιέχοντα ἀγάλματα εἰδώλων δηλοῖ δὲ ἢ σκηνὴν οἰκείαν κυρίως νοσσιὰν ἐκ ξύλων. ¶ Καλλιγύναικα, καλὰς γυναῖκας φέρουσαν. ¶ Καλίδια, ἔντερα κύπριοι. ¶ Καλιδύνη περιβόλαιον βαρβαρικόν. ¶ Καλλιεδρῆι, καλῶς τοῖς ἱδρῶσι χρῆσθαι. ¶ Καλίζωνοι, ἀπὸ μέρους καλιὴν τὸν οἶκον. κυρίως δὲ τὸν ἀπὸ ξύλων οἶκον. κάλα γὰρ τὰ ξύλα. ¶ Κάλιθος, οἶνος. ἀμειβίας.

Κάλικον, βόθρον. ¶ Κάλινα, ξύλινα. ¶ Καλινδεῖσθαι. κυλίεσθαι. ¶ Καλινοί. δοκίδες. ¶ Καλιοὶ τὰ εὐτελῆ οἰκήματα. ¶ Κάλιον, κνάφειον, βακτηρίδιον. ¶ Κάλιος, τὸ δεσμωτήριον, ἢ ξύλον ᾧ ἐδέοντο. καὶ οἱ μικροὶ οἶκοι καλιαὶ καὶ καλίδια. ¶ Καλίς, σκέπαρνον. ¶ Καλιστρεῖν, καλεῖν. ¶ Καλίομαι, κυλύομαι. ¶ Καλικῶσαι. πράξαι, πατάξαι. ¶ Καλχαίνεται, φροντίζει ταράττεται. ¶ Κάλλα ἢ κάννα κάλαμος. ¶ Κάλλαιοι, οἱ τῶν ἀλεκτρυόνων πώγωνες, καὶ πᾶν πορφυροειδὲς χρῶμα. ἔνιοι δὲ τὰ ποικίλα· καὶ παρ' αἰγυπτίοις χρῶμα καλαινόν. τίθεται δὲ ἐπὶ τῶν μύρων. καλλαί. τὰ βαπτὰ ἔρια. ¶ Καλλαΐς γένος ἱματίων. ¶ Καλλᾶνοι, βάρβαροι. ¶ Κάλλειπε, κατέλειπε. ¶ Κάλλει, γὰρ μύρῳ γὰρ τῆς ἀφροδίτης. ¶ Κάλλειπον, κατέλειπον. ¶ Καλλιάνθη, πορφυρᾶ. ¶ Καλλιοειδὲς, αἰθούσιμον πρὸς βαφὴν ἀρμόζον. ¶ Καλλιρόη. κρήνη. ¶ Κάλλος, καρπός. ¶ Καλλίας, πίθηκος. παρὰ λάκωσι. ¶ Καλλίαρος πόλις. ¶ Καλλιβάντις, ὅμοια σμηλίοις καὶ ψαλίσιν ἐν αἷς τὰς ὀσφῦς κοσμοῦσιν αἱ γυναῖκες, ἀνθ' ὧν ὁ γένος ὀρχήσεως ἀρχαϊκῶς τῶν ἰσχίων κρατουμένων. ¶ Καλλιγένειαν, ἀλλὰ τὴν δημήτραν γῆν. αὐδῆς δὲ οὕτως ἔφη τὴν γῆν καλλιγένειαν. οἱ μὲν, τροφὸν αὐτῆς, οἱ δὲ ἱερείαν, οἱ δὲ ἀκόλουθον. ¶ Καλλιέπεια, καλλιλεξία. ¶ Καλλιδώρα, καλλινύμφη. ¶ Καλλιερεῖν, θύειν, ἱερουργεῖν, καλῶς τὰ ἱερὰ ποιεῖν.

Καλλικολώνη, χωρίον ἱεροπρεπές. ¶ Καλλικόμων, εὐπρεπῶν. ¶ Καλλιέρημα, θυσία εὐπρόσδεκτος.

Καλλίκειτε, χελώνην, οἱ δὲ φώκην. ¶ Κάλλιμος κάλλιστον, ἢ λύρας τὸ ὀχεῖον, οἱ δὲ, κάλαμος. ¶ Καλλίνικος, ὄνομα κύριον καὶ εἶδος ὀρχήσεως ὑπὸ τῆς τῶν κερβέρου ἀναγωγῆ, ἢ νικητής. ¶ Καλλινοτάτη, κρήνη καλῶς ῥέουσα. ¶ Καλλιπάρηος, καλὰς παρειὰς ἔχουσα, εὐπρεπής. ¶ Καλλίπρωρον, εὐπρόσωπον.

Καλλίπυργον, καλὰ τείχη ἔχουσαν. ¶ Καλλιπόρε, ἰσπικώτατε. ¶ Καλλιρόη. κρήνη. ¶ Καλλιρόοιο, καλῶς ῥέοντος. ¶ Καλλίστη, ἡ θύρα τὸ πρότερον, καὶ ὁ ἐν τῷ κεραμεικῷ ἱδρυμένη ἑκάτη ἣν ἔνιοι ἄρτεμιν λέγουσιν. ¶ Καλλιστρεῖν, καλεῖν. ¶ Καλλιστὼ, γυναικεία θεὸς ἐρωτική. διὸ τὸ κάλλος κληθῆναι οὕτω.

Καλλίσφυρος, καλὰ ἀπὸ μέρους εὔρυθμος. ¶ Καλλιτέκνου, καλῶς τεκούσης εὐτέκνου. ¶ Καλλιφθεγγεῖς, λαμπροί. ¶ Καλλιχέλωνος, ὁ ὀβολός. εἶχε γὰρ τὸ νόμισμα χελώνην ἐπικεχαραγμένην. ¶ Καλλίχορον ἐν κύκλῳ τοῦ ἀδριανοῦ τόπου. ¶ Κάλλειψιν, κατέλειψιν. ¶ Καλλιώνυμος. εἶδος. ἰχθύος, μεταφέροντες δέ τινες τὴν λέξιν καὶ ἐπὶ τοῦ αἰδοίου ἔταξαν ἀνδρός τε καὶ γυναικός. ¶ Κάλλος, τὸ τῆς ἀφροδίτης μύρον. ¶ Καλλείμενοι, πρόσωπα καὶ τὸ συνήθες.

Καλλύνεσθαι, κοσμεῖσθαι, καλλωπίζεσθαι. ¶ Καλλωπίσματα, κοσμητήρια. ¶ Καλλωτὴς, κουρεύς. ¶ Κάλλωξα. σκόλοπες, χάρακες. κοσμητήρια. ¶ Καλλωπίζεσθαι, κοσμεῖσθαι. ¶ Καλοΐς, βασιλεύς.

Καλλιτέαι, φυτόν τι θαμνῶδες. ¶ Κάλοι, τὰ χοινίδια ὧν ἀνασπᾶται ἢ κατέχεται τὸ κέρας καὶ τὸ ἄρμενον. ¶ Καλοκαγαθία, ἀπάθειας. ¶ Κάλοι δὲ ὁρόχθοι, χοινία δὲ ἐτύπασαν. ¶ Καλοκοπίσκω,

Καὶ μάλα δικαίως, καὶ πάνυ εἰκότως. ¶Καὶ μάλα ἐν δίκῃ, δικαίως. ¶Καὶ μὲν δὴ, καὶ δὴ ἐμοῦ.
Καὶ μέν τοι, καὶ ἔτι καὶ μήν. ¶Καὶ μὴν τῶν, καὶ τούτων μέν. ¶Καί με πρὸς μῦθον ἔειπε, καὶ προσεῖπέ με τῷ λόγῳ. ¶Καὶ μὴν, ἔτι. ¶Καίγε, καίτοι.
Καί μιν, καὶ πρὸς αὐτόν. ¶Καίνει, φονεύει, ἐκτείνει.
Καινία, νίκη. ¶Καινίσαι, καινῶς χρήσασθαι καὶ ἐγκαινίσαι. ¶Καινίτα, ἀδελφή.
Καινίτας, ἀδελφοὺς καὶ ἀδελφάς. ¶Καινὸς, νέος, νεκρός. ¶Κενοτάφια, νεκροτάφια. ¶Καινοτομῆσαι, καινὸν ποιῆσαι. ¶Καινοτομεῖν, καίνειν, λαμμεῖν, τέμνειν. ¶Καινουργηκότα, νέα πράγματα ἐργασάμενον. ¶Καὶ νύκε, καὶ ἄν. ¶Καὶ νύκε, καὶ δὴ ἄν.
Καίνυσθαι, νικᾶν, ἀφαιρεῖσθαι, χοινεύεσθαι, μεθέξειν ἀγορήν.
Καινυμένα, διαφθείρουσα. ¶Καίνυται, νικᾷ, προφέρει. ¶Καινύτω, νικάτω. ¶Καιόντων, καιέτωσαν. ¶Καὶ οὐ διεφθόνησαν, οὐ διέφυγον. ¶Καὶ πολλὸν, καὶ πάνυ. ¶Καιποτέροι, καιποτέσαι.
Καίπερος, ἀξίνη. ¶Καὶ προκατέδη, ἀντὶ τοῦ ἄφνω.
Καὶ ῥὰ, καὶ δὴ αὐτάρ. ¶Καί ῥ' ἐπιβεβαμένη, καὶ δὴ ἐπιπλέουσα. ¶Καίραμα, μέρος νεὼς, ἢ ἀμφίεσμα.
Καιράτιοι, οἱ κνώσιοι ἀπὸ ποταμοῦ. ¶Καιρατοῦσι, τοῖς κέρασιν πλήξουσιν. ¶Καιρία, τὰ μέρη τὰ λεπτὰ βέβαια ὠφέλιμα ἢ ἐπικίνδυνα θανάσιμα ἢ τελεία. ¶Καιροθίουσι, κρατοῦσι, προτρέχουσιν.
Καιρός. χρόνος ἢ τόπος. καίριος, ἢ ὁ τοῦ ἐπὶ ἀριθμός.
Καιροσέων, μεμιτωμένων. καῖρος γὰρ ὁ μίτος φασίν. οἱ δὲ τὰς περὶ ὑφὰς τῶν ἀμπλακίων, οἱ δὲ, εὐκεκαιρωμένων, τουτέστιν εὐυφασμένων, καιρώματα γὰρ τὰ διαχωριστικὰ τῶν στημόνων πλέγματα. ¶Καιρότροφον, ἐνωρότροφον ἀχαιοί. ¶Καιρῷ, ῥοπάλῳ.
Καίρωσιν, τοῦ στήμονος τοῖς συνδέσμοις. ¶Καιροσεῖδες, ἐρεσεῖδες, ὑφασεῖδες. ¶Καιροφυλακῆσαι, καιρὸν ἐπιτηρῆσαι. ¶Καισέραι, πολυκεφάλαιαι.
Καὶ σ' ἐκπρόσωπον, δρέπανον. ξοροκόπιον.
Καὶ συμβιβάσεις. καὶ διαλέξεις. ¶Καὶ σφεδὶν, καὶ αὐτοῖς. ¶Καίτοιγε, καὶ τοὺς, εἰς ἔρης καὶ τοὺς εἰς τρίτην. ¶Καύξεκα, ὅπλα ἰβηρικὰ, οἱ δὲ κορτίας.
Καὶ χερσὶ, καὶ ἔργοις. ¶Καὶ ὥς, καὶ ὅμως.
Κακὰ, κακία ἢ ὄρνεον. ¶Κάκαλοι, βολβοί.
Κάκαλα, τείχη. αἰσχύλος νιόβῃ. ¶Κακαλὶς, νάρκισσος. ¶Κακὰ μήσατο, κακὰ ἐβουλεύσατο.
Κακανδρείας, ἤγουν κακὰ δυσχερέως. ¶Κάκας, ἐπιβάθρας τοὺς ἀπὸ κακίας ἀποδρέντας ἐπιβεβηκότας.
Κακκείοντες, κατακοιμησόμενοι.
Κακέφατον, ἄδοξον, δυσκλεές. ¶Κακεστοῦν, κακὴν κατάστασιν, ἢ ἀπραγίαν. ¶Κακή. πελιά. ἢ κακία, ἀλλὰ ἀπὸ ἐμοῦ κακῆς: κακονοίας. ¶Κακήγορος, κακῶς λέγων κακολόγος. ¶Κακίζει, κακολογεῖ.
Κακὴ κόνις, κακὸς ὄλεθρος. ¶Κακιζόμενος, ταπεινούμενος. ¶Κακιθά. λιμηρά. ¶Κακιθής. ἄξοφος ἄμπελος. ¶Κακιθὲς, χαλεπόν. λιμηρές.
Κακίμμορον, δυστυχῆ. ¶Κάκιον, ἀτελέστερον.
Κακιῶσαι. ἱδροῦν ἀρχόμενοι λάκωνες. ¶Κακάβα, πέρδιξ, κακκάβη κέκος ἢ χύτραν, ὃν ἡμεῖς κάκκαβον
Κάκκαβος, ἢ λοπάς, ἢ πέρδιξ. ¶Κακκάζειν, τὰς
ὄρνις τὰς περὶ τὸ τίκτειν φθεγγομένας ἀττικοί.
Κακάλεια, κατακεκαυμένα. ¶Κακκεῖαι, κατακαῦσαι, κοιμηθῆναι. ¶Κακκείοντες, κοιμηθέντες κοιμησόμενοι. ¶Κακκεῖναι, κατακόψαι πάσσαλοι.
Κάκκαλον, κάταξον. ¶Κάκκη, κόπρος ὁ κάθαρμα λάκωνες. ¶Κακκὸς, ὁ μικρὸς δάκτυλος.
Κακκώνιον, σκαφίον. ¶Κακκορραφίῃσι. κακομηχανίαις. ¶Κακόβας, ἤγουν κακῶν ὄβων.
Κακοδαιμονίαν, ἀτυχίαν. ¶Κακοδαίμων, ὁ θεῷ ἐπαχθής. ¶Κακοδικτεύουσα, κακῶς διχομένη.
Κακοδιάβολος, κακοικονόμος, λάκωνες. ¶Κακοεργός. ὁ τὰ κακὰ ἐργαζόμενος. ¶Κακοείμονας, ῥακενδύτοις. ¶Κακοηθίας. κακοτροπίας.
Κακοὶ, ἄνανδροι, δειλοί. δυστυχεῖς, κακοδαίμονες.
Κακόκνημος, κακόφθαρτος κακόστρος. ¶Κακοτόρης, κακοθάλπων. ¶Κακολὴ, κακοδέρκη. ¶Κακομήτης, κακόβουλος. ¶Κακομήχανος, κακόβουλος.
Κακόνοια. ὕβρις. ¶Κάκονος, κακονοῶν. ¶Κακοπινής. κακός. μεθυστής. ¶Κάκονες. κακὸς ὄλεθρος.
Κακοπάθεια, μοχθηρία. ¶Κακοπράγμων, πανοῦργος. ¶Κακοπραγοῦς, κακοδροῦς. ¶Κακόρας, κατακόψας περὶ βίβλω. ¶Κακόρνιζε, ἀπεχώρει.
Κακορραφίας, κακοσυνθεσίας, κακοβουλίας.
Κακορραφίη, κακομηχανία, κακοβουλία, κακουργία.
Κακορραφέας. κακοποιούς. κακοπράγμονας.
Κακορροθεῖ. κακολογεῖ, λοιδορεῖ. ὑβρίζει.
Κακός. δειλὸς, δεινός. πονηρός. ¶Κακοστόμενος, δεινῶς ἐμβλεψάμενος. ¶Κακοχόλου. κακοῦ κατὰ τὴν χολήν. ¶Κακότητος, κακότητος.
Κακότης, κάκωσις βλάβη. ¶Κάκουλοι, κακοὶ σκληροὶ κύαμοι. ¶Κακουργεῖ, κακὰ ἐργάζεται.
Κακοῦργος, δόλιος κακὰ ἐργαζόμενος. ¶Κακοήθης, κακότροπος. ¶Κακουχία. ἀσθένεια, ἀμέλεια. ἀθεραπευσία. ¶Κακόχειρος: ὁ κακοῖς χαίρων. ¶Κάκτανε, φόνευε, ἄνελε, κατάκτεινε. ¶Κάκτος, ἄκανθα, ὑφ' ἧς ἐὰν πληγῇ νεβρὸς ἀχρεῖα ἔχει τὰ ὀστᾶ εἰς αὐλούς. ¶Κ'ακτῶν, καὶ ἐκ τόπων. ¶Κακοσιτία, ὀψοφαγία. ¶Κακῦναι. ὀψοφαγῆσαι. ¶Κακύνει, κακώσει. ¶Κακχαδίαι, ἰχνόφωνοι. ¶Καγχάζει. ἀτάκτως γελᾷ, ἀσμένως, ἀθρόως, ἀπαιδεύτως.
Κάγχερρος, κατέχερσον. ¶Κάχχωρεῖ. δραπετεύει, κακουργεῖ. ¶Κακχότερον, χεῖρον. ¶Κακούς. δειλούς. ¶Κακὸν δὲ φέρτερον εἴη, ἤγουν τῶν κακῶν τὸ κρεῖττον. ¶Κακῶς, δεινῶς, ταπεινῶς. ¶Κάκωσις, ταπείνωσις, δείνωσις. ¶Καλὰ, ὀξυτόνως τὸ σύνηθες, καὶ ἀντὶ ἐπιρρήματος τοῦ καλῶς. παροξυτόνως δὲ τὰ ξύλα. ¶Καλαβὶς, τὸ περισπᾶν τὰ ἰσχία καλαβοῦσθαι, ἐν τῷ τῆς δεριατίδος ἱερῷ ἀρτέμιδος ᾀδόμενοι ὕμνοι. ¶Καλαβρίαν, τὴν μεσόγειον χώραν στενῶν. ¶Καλαβεκαθείησαν, χλευασθείησαν.
Καλαβρὸς, βάρβαρος. ¶Καλαβᾶς, καλαβώτης.
Κάρπαθος τὸν μάρτυρα. παροιμία. καρπάθιοι δὲ λαγὼν κατέλειψαν τοὶ ἐπηγάγετο, διὰ τὸ μὴ εἶναι λαγωοὺς ἐν τῇ χώρᾳ, ἐπηγάγοντο αὐτοί, καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τόν τε σῖτον αὐτῶν καὶ τὰς ἀμπέλους ὑπ' αὐτῶν βλάπτεσθαι ὁ γοῦν ἀρχίλοχος παρὰ ταύτην τὴν παροιμίαν ἔφη καρπάθιος τὸν μάρτυρα.

Καρπαθῆναι, σκορπισθῆναι. ¶Καρπάτινον, ἀγροικικὸν ὑπόδημα μονόδερμον. ¶Καρπεῖν, πλήττειν.

Κάρπαια, ὄρχησις μακεδονική. ¶Κάρπεσθαι, καθαίρειν. ¶Κάρπη, τὰ σπέρματα, καὶ τίσανα ὀβελίσκους ἔχοντα. ¶Καρπία κλωνία. ¶Καρπίζεσθαι, προσολύεσθαι. ¶Καρπίζουσι, ποτίζουσι εἰς καρπὸν ποιοῦσι. ¶Καρπνά, δένδρα καρπὸν ἔχοντα.

Καρποβόλον, τὸ ἰσόβολον ἀρχεῖοι.

Κανεῖν, κτείνειν καὶ λέειν, ὅθεν τὸ κανοῦν ἀπὸ κοινοῦ κανομένων ἱερείων. ¶Κανέοισι, κανοῖς, μαζί, κανισκίοις.
Κατὸν, κανοῦν. ¶Κάνιστρον, κανίσκιον.
Κανηφόροι. ἐν ταῖς πομπαῖς αἱ ἐν ἀξιώματι παρθένοι ἐκανηφόρουν ὥσπερ καὶ ἐν τοῖς παναθηναίοις. οὐ πάσαις δὲ ἐφεῖτο κανηφορεῖν. ¶Κανηφόρος. ἀμφορεὺς τῶν νυμφῶν ἡ τὸ κανοῦν φέρουσα. ¶Κανθάρεος ἀμπέλου εἶδος. ¶Κανθαρὶς, χρυσοειδὴς ἰχθὺς, ἢ ζωΰφιον λυμαντικὸν σίτου καὶ ἀμπέλου καὶ κήπων.
Κάνθαροι αἰτναῖοι. μεγάλοι ἀπὸ τῆς αἴτνης.
Κάνθαρος, ποτηρίου εἶδος ἀπὸ τοῦ κατασκευάσαντος. καὶ ποιὸς ἰχθῦς. καὶ πλοίου εἶδος. ἢ ὁ δακτύλιος τῶν ἱερῶν. ¶Κανθάρου σκιὰ, παροιμία ἐπὶ τῶν φοβουμένων τὰ μὴ ἄξια φόβου. ¶Κανθάρου λιμὴν οὕτω καλεῖται ἐν πειραιεῖ. ¶Κανθήλιος. ὠμὸς μωρός. ὄνομα. ¶Κανθήλια, τὰ ἐν τῇ πρύμνῃ τῆς νεὼς ἐπικαμπῆ ξύλα περιθέματα πρὸς σκηνοποιΐαν, ἢ τὰ σάγματα τῶν ὄνων. καὶ τὰ φύρις ἐπιθήματα λύγινα πλέγματα καὶ τῆς βιθυνίας ὄρη.
Κανθύλας, τὰς οἰδήσεις αἰσχύλος σαλαμινίαις.
Κανθίαι, σπυρίδες. ¶Κανθίς. ὀνίσκη ὄνος.
Κανθός. ὁ τοῦ ὀφθαλμοῦ κύκλος, καὶ ἡ ἀναπνοὴ τοῦ καπνοῦ ἐν τοῖς ἰπνοῖς. τινὲς δὲ καπνοδόχην * πάντως χυτρόποδας σκελοὶ καὶ εἰς ὃ τὰς κάχρυς φρύγουσιν. ¶Κανθώνη, καθαρῶ. ¶Κἂν ἴσαι, παροιμία μετενηνεγμένη ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις φερομένων ψήφων ἴσων, ἀπολύονται δὲ τοῦ ἐγκλήματος ὁπόταν ἴσαι διενεχθῶσιν αἱ ψῆφοι. ¶Κανίας, κάλαθος.
Κάγκανον, ὕλην ξηράν. ὕλην.
Κανακὶς σκυθικὸν θυμίαμα ὃ τοιαύτην ἔχει δύναμιν, ὥστε διακμάζειν πάντα τὸν πλησιῶντα, ἔστι δὲ φυτὸν τι λινῷ ὅμοιον, ἐξ οὗ αἱ θρᾷσσαι ἱμάτια ποιοῦσιν ἡρόδοτος. τούτου τὸ σπέρμα θυμιῶσιν.
Καννάβισθῆναι, πρὸς τὴν κάνναβιν διεθρῆσαι καὶ πνευματωθῆναι. ¶Κάναθρα, ἀστράβη ἢ ἅμαξα πλέγματα ἔχουσα ὑφ' ὧν πομπεύουσιν αἱ παρθένοι ὅταν εἰς τὸ τῆς ἐλένης ἀπίωσιν. ἔνιοι δὲ ἔχει εἴδωλα ἐλάφων ἢ γρυπῶν. ¶Κάννα, ψίαθοι. καὶ τὰ αἰγύπτια πλέγματα, ἀφ' ὧν καὶ τὰ κάναθρα, ἢ εἶδος γῆς χρυσολίθου. ¶Κάννικες, πλέγματα ταρσῶν.
Καννώνου, πανδοχεῖον, καννώνου ψήφισμα. εἰσήνεγκε τὸ οὕτος ψήφισμα, ὥστε διειλημμένοις τοὺς κρινομένους ἑκατέρωθεν ἀπολογεῖσθαι. ¶Καννοῦν, κανίσκιον, δισκάριον. ¶Κάντορες, οἱ κρατοῦντες.
Κανὼν, κτένας ἢ τὸ ξύλον τὸ διὰ μέσου καὶ αἱ τῆς ἀσπίδος ῥάβδοι ἀφ' ὧν ὁ τελαμὼν ἐξῆπτο.
Καπαλίτας, ὀνηλάτας. ¶Κάος, ἐκαλοῦντο.
Καπαλίζει, ζευγηλατεῖ. ¶Καπαλαὶ, κάπαλοι φάτναι. ¶Καπάνη, τεχίνη κωμή. ¶Καπάνια, ἀρπεδόνες. ¶Καπανικώτερα, ἀπὸ τῆς φάτνης, χορταστικώτερα. τινὲς δὲ αὐτὶ τοῦ μείζονα καπάνας γάρ, ἀπήνας λέγουσιν. ¶Καπηλεῦσαι, μαντεύσασθαι. ¶Κάπας, μεμβρὰς ἢ φάτνας.
Κάπετε, κατακόψεις παῖδες. ¶Κάπετος, καθαρὸν παρὰ θεσσαλῶν*. ¶Κάπη, κτηνῶν τροφή.
Καπεμβαφίζων, ὁ ἐπεμβαφίζων. ¶Κάπεσε, κατέ-

πεσον. ¶Καπέτις, χοῖνιξ. ¶Κάπετον, τὸ τάφρου παρὰ τὸ ἐσκάφθαι. ¶Κάπετος, τάφος. σορός. ὄρυγμα. βόθρος. οἱ δὲ σκαπτόν. ¶Καπετώλιον. ὁ ζειδόρος. ¶Κάπη, φάτνη. ¶Κάπησι, φάτναις. ἀπὸ τοῦ κάπτειν ἀφ' αὐτῶν.
Κάπηλα, ἡ κρεώπωλις, ἀγορὰ παρὰ ταραντίνοις.
Καπηλεύει, μεταπωλεῖ, οἰνοπωλεῖ, καὶ τὰ πρὸς τὰς τροφὰς καὶ πόσεις. ¶Καπηλεύοντες. πραγματευόμενοι. ¶Κάπηλος, μεταπράτης. ὁ τὰ πρὸς τὴν κάπην πιπράσκων. κάπη δὲ ἡ τροφή. ¶Κάπτει, ἐπίνει. ¶Καπηλοδύτας, ὁ ἐν τῷ καπηλείῳ ἐρχόμενος. ¶Καπήλη, ὅπου ὁ κυβερνήτης κάθηται πάσσαλος, παρὰ τὸ ἐγκατείληπται τὰ χοινία καὶ τὸ ἐν τῇ πρύμνῃ κοίλωμα ἔνθα οἱ ναῦται πάντα ἀποτίθενται.
Καπήλτια. γυναικεῖα ἱμάτια.
Κάπηξ, ξύλον τι ἐν τῇ πρύμνῃ τῆς νεὼς ὑπερέχον.
Καπιθὴν, παράβλημα ἀλόγων. ¶Κάπια, τὰ σκόροδα κορυφοῦται. ¶Καπίθη, ἀγγεῖον χωροῦν ἀττικὰς κοτύλας δύο. ¶Καπίων, κιθαρῳδικοῦ νόμου ὄνομα. ¶Καπίστριον, φορβέα ὄνου. ¶Καπνίας ἐκφαντίδης ὁ τῆς κωμῳδίας ποιητὴς καπνίας ἐπεκαλεῖτο διὰ τὸ μηδὲν λαμπρὸν γράφειν. καὶ οἶνος δὲ καπνίας λέγεται ὁ κεκαπνισμένος, καὶ καπνὸς ἄμπελος ἡ μέλαινα. ¶Κάπνισον, πῦρ ἀνάψαν.
Καπνίσαντες, καπνὸν ποιήσαντες.
Καπνοκορτυάζεται, σκιρτᾷ παρὰ ἐπιχάρμῳ.
Καπνωμένας, καπνιζομένας. ¶Καπνοτὰ, πνέοντα. ¶Κάπους, κήπους. ¶Καπνυτὰ, πνέοντα.
Κάπος, ψυχὴ πνεῦμα. ἢ ὁ τοῦ φοίνικος φλοιὸς ἐν ᾧ κέκρυπται ὁ καρπὸς καὶ ἡ πρώτη ἔκφυσις.
Κάπταλος, φάρυγξ. ¶Κάππα, τινὲς δὲ τὸ ἐλάχιστον οὐκ ἔνι, καὶ παρὰ καλλιμάχῳ γράφεται κάμπτε τὸ ἀνεστραμμένον, ρ ὡς ὁ μυκτηρισμός.
Καππαστὸν, ποικίλον. ¶Καππάτια, γυναικεῖα, ἱμάτια. ¶* Κάππει, κατῆλθεν. ¶Καππεσέον, κατὰ τὸ πεσεῖν. ¶Κάππεσε, κατέπεσε.
Καπετήρια, καταβατήρια. ¶Κάπηλοι οἱ περινεῖς τῆς κυρήνης. ¶Καπνός, * καταπεπονημένος.
Κάπρα. αἲξ τυρρηνοί. ¶Κάπραινα, ἡ καταφερὴς ἀπὸ τῶν κάπρων. ¶Κάπρας, ἀκολασίας.
Καπρεία, εἶδος ὀρχήσεως ἐνόπλου. ¶Καπρίσκος, ἰχθῦς. ¶Καπροβρυσοῦν, χωρίον παρακλόσιως.
Κάπροι, ἐκαλοῦντο οὕτως οἱ θρᾷκες. ¶Κάπρος, σύαγρος ὗς ἄγριος, ἢ τὸν φάγρον ἰχθὺν καὶ νόσημα τὸ γινόμενον ταῖς μελίσσαις. ¶Καπροσύνη, πολυκάθαρσις. ¶Καπροφάγος, ἄρτεμις ἐν σάμῳ.
Κάπτει, καταπίνει. ¶Κάπτοντες, ἀποσχόμενοι, ἐσθίοντες. ¶Καπύνιοι, ἀκόλουθοι. ¶Κάπυς, πνεῦμα κῆπος. ¶Καπυρός. καπύουσαν. ἐκπνέων.
Κάπφαγε, κατέφαγε. ¶Καρδάναρος, φθεῖρον, πρόβαρον, γένος καρικόν. ¶Κάρα, κεφαλὴ, παρὰ ἀττικοῖς διὰ τοῦ α λέγουσιν, ὅμηρος δὲ ἰακῶς κάρη.
Κάρα, αἲξ ἥμερος παρὰ πολυρρηνίοις ὑπὸ κρητῶν, ἄλλοι δὲ ἡ συκῆ. ἴωνες τὰ πρόβατα καὶ τὴν κεφαλήν.
Καραβαία δίκρουν ξύλον. ¶Καραβίδες, γραῖαι, μεθυμναῖοι. ¶Κάραβος, ἔδεσμα ὥς φασιν ὠπτη-

ξυλοκοπεῖσθαι, ἢ σκηνοπηγεῖσθαι. ¶ Καλοσείοντες, διώκοντες, θορυβοῦντες. ¶ Καλλονή, εὐπρέπεια.
Καλόνης, εἴρων ῥόδων. ¶ Κάλος, χοινίον. καὶ καλώδιον. ¶ Καλοποιεῖ, εὐοφθάλμοις. ¶ Καλοτίθηνα, καλόξοφα. ¶ Καλόξριχον, τὸ ἀδίαντον. ¶ Καλοτύπος, ὁ δρυοκολάπτης. ¶ Καλπάζει, ὀξυποδεῖ, σπεκκάζει. ¶ Κάλπη, ὑδρία, στάμνος. ¶ Κάλπης, ἵππος βαδιστὴς ἢ εἶδος δρόμου. ¶ Κάλπος, ποτηρίου εἶδος. ¶ Κάλποι, ὑποδήματα κοῖλα ἐν οἷς ἱππεύουσι. ¶ Καλύβη, σκληρὰ παστάς. ¶ Καλυβός, παστός. ¶ Καλυγές, τὰ ἔμβρυα. ¶ Καλυδναί, αἱ νῆσοι πλησίον ῥόδου. ¶ Καλυδίλα, γέφυρα. ¶ Καλύδρα, ὁ παλαιά. ¶ Καλυδναῖον, ἀρχαῖον παλαιόν.
Καλυδναῖος, αἰδωνεύς καὶ πρωϊνὸς καὶ ἀρχαῖος παλαιός. ¶ Καλυδών, πόλις. ¶ Καλυδώνιος, σῦξ.
Καλυδώνιον, ἔνδοξον ὗν, αἶγα δὲ δὴ τὸ ὀδοντίναι φαῦλον διὰ τὸ ὄντα. ¶ Κάλυψιν, κάλυκα αὐτιστρόφως.
Κάλυκας, ὅρμοις, περιτραχηλίοις κόσμοις.
Καλύκειος, λίθος ὁ ἐν ταῖς ἅλωσιν γινόμενος.
Κάλοκες, γυναικεῖος κόσμος. ¶ Καλυκίζειν, αὐλεῖν.
Καλυκὸν, μικρὸν ῥόδον. ¶ Καλύκων τὸ ὀμματοφύλλων. ¶ Καλύκοντες, εὐόφθαλμος. ¶ Κάλυξα, κόσμοξα. ¶ Κάλυξ, τὸ ἄνθος τοῦ ῥόδου, τὸ μὴ ἐκπεταθὲν ἄνθος ὁ νύμφη, καὶ τὸ ἐνώτιον. ἢ ἡ χρυσῆ σύριγξ ἡ τοῖς πλοκάμοις περιέχουσα. ἔνιοι ἔμβρυα ἀποδιδόασι κάλυκας. οἱ δὲ βλαστήματα. σημαίνει δὲ καὶ τὴν θαλασσίαν πορφύραν. ¶ Καλύξεις, ῥόδων κάλυκια. ¶ Κάλυξις, κόσμος τὶς ἐκ ῥόδων. ¶ Καλύπτειν. σκεπάζειν κρύπτειν. ¶ Καλύπτρα, κόσμοξα κεφαλῆς καλύμματα. ¶ Καλύειον, ξυλύφιον.
Κάλωξα, σπάθαι φοινίκων σκόλοπες, χάρακες, σταυροί. ¶ Καλχαίνει, ταράσσει, πορφύρει, στένει, φροντίζει, ἄχθεται. κινεῖ ἐκ βυθοῦ. ταράσσεται. ¶ Κάλχας, στρατηγός ὃν ποταμὸν φησι, ὅς ἐστι χαλκίδος.
Κάλχη. ἀφθίρα. πορφύρα. σοπένιον αἰθοφόρον. μέρος κεφαλῆς κίονος. ¶ Καλώδια, χυνία. ¶ Κάλλων, κάλον ἀπ' εὐθείας τὸ κάλλος λαμβάνεις τὸ σύνηθες. ¶ Κάμακας, κοντάρια ὀρθά, ἢ καλάμους ὀξεῖς. ¶ Καμάκασος, ὥσπερ τις λέγει ἐν τῷ βαράθρῳ ὁ τῷ κρημνῷ ἢ δεσμωτηρίῳ. ¶ Κάμακες, δόρατα ἱππικὰ ἢ ὀρθὰ ξύλα ὑπὸ ταῖς ἀναδενδράσι.
Καμακίς, κοσμάριον, ὃ τοῖς πλοκάμοις περιέχει. ἔνιοι σύριγγα. ¶ Κάμαξ, δόρυ χίζα. ἢ τὰ ὑπὸ ταῖς ἀναδενδράσι ξύλα. ¶ Καμάν, τὸν ἀγρὸν κρῆτες.
Κάμαξι, τοῖς ὑποβαστάζουσι τὰς ἀμπέλους ξύλοις.
Καμάραι, ζῶναι στρατιωτικαί. ¶ Καμαρεύουσι, ταλαιπωροῦσι πιέζουσι. ¶ Καμαρεύω, στορεύω, ταλαιπωρῶ. πιέζω, κακοπαθῶ, συνέχω. ¶ Καμάρης, δεσμεῖς. ¶ Καμαρία, κοιτών καμάρας ἔχων. ¶ Καμακᾶνῶς λέγει. περιοιμακῶς λέγει ἀποτόμως αὐθεκάστως
Κάμαροι στόλοι, ἐν οἷς ἀναγέγραπται ὁ περιορισμὸς τῆς ἀσίας. ¶ Καμαρίς, κοσμάριον γυναικεῖον.
Καμάσαι, πῖσαι. ¶ Καμάστην, κραδαίνην, τινάσσειν, σείειν τὰ μέσα. ¶ Καμασῖνες, ἰχθύες. ¶ Καμασός, βάραθρος. ¶ Καμάσσεται, ἱδρύσεται. ¶ Καμασίς, μεῖζόν τι. ἀμοιβαίας. ¶ Κάματος, νόσος, κόπος.

μόχθος, πόνος. ¶ Καματήρον, ἐπίπονον ἐπίλυπον.
Καματώδης, νοσώδης. ¶ Καματῶν, κοπιῶν. ¶ Κάββαλεν, κατέβαλεν. κατέλαβεν. ¶ Καμβατηθεὶς, καταπονηθείς. ¶ Κάμβη, πανέτη. ¶ Καμβολίαι, κακολογίαι. λοιδορίαι. ¶ Καμβρίζοντα, ἀμελοῦντα. ¶ Κάμεν, ἐκοπίασεν. ¶ Καμεῖν, κοπιάσαι, ἢ ὀκνῆσαι νοσῆσαι ἀποθανεῖν. ἐπιμελῶς κατασκευάσαι. ¶ Καμινοῖ καμινοῦ ξί* τινὲς κεκμηκότα τὰς ἶνας ἀποβεβληκότα γυνὴ καμινοῖ. ¶ Καμεῖται, κοπιάσει. ¶ Κάμερον, ἐκάμβον δυικῶς. ¶ Κάμινοι, εὔπλευροι βόες ἰσχυροὶ καὶ εὐίχνιοι. ¶ Κάμινος, μέρος τι τοῦ νεώς.
Κάμιρος πόλις ῥόδου. ¶ Καμάρψαι, καταλαβεῖν,
Κάμαρψις, μέτρον σιτικὸν τὸ ὁμιμέδιμνον αἰολεῖς.
Καμάρσια, τὰς ἐρυθρὰς κανίσκας. ¶ Καμάστην, μέτρον τι. ¶ Κάμματα, φύλλα σέρφης ἐν οἷς σκέπουσι τὰ ψαιστά. ὁμοίως καὶ αἱ καμματίδες.
Κάμμει, καθίζει. ¶ Καμμένειν, καταμένειν λάκωνες. ¶ Κάμμορος, ἀχλύς. ¶ Καμμονίην, τὴν ἐκ κατὰ μόνας μάχης νίκην. ¶ Κάμμορε, κακόμοιρε.
Καμμορέων. κακοπαθῶν. ¶ Κάμνει, νοσεῖ, ἐργάζεται κοπιᾷ, ὀργίζεται, ἀποθνήσκει. ¶ Κάμορος, κλῆθρα τὸ δένδρον. ¶ Καμπαλέας, καμπύλας.
Κάμπειος δρόμος. δρόμοι τινὲς οὕτω κάμπειοι. οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες.
Καμπεσίγουνος, ἡ ἐρινὺς ἀπὸ τοῦ κάμπτειν τὰ γόνατα τῶν ἁμαρτανόντων. ¶ Καμπεσόγυια, κάμπτοντα τὰ μέλη. γυῖα γὰρ τὰ μέλη. ¶ Καμπεσίγυια, ὁμοίως καμπτικόν παρὰ ἐπιχάρμῳ. ¶ Κάμπος, ἱππόδρομος σικελοί. ¶ Καμπούλον, ἐλαίας εἶδος λάκωνες. ¶ Καμπλόχοις, ἀρότοις.
Κάμπτειν, τὸ ἐν τῇ ᾠδῇ καμπὰς ποιεῖν.
Καμπτόμενος, ἐπικλινόμενος. ¶ Καμπύλα, ἐπικαμπῆ στρεβλά. ¶ Κάμψα, θήκη γλωσσοκομεῖον.
Καμψικίζουσα, βαρβαρίζουσα. ¶ Καμψόν, καμπύλον. ¶ Κἂν, καὶ δὴ ἂν ἀλλά. ¶ Καμῶ, ἐργάσομαι. ¶ Καμψία, κανᾶ κανίσκια κανάβια κυνηγετικὰ ὡς γύργαθοι ἢ ὑποδήματα τινά. ¶ Κανάβιος κηρός, ᾧ χρῶνται οἱ ἀνδριαντοποιοὶ πρὸς πλάσιν.
Κάναβοι. τὰ ξύλα περὶ ἃ τὸ πρῶτον οἱ πλάσται τὸν κηρὸν τιθέασιν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄσαρκοι κάναβοι λέγονται. ¶ Κανάδοκα, χείλη ὀϊστοῦ λάκωνες.
Καναδόκαι σιαγόνες. γνάθοι. ¶ Κάνακις, ξίφος.
Κανάξας, ταράξας. ¶ Κάναστρον, ὄστρακον, τρύβλιον κανοῦν. ¶ Κανοφόρος. *μεσόδμη.
Καναχή, ψόφος. ὄγκος. ἦχος. κραυγή.
Καναχηδά, ὀχητικῶς. ¶ Καναχίζει, ὀιμώζει.
Καναχίζειν, ἐψόφει, ἐφώνει. ἐκραύγαζεν.
Κάνδη, γυνὴ ἡ κανδ. ¶ Κάνθαλοι, κοιλώματα βάθρα κοιλόβαθρα. ¶ Κάνθαρος, ἄνθραξ.
Κανδαύλας, ἑρμῆς ὁ ἡρακλῆς. ¶ Κανδοφόροις, μαλακευμονοῦντες. ¶ Κανδόχα, κῆλη λάκωνες.
Κάνδυλος. διὰ ἐλαίου καὶ γάλακτος καὶ τυροῦ καὶ μέλιτος πέμμα ἐδώδιμον. ¶ Κάνδυς, χιτὼν περσικὸς ὃν ἐκπορποῦνται οἱ στρατιῶται. ¶ Κανδυτάναι, ἢ κανδύλαι ἱματιοθῆκαι ὅπου τὰ πολυτελῆ ἱμάτια ἔβαλλον. ¶ Κάνδαλος. κακοῦργος. λῃστής.

γεῖα καὶ φέροντες. ¶ Καλαθίσκος, εἶδος ὀρχήσεως
καὶ σκεῦος γυναικεῖον παρὰ μενάνδρῳ. ¶ Κάλαθος,
τὸ τήθειον ὃ καὶ ψυκτὴρ καὶ τὰ ὑπὲρ τοῦ προσώπου μέρη.
καὶ ἀγγεῖον, ἐν ᾧ χωνεύουσι σίδηρον καὶ γυναικεῖον σκεῦ
ος εἰς ἐρίων παράθεσιν. ¶ Καλαΐς, ὁ ἴασπις καὶ ὄνο
μα κύριον. ¶ Κάλαμα, ὄγκος, ἰχθῦς. ¶ Καλα
μαία, εἶδος ἀκρίδος ἣν καὶ μάντιν καλοῦσι. ¶ Καλα
μᾶται, συνάγει τὰ ἀνεύρετα μέρη τῶν ἐλαιῶν. ¶ Κα
λάμη, τὸ τέλος φέρειν τοῖς πλοίοις. δηλοῖ δὲ ὥς τι
νες καὶ ἀκαρπον ἡλικίαν. ἄλλοι ἀπὸ τῆς συγγενείας
τοῦ σώματος. ἄλλοι τὶ λείψανον. ἔστι γὰρ καλάμη κυ
ρίως τὸ ξύλον ἁλῶνος τῶν σταχύων, ἢ τὰ ἐκ τῆς ἅλω τῆς λείψα
να. ἐξ ὧν περιαθρήματων ἐστὶ γνῶναι πόσος ἦν ὁ καρ
πός. ¶ Καλαμησίδες, αἳ τὰ δράγματα συλλέγου
σαι. ¶ Καλάμια, τὰ στελέχια. ¶ Καλαμίνδες,
πλάτανος ὑπὸ δωριέων. ¶ Καλαμίνθη, πτισάνη ὁμοία ἡδυό
σμῳ. ¶ Καλαμὶς, κοσμάριόν τι περὶ τοὺς πλοκά
μους. ἔνιοι σύριγγα. ἄλλοι χρυσοῦν περιβραχιόλιον καὶ
γραφείων θήκην καὶ τὸν τῆς ἀλακρος ταρσόν, καὶ ὁ ἁλι
ευτικὸς κάλαμος. κεχρῶνται δέ, τοὺς μικροὺς τέττιγας
καλαμίνδας καλοῦσι. ¶ Καλαμίτης, ἥρως τοῦ
ἡλισίῳ πλησίον. ¶ Κάλαμος, ὄροφος κέδροι. καὶ τὸ
ἐπιτιθέμενον ταῖς λύραις ἠχεῖον. καὶ τῆς σύριγγος καυλὸς
καὶ αὐλός. ¶ Καλαμοτύπες ἰξευτὴς λάκωνες.

Καλαμώμενον, καλαμᾶσθαι λέγεται ὅταν ἐκ τοῦ τετρυγη
μένου ἀπολείμματα τινα συνάγωσιν ἢ στάχυας.

Καλαμῶται, εἶδος ἐσχάρας. ¶ Καλαοιδία, ἀγὼν ἐπι
τελούμενος ἀρτέμιδι παρὰ λάκωσιν. ¶ Κάλαον, κα
λὸν ὑποπόδιον. ¶ Κάλοι. χοίνιοι. ¶ Καλαρίνδες,
ὄχεροι λάκωνες. ¶ Καλαρρυγαί, τάφροι, ἀμερείας.

Καλάσιρις. χιτὼν, πλατύσημος ἢ ἐνιαχικὸς καὶ ἱππι
κὸς χιτών. ἔνιοι δὲ λινοῦν καὶ ποδήρη χιτώνιον. ἰσχνὸν
ἀεὶ σοφάνης θεσμοφοριαζούσαις. ¶ Καλασίριτα,
τὰ λοχία ἃ καλοῦσιν ὤας. ¶ Καλαυνεῖ. ξυρᾷ ἐμ
πίμπλαται. ¶ Καλαυρεῖ. ξυφεῖ. ¶ Καλαυρόβολις.
βακτηριοφόρος. ¶ Καλαυρόπα, ποιμενικὴν ῥάβδον
καὶ βουκολικήν. ¶ Καλαύροπον, ξύλον ᾧ τοὺς βόας
βάλλουσιν. ¶ Καλάβροψ, ποιμενική. ¶ Κάλα
φος, ἀσκάλαφος μαντεύτης. ¶ Καλεοίμην, κληθεί
ην. ¶ Κάλεον, ἐκάλουν. ¶ Καλέοντι, καλοῦντι. ¶ Κα
λεὸς, ὄνομα καὶ μοιχός. ¶ Καλεσσαμένη, καλέσασα.

Καλέσασθαι, εὔχεσθαι. καλέσαι. ¶ Καλέσειν, ἰδιά
λεσεν, κατέλαβεν ἐκ λειποψυχίας. ¶ Καλεύειν, λιθο
βολεῖν. ¶ Καλέχες, κατέκλισεν, πέδιλοι. ¶ Κάλη
βος, ἀπεσκολυμμένος τὸ αἰδοῖον. ¶ Καληυμενεῖ, κα
λεῖ σαφῶς. ¶ Καλήν τ' ἐπικάστην. ἣν οἱ μετ' ὅμηρον,
ἰοκάστην καλοῦσιν. ¶ Καλήτωρ, ἰδίως κῆρυξ. ¶ Κα
λιαὶ, νοσσιαὶ ἐκ ξύλων καὶ ξύλινα τινὰ περιέχοντα ἀ
γάλματα εἰδώλων δηλοῖ δὲ καὶ σκηνὴν οἰκείαν κυρίως
νοσσιὰν ἐκ ξύλων. ¶ Καλλιγύναικα, καλὰς γυναῖκας
φέρουσαν. ¶ Καλίδια, ἔντερα κύπριοι. ¶ Καλιδύη
περιβόλαιον βαρβαρικόν. ¶ Καλλιβοχεῖν, καλῶς
τοῖς ἱεροῖς χρήσασθαι. ¶ Καλίζωνοι, ἀπὸ μέρους κα
λιὰν τὴν οἰκίαν. κυρίως δὲ τὴν ἀπὸ ξύλων οἰκίαν. κάλα
γὰρ τὰ ξύλα. ¶ Κάλιθος, οἶνος. ἀμερείας.

Κάλικον, βόθρον. ¶ Κάλινα, ξύλινα. ¶ Καλινδεῖ-

σθαι. κυλίεσθαι. ¶ Καλινοὶ. δοκίδες. ¶ Καλιοὶ
τὰ εὐτελῆ οἰκήματα. ¶ Κάλιον, κνώδαλον, βακτη
ρίδιον. ¶ Κάλιος, τὸ δεσμωτήριον, καὶ ξύλον ᾧ ἐδίον
ρ. καὶ οἱ μικροὶ οἶκοι καλιαὶ καὶ καλίδια. ¶ Καλὶς,
σκέπαρνον. ¶ Καλιστρεῖν, καλεῖν. ¶ Καλίομαι, κυ
λίομαι. ¶ Καλικῶσαι. πρᾶξαι, πατάξαι. ¶ Καλ
χαίνεται, φροντίζει ταράττεται. ¶ Κάλλα ἡ κάννα
κάλαμος. ¶ Κάλλαιοι, οἱ τῶν ἀλεκτρυόνων πώ
γωνες, καὶ πᾶν πορφυροειδὲς χρῶμα. ἔνιοι δὲ τὰ ποι
κίλα. καὶ παρ' αἰγυπτίοις χρῶμα καλαϊνόν. τίθεται
δὲ καὶ ἐπὶ μύρου. καλλαί. τὰ βασίλεια. ¶ Καλλαΐς
γένος ἱματίων. ¶ Καλλαβοὶ, βάρβαροι. ¶ Κάλλει
πε, κατέλειπε. ¶ Κάλλη, ἐν μύχῳ ἐν τῇ ἀφροδί
της. ¶ Κάλλειπον, κατέλειπον. ¶ Καλλιάνθη,
πορφυρᾶ. ¶ Καλλιεῖδος, αἰθούσιμον πρὸς βαφὴν ἀρ
μόζον. ¶ Καλλιρόη. κρήνη. ¶ Κάλλις, καρπί
μη. ¶ Καλλίας, πίθηκος. παρὰ λάκωσι. ¶ Καλ
λίαρος πόλις. ¶ Καλλιβάντες, ὅμοια σμηλίοις καὶ
ψαλίσιν ἐν αἷς τὰς ὀσφῦς κοσμοῦσιν αἱ γυναῖκες, ἄν
θη ἢ γένος ὀρχήσεως ἀγχωμένως τῆς ἰσχίων κρατουμέ
νων. ¶ Καλλιγένειαν, ἀλλὰ τὴν δήμητραν γῆν. οὐδεὶς
δὲ οὕτως ἔφη τὴν γῆν καλλιγένειαν. οἱ μέν, τροφὸν αὐ
τῆς, οἱ δὲ γραῖαν, οἱ δὲ ἀκόλουθον. ¶ Καλλιέπεια,
καλλιλεξία. ¶ Καλλιδώρα, καλλιονύμφη. ¶ Καλ
λιερεῖν, θύειν, ἱερουργεῖν, καλῶς τὰ ἱερὰ ποιεῖν.

Καλλικολώνη, χωρίον ἱεροπρεπές. ¶ Καλλικόμων,
εὐπρεπῶν. ¶ Καλλιέρημα, θυσία εὐπρόσδεκτος.

Καλλίκειτα, χελώνην, οἱ δὲ φώκην. ¶ Κάλλιμος
κάλλιστος, ἢ λύρας τὸ ἠχεῖον, οἱ δὲ, κάλαμος. ¶ Καλ
λίνικος, ὄνομα κύριον καὶ εἶδος ὀρχήσεως ἀπὸ τῆς τοῦ κερ
βέρου ἀναγωγῆς, ἢ νικητής. ¶ Καλλινοτέτη, κρήνη
καλῶς ῥέουσα. ¶ Καλλιπάρηος, καλὰς παρειὰς
ἔχουσα. εὐπρεπής. ¶ Καλλίπρωρον, εὐπρόσωπον.

Καλλίπυργον, καλὰ τείχη ἔχουσαν. ¶ Καλλιπόρε, ἱπ
πικώτατε. ¶ Καλλιρόη. κρήνη. ¶ Καλλιρόοιο, κα
λῶς ῥέοντος. ¶ Καλλίστη, ἡ θύρα τὸ πρότερον, καὶ ἡ ἐν
τῷ κεραμεικῷ ἱδρυμένη ἑκάτη ἣν ἔνιοι ἄρτεμιν λέ
γουσι. ¶ Καλλιστεῖν, καλεῖν. ¶ Καλλιστώ, γυναι
κεία θεὸς ἐρωτική. διὰ τὸ κάλλος κληθεῖσα οὕτως.

Καλλίσφυρος, καλὰ ἀπὸ μέρους εὔρυθμος. ¶ Καλλι
τόκου, καλῶς τεκούσης εὐτόκου. ¶ Καλλιφθογγεῖς,
λαμπροί. ¶ Καλλιχέλωνος, ὁ ὀβολός. εἶχε γὰρ τὸ νό
μισμα χελώνην ἐπικεχαραγμένην. ¶ Καλλίχω
ρον ἐν κνωσσῷ τοῦ ἀδριανοῦ τόπῳ. ¶ Κάλληψιν, κατά
ληψιν. ¶ Καλλιώνυμος. εἶδος. ἰχθύος, μεταφέρον
τες δέ τινες τὴν λέξιν καὶ ἀπὸ τοῦ αἰδοίου ἐτίθεσαν ἀν
δρός τι καὶ γυναικός. ¶ Κάλλος, τὸ ἐπὶ ἀφροδίτης
μύρον. ¶ Καλλείμβοι, πρόσωπα καὶ τὸ σύνηθες.

Καλλύνεσθαι, κοσμεῖσθαι, καλλωπίζεσθαι. ¶ Καλλυ
ντήρια, κοσμητήρια. ¶ Καλλυντὴς, κουρεύς. ¶ Κάλ
λυξα. σκόλοπες, χάρακες. κοσμητήρια. ¶ Καλλω
πίζεσθαι, κοσμεῖσθαι. ¶ Καλόϊς, βασιλεύς.

Καλπέαι, φυτόν τι θαμνῶδες. ¶ Κάλοι, τὰ χονίαι.
δι' ὧν ἀνασπᾶται καὶ κατέχεται τὸ κέρας καὶ τὸ ἄρμε
νον. ¶ Καλοκαγαθία, ἀπλότης. ¶ Κάλοι δὲ
ὀρόχθουν, χοινία δὲ ἐτείνοντο. ¶ Καλοκοπῖσαι,

Κ αὶ μάλα δικαίως, καὶ πάνυ εἰκότως. ¶Καὶ μάλα
ἐν δίκῃ, δικαίως. ¶Καὶ μεθ' ὃν, καὶ δὴ ἐμοῦ.
Κ αὶ μὲν τοι, καὶ ἔτι καὶ μήν. ¶Καὶ μὴν τῶν, καὶ τού
των μὲν. ¶Καί με πρὸς μῦθον ἔειπε, καὶ προσεῖπέ
με τῷ λόγῳ. ¶Καὶ μὰν, ἔτι. ¶Καίγε, καίρι.
Κ αίμιν, καὶ πρὸς αὐτόν. ¶Καίνει, φονεύει, ἐκτείνει.
Κ αινία, νίκη. ¶Καινίσαι, καινῶ χρήσασθαι καὶ
ἐγκαινίσαι. ¶Καινίτα, ἀδελφή.
Κ αινίτας, ἀδελφοὺς καὶ ἀδελφάς. ¶Καινὸς, νέος,
νεκρός. ¶Κενοτάφια, νεκροτάφια. ¶Καινοτο
μῆσαι, καινὸν ποιῆσαι. ¶Καινοτομεῖν, καινεῖν, λαμ
βάνειν, τέμνειν. ¶Καινουργηκότα, νέα πράγματα ἐργα
σάμενον. ¶Καὶ νύκε, κἂν. ¶Καὶ νύ κε, καὶ δὴ ἂν
Κ αίνυσθαι, νικᾶν, ἀφαιρεῖσθαι, χοινεύεσθαι, μερίζειν ἀγρόν.
Κ αινυμένα, διαφθείρουσα. ¶Καίνυται, νικᾷ προφέ
ρει. ¶Καινύτω, νικάτω. ¶Καιόντων, καιέτω
σαν. ¶Καὶ οὐ διεφώνησεν, οὐ διέφυγεν. ¶Καὶ
πολλὸν, καὶ πάνυ. ¶Καιποτέροι, καιποτέσοι.
Κ αίπτρος, ἀξίνη. ¶Καὶ προκατέθη, αὐτὶ τοῦ ἄφνω.
Κ αὶ ῥά, καὶ δὴ αὐτάρ. ¶Καί ῥ' ἐπειγομένη, καὶ δὴ ἐ
πλῆθουσα. ¶Καίραμα, μέρος νεὸς, ἢ ἀμφίεσμα.
Κ αιράτιοι, οἱ κνώσιοι ἀπὸ ποταμοῦ. ¶Καιρατιοῦσι,
τοῖς κέρασιν πλήξουσι. ¶Καιρέαι, τὰ μέρη τὰ λε
γόμενα βέβαια ὠφέλιμα ἢ ἐπικίνδυνα θανάσιμα ἢ πολέ
μια. ¶Καιροθήουσι, κρατοῦσι, προτρέχουσιν.
Κ αιρός. χρόνος ἢ τόπος. καίριος, ἢ ὁ τῆς ἐπὶ ἀριθμός.
Κ αιροσέων, μεμιτωμένων. καῖρον δὲ μίτον φασίν.
οἱ δὲ τὰς πλοκὰς τῶν ἀμπελώνων, οἱ δὲ, εὖ κεκαιρω
μένων, τουτέστιν εὖ ὑφασμένων, καιρώματα γὰρ τὰ
διαχωριστικὰ τῶν στημόνων πλέγματα. ¶Καιρό
τροφον, ἰνωσότροφον ἀγροί. ¶Καιρῶ, ῥοπάλῳ.
Κ αίρωσιν, τῶν στήμονος τοῖς συνδέσμοις. ¶Καιροσεί
δης, ἐρασείδης, ὑφασείδης. ¶Καιροφυλακῆσαι,
καιρὸν ἐπιτηρῆσαι. ¶Καισέραι, πολυκεφάλαιαι.
Κ αίσ' ἐκ προσώπου, δρέπανον, ξυροκόπιον.
Κ αὶ συμβιβάσεις. καὶ διαλέξεις. ¶Καὶ σφεῖν, καὶ αὐ
τοῖς. ¶Καίριγε, καὶ ποὺ, εἰς ἔρησιν τοὺς εἰς τεῖ
την. ¶Καίτρεια, ὅπλα ἰβηρικὰ, οἱ δὲ κορτίας.
Κ αὶ χερσὶ, καὶ ἔργοις. ¶Καὶ ὡς, καὶ ὅμως.
Κ ακὰ, κακία ὀρνέων. ¶Κάκαλοι, βολβοί.
Κ άκαλα, τείχη. αἰσχύλος νιόβη. ¶Κακαλὶς, νάρκισ
σος. ¶Κακὰ μήσατο, κακὰ ἐβουλεύσατο.
Κ ακανθρείας, ἀντὶ κακὰ δυσχερῶς. ¶Κάκας, ἐπι
βάθρας τοὺς ἀπὸ κακίας ἀποβρέτας ἐπιβεβηκότας.
Κ ακκείοντες, κατακοιμησόμενοι.
Κ ακέφατον, ἄδοξον, δυσκλεῆ. ¶Κακεστοῦν, κακὴν
κατάστασιν, ἢ ἀπραξίαν. ¶Κακό. πλιά. ἢ κακία,
ἀλλὰ ἀπὸ ἐμοῦ κάκης: κακουχίας. ¶Κακήγορος,
κακῶς λέγων κακολόγος. ¶Κακίζει, κακολογεῖ.
Κ ακηκόνις, κακὸς ὄλεθρος. ¶Κακιζόμενος, τα πει
νούμενος. ¶Κακιθα. λιμηρά. ¶Κακιθός. ἄξυ
φος ἄμπελος. ¶Κακιθὶς, χαλεπόν. λιμηρές.
Κ ακίμιωνον, δυνάτοχῆ. ¶Κάκιον, ἀτελέστερον.
Κ ακιῶσαι. ἱδρῶν ἀρχόμενοι λάκωνες. ¶Κακάβα,
πέρδιξ, κακκάβη κεῖκος ἢ χύτραν, ὃν ἡμεῖς κάκκαβον
Κ άκκαβος, ἢ λοπὰς, ἢ πέρδιξ. ¶Κακκάζειν, τὰς

ὄρνις τὰς πρὸς τὸ τίκτειν φθεγγομένας ἀττικοί.
Κ ακάλεα, κατακεκαυμένα. ¶Κακκεῖαι, κατακαῦ
σαι, κοιμηθῆναι. ¶Κακκείοντες, κοιμηθέντες κοι
μησόμενοι. ¶Κακκεῖναι, κατακόψαι πάσσαλοι.
Κ άκκαλον, κάταξον. ¶Κάκκη, κόπρος ἢ κάθισμα
λάκωνες. ¶Κακκὸς, ὁ μικρὸς δάκτυλος.
Κ ακκώνιον, σκαφίον. ¶Κακκορραφίησι. κακομηχα
νίαις. ¶Κακόβας, ἀντὶ κακῶν ἰβῶν.
Κ ακοδαιμονίαν, ἀτυχίαν. ¶Κακοδαίμων, ὁ θεῷ
ἐπαχθής. ¶Κακοδικτεύουσα, κακῶς δεχομένη
Κ ακοδιάβολος, κακοικονόμος, λάκωνες. ¶Κακοερ
γός. ὁ τὰ κακὰ ἐργαζόμενος. ¶Κακοείμονας, ῥα
κενδύτους. ¶Κακοηθίας. κακοτροπίας.
Κ ακοὶ, ἄνανδροι, δειλοί. δυστυχεῖς, κακοδαίμονες.
Κ ακόκνημος, κακόφθαρος κακόστρος. ¶Κακοτρόφος,
κακοθάλπων. ¶Κακολὴ, κακοδέρκη. ¶Κακομή
της, κακόβουλος. ¶Κακομόχανος, κακόβουλος.
Κ ακόνοια. ὕβρις. ¶Κάκονος, κακονοῶν. ¶Κακο
πινός. κακός. μεθυστής. ¶Κάκοπος. κακὸς ὄλεθρος.
Κ ακοπάθεια. μοχθηρία. ¶Κακοπράγμων, πανοῦρ
γος. ¶Κακοπραγοῦς, κακοφροῦς. ¶Κακόρας,
κατακόψας παρὰ θύελλαν. ¶Κακόρραζε, ἀπεχώρει.
Κ ακορραφίας, κακοπιθανίας, κακοβουλίας.
Κ ακορραφίη, κακομηχανία, κακοβουλία, κακουργία.
Κ ακορραφέας. κακοποιούς. κακοπράγμονας.
Κ ακορροθεῖ. κακολογεῖ, λοιδορεῖ. ὑβρίζει.
Κ ακός. δειλὸς, δεινός. πονηρός. ¶Κακοστόμενος,
δεινῶς ἐμβλεψάμενος. ¶Κακοχόλως. κακοῦ κα
τὰ τὴν χολήν. ¶Κακότερος, κακότερος.
Κ ακότης, κάκωσις βλάβη. ¶Κάκυλοι, κακοὶ,
σκληροὶ κύαμοι. ¶Κακουργεῖ, κακὰ ἐργάζεται.
Κ ακοῦργος, δόλιος κακὰ ἐργαζόμενος. ¶Κακοήθης,
κακότροπος. ¶Κακουχία. ἀσθένεια, ἀμέλεια. ἀθερα
πευσία. ¶Κακόχαιρος. ὁ κακοῖς χαίρων. ¶Κά
κτανε, φόνευε, ἄνελε, κατέκτεινε. ¶Κάκτος, ἄκαν
θα, ὑφ' ἧς ἐὰν πληγῇ νεβρὸς ἀχρεῖα ἴσχει τὰ ὀστᾶ εἰς
αὐλούς. ¶Κ' ἀκτῶν, καὶ ἐκ τόπων. ¶Κακυκία,
ὀψοφαγία. ¶Κακῦναι. ὀψοφαγῆσαι. ¶Κακύνει,
κακώσει. ¶Καγχαλόαι, ἰχνόφωνοι. ¶Καγχά
ζει. ἀτάκτως γελᾷ, ἀσμένως, ἀθρόως, ἀπαύστως.
Κ άγχαρος, κατάχαρτον. ¶Κάγχωρεῖ. δραπετεύει,
κακουργεῖ. ¶Κακχότερον, χεῖρον. ¶Κακνύς.
δειλούς. ¶Κακὸν δὲ φέρτερον εἰη, ἤγουν τοῦ κακοῦ
τὸ κρεῖττον. ¶Κακῶς, δεινῶς, ταπεινῶς. ¶Κά
κωσις, ταπείνωσις, δείνωσις. ¶Καλὰ, ὀξυτόνως τὸ
σύνηθες, καὶ αὐτὶ ἐπιρρήματος τοῦ καλῶς. προπερισπωμένως
δὲ τὰ ξύλα. ¶Καλαβὶς, τὸ περισπᾶν τὰ ἰσχία κα
λαβοῦσθαι, ἐν τῷ τῆς δεριατίδος ἱερῷ ἀρτέμιδος, ᾄδο
μένοι ὕμνοι. ¶Καλαβρίαν, τὴν μεσοποταμίων χώραν
ῥήτορον. ¶Καλαβρειασθείησαν, χλευασθείησαν.
Κ αλαβρὸς, βάρβαρος. ¶Καλαβάς, καλαβώτης.
Κ αλαβύσκος, τοὺς κωλώτας, ἀργεῖοι. ¶Καλαδία
ῥυκάνη. ¶Καλαβώτης, ἰχθὺς ποιός καὶ ζεῦρος.
Κ αλάδη,* πατατεῖς, καλὰ λαλεῖς. ¶Καλάζει. ὀγκοῦ
ται ἀχαιοί. ¶Κάλαθοι, λάλαβοι, οἱ δὲ ἄνθη.
Κ αλάθαρβα, προιμία. ¶Καλαθηφόροι, οἱ τὰ μα

Κ άγγανα. τὰ ἐυκαιόμενα ξύλα. ¶ Καθαίρει, καταλαμβάνει. ¶ Καθαιρεθήσονται, καταστραφήσονται. ¶ Καθαίρεσις, κατάλυσις, καταστροφή.
Κ αθαίρομαι, γῆρας. ἐκδύομαι αἰσχύλος σκηνῇ.
Κ αθαιρῶν, καθιστῶν, καταδικάζων, οἱ δὲ, μαστιγῶν.
Κ ατανύσαι, συντελέσαι. ¶ Καθάπαξ, συλλήβδην, παντελῶς. ¶ Καθάπτεσθαι, λοιδορεῖσθαι, ὀνειδίζειν, πραΰνειν, ἐφάπτεσθαι, ἐγγίζειν.
Κ αθάπτομαι, πραΰνω. ὀνειδίζω, ἐγγίζω.
Κ αθαπλᾶ λύσις, ἐπὶ τῶν δυσλύτων τι ἐπιχειρούντων λύειν. ¶ Κάθαπλος, θεὸς τὶνος ὡς μόναρχος, λέγει δὲ ὑπὸ καθειμένον καὶ ἐπερραμμένον τὰς δορὰς καὶ τοὺς θυρεοὺς περισφηκωμένοις φοροῦντα. ¶ Καθάρβυλως, χλανὶς ποδήρης ἕως τῶν ἀρβύλων. ¶ Καθαρὸν εἶναι, μαστιγωθῆναι. ¶ Κάθαρμα τὸ χοιρίδιον ᾧ τὴν ἑστίαν ἐκάθαιρον ἐν τοῖς ἐκκλησίαις. ὁ δὲ ἐπιτελῶν δημοσίως περιστίαρχος ἐλέγετο. ¶ Καθαρμοί, ἱερεῖς δήμιοι ἢ σαροί. ¶ Καθαροποιεῖ. σαίρει.
Κ αθαρίζων, κομψευόμενος. ¶ Καθαρῶς. σαφῶς, ἀκριβῶς. ¶ Καθαῦσαι, ἀφανίσαι. ¶ Κάθε, ἑπίδες. ¶ Καθ' ἑαυτὸν, αὐτὸς δι' ἑαυτοῦ. ¶ Καθεδεῖται, κάθηται. ¶ Καθεδοῦμαι, καθεσθήσομαι.
Κ αθεδοῦνται, καθεσθήσονται. ¶ Καθέδρα, θυσία ἀδώνιδος. ¶ Καθέδραι, πένθοις ἡμέραι, ἐπὶ τετελευτηκόσι. ¶ Καθέζεσθαι, ἱδρυνθῆναι καὶ οἰκῆσαι.
Κ αθειργμένος, κατελθών. ¶ Καθέκει. πρέπει ἢ ἐχρῆν. ¶ Καθεῖκον, καθήψω ὕβρισας.
Κ αθείκοντες, καθήψαντες. ¶ Καθεῖκται, πέρας γέγονε. ¶ Καθεῖλας, κατέλυσας, ἀπέκτεινας, κατέβαλες. ¶ Καθειμένον, κατερχόμενον, κεχαλασμένον. ¶ Καθημόσαντες, καθέντες. ¶ Καθεῖναι, κάτω ἀπολῦσαι. ¶ *Καθεζόμενον, καθεζόμενον. ¶ Καθεῖται, καθῆψατο. ¶ Καθειργμένος ἐγκεκλεισμένος. ¶ Καθείργνυται, συγκλείεται.
Κ αθεῖρκται, ἠσφάλισται. ¶ Καθείρκτο, πεφυλακίσθω παρὰ τὴν εἱρκτήν. ¶ Καθελσον, εἶδος ἐπιλήματος. ¶ Καθεκτὸν, ἐφεκτὸν, καταληπτόν.
Κ αθελεῖν, σελήνην, ἐδόκουν αἱ θετταλαὶ τὴν σελήνην κατάγειν. ¶ Καθελεῖς, κατενέγκεις. ¶ Καθέλκει, καταβάλλει. ¶ Καθέλκομαι, παρασύρομαι.
Κ αθέντος, καταχαλάσαντος. ¶ Κάθεμα, ὁ κατὰ στήθους ὅρμος. ¶ Καθεμον, χαλάσαι.
Κ αθέξει, κρατήσει. ¶ Καθέξομαι, ἀνέχομαι, ἀνέξομαι.
Κ άθες, χάλασον. ¶ Καθεσπέμενος, χαλάσας.
Κ άθεσαν, κατέθηκαν. ¶ Κάθεσον, κατάγειον οἴκημα.
Κ αθεστηκότος, παρεστηκότος. ¶ Καθέστηκεν, ἕστηκεν.
Κ αθεστος, παρεστὸς ἀντιθεῖν ὑπάρχων, μόλιβδος.
Κ άτθερ, κατέθετο. ¶ Καθεύδειν, κοιμᾶσθαι ὑπνοῦν.
Κ αθηγεμὼν, ὁδηγὸς διδάσκαλος. ¶ Καθηδυπάθειαν, τὴν σαρκικὴν ἐπιθυμίαν. ¶ Καθῆκαν, κατέβαλαν, ἐχάλασαν, ἐνέβαλον. ¶ Καθήκοντα, προσήκοντα. ἀκόλουθα, ἁρμόζοντα. ¶ Καθήκοντο, κατεβάλοντο. ¶ Καθηκόντως, δεόντως, πρεπόντως, προσηκόντως. ¶ Καθήκουσιν, ἁρμόττουσι.
Κ αθήμενον, τὸ κοῖλον καὶ ὁμαλὸν χωρίον καὶ πεδίον.
Κ αθῆλωσε, τοῖς ἥλοις ἐσφιγξεν.

Κ αθιμᾶσι, κατήνεγκεν ἢ κατήντλησι. ¶ Καθίππευε, ὕβριζεν, ὠνείδιζεν. ¶ Καθαιρῶν, καταστρέφων.
Κ άθισον, καθίζου. ¶ Καθῖστο, ἐκαθέζετο.
Κ αθιγμένον, κατελθόντα, καταντήσαντα, φθάσαντα ἢ καταγενόμενον. ¶ Κάθιδοι, ὑδρίαι ἀρκάδες.
Κ άθιδρος, κεκμηκώς. ¶ Καθιδρῦσαι, καθιδρῶσαι. στῆσαι. ¶ Καθιέμενον, κεχαλασμένον.
Κ αθιέντος, καταχαλῶντος.
Κ αθιεροῖ, ἀφανατίθησι. ¶ Καθιζόμενον, καθεζόμενον. ¶ Καθίλοιμι. ἀπολύω. ¶ Καθικέσθαι, ἐφάψασθαι, τύψαι. ¶ Καθικνεῖσθαι, καθάπτεσθαι καταβαίνειν. ¶ Καθικομένοις, ἐλθοῦσι.
Κ αθίκοντο, καθήψαντο ἐχάλασαν. ¶ Καθιλύσας, ἀθροίσας. ¶ Καθιμᾷ, καθίησι, χαλᾷ. ¶ Καθομείσθω, καθιστάσθω. ¶ Καθιμονεύει. καθίησι.
Κ αθιμῶσι, χαλῶσιν. ¶ Καθίζεσθε, καθέζεσθε, κρατήσατε. ¶ Κάθιζον, κάθισον. ¶ Καθίπταται. ἐπάνω πέτεται. ¶ Καθίππαξις, πομπῆς ὄνομα παρὰ λακεδαιμονίοις. ¶ Κάθισαν, καθίδρυσαν.
Κ αθίσαν, ἱδρύσατο. ¶ Καθίστα, στῆσαι ποίησον.
Κ αθιστῶ, δείκνυμι. ποιῶ. ¶ Καθοδοῖς, ἀγγαῖς, κύκλοις. ¶ Καθολικά, συγγενικά. λάκωνες.
Κ άθομον, κατὰ τὸ ἀστή. ¶ Κάθομον, κατὰ λόγον καθ' ὅμοιον, καθ' ὅλον τὴν προσήκουσαν.
Κ αθοπλεύει, καθορᾷ. ¶ Κάθοπτρον, ἀόρατον.
Κ αθορίζει, ὁρίζει. ¶ Κάθορμα, τὰ ἔνορμα περιθέματα ἀρραβωνιακὰ ἢ κόσμια περιτραχήλια.
Κ άθος, ἀσυνεὶς. ¶ Καθωσιωμένος, ἀνακείμενος.
Κ αθ' ὅσον, ὅσον. ¶ Καθ' ὅσον ὁιόν τε. καθόσον δυνατὸν ἦν. ¶ Καθουφὴν, ἀλώπηκα. ¶ Καθίεψεν, ἔψητο. ¶ Καθυλομανούντων, ὕλην ἐχόντων πολλήν. ¶ Καθ' ὕπαρ κατ' ὄναρ. ¶ Καθ' ὑπερβολήν. ὑπερβαλλόντως. ¶ Καθύπερθεν, ἄνωθεν, ὑπεράνωθεν. ¶ Καθυπερτέροις, πλεονεκτοῦντας.
Κ αθυπισχνεῖν, ὡμολογεῖν. ¶ Καθυφεῖναι, ἐνδοῦναι, ὑποχωρεῖν. καθυποβάλλειν. ¶ Καθυφῆκάμην, ἀφῆκα, εἴασα. ¶ Καθυφῆκεν, ἐνδέδωκεν.
Κ αθυφεῖς, παρειμένως καταλείπεις. ¶ Καθωμηρισμένα καθ' ὅμηρον εἰρημένα. ¶ Καθ' ὥραν, ἐν πάσῃ ὥρᾳ κατὰ καιρόν. ¶ Καθώς, ὥσπερ καθάπερ.
Κ αθωσίωσι, κατέλυσιν, κατεύθυνσιν θυειπίδος μελεάγρου. ¶ Καὶ ἄλλως, καὶ ἄνευ τούτων. ¶ Καέρων, ἐκαίοντο. ¶ Καίατα, ὀρύγματα, ἢ τὰ ὑπὸ σεισμῶν καταρραγέντα χωρία. ¶ Καὶ αὖθις, καὶ αὖτις καὶ πάλιν. ¶ Καὶ αὐτὸς, καὶ ἐμοὶ αὐτός.
Κ αὶ ἀχνύμενοί περ, περιλυπούμενοι. ¶ Καὶ δὴ γὰρ, καὶ ἤδη. ¶ Καὶ δὴ, ἐπὶ τοῦ ἤδη. ¶ Καὶ γάρ τοι, γιγαροῦν. ¶ Καὶ δῆμοι, καὶ δὴ ἐμοί.
Κ αίε, καὶ αὐτόν. ¶ Καὶ ἐν δαΐ, καὶ ἐν τῇ μάχῃ.
Κ αὶ ἐπιστείλας, ὠργίσθης ἢ ἐπιστείλας. ¶ Καιέτας, καλαμίνθη. βοιωτοί. ¶ Καὶ ἢ φησι, καθὼς λέγει.
Κ αικάσαι, καταγελάσαι. ¶ Καικίνης, ὁ καικίας ἄνεμος ἀπὸ τοῦ καΐκου ποταμοῦ. ¶ Καὶ κλάει, κατάζει. ¶ Καικύλιν, τὴν κεφαλήν. ¶ Καίτην, κτῆσις καὶ λεπτυνθῶ, συντρίψω. ¶ Καίλοις, οὐρανοῖς ῥωμαῖοι. ¶ Καὶ μάλα. καὶ λίαν. καὶ πάνυ.

Ἴχνος, σημεῖον ποδὸς, τύπος. ¶ Ἰχὼρ, αἷμα μετὰ
συμβεβηκὸς ἐμπύου σηπεδόνος. ¶ Ἴψ, εἶδος σκώλη
κος κρεατοφάγου. ¶ Ἴψαι, φθεῖραι, βλάψαι.
Ἴψαν, ἔβλαψαν, ἐμίσησαν. ¶ Ἴψαο, κατέβλαψας,
ἔφθειρας. ¶ Ἴψας, ὠδύνησας, καὶ τὰ ὅμοια.
Ἴψεται, βλάψει, κακώσει, ἐνοχλήσει, καὶ τὰ ὅμοια.
Ἴψεται, βλάψει. ¶ Ἰψόμενον, φθίνοντα.
Ἰψὸν, ἔγκισσον, βοιωτοί. ¶ Ἴψας, ἔβλαψας.
Ἴψον, δεσμωτήριον. ¶ Ἰῷ ἐνὶ, οἱ μὲν πάντες ἰῷ
ἐνὶ ἤματι, ἤγουν βέλει, ἴω, βαδίζω. ¶ Ἰὼ, ἡ δυνά
μις βοή. ¶ Ἰώγα, ἔγωγε βοιωτοί. ¶ Ἰωγὴ, σκέ
πη, ἡσυχία. φωνή. ποιὰ, βοὴ, αἰγιαλὸς, καταφυγή. ἀ
λεεινοτέρω ὑπ' ἰωγῇ, ἀείστεγχος σκέπη. ¶ Ἰωμὸς,
θόρυβος. ¶ Ἰωῇ, βέλει. ¶ Ἰωὴ, ἀποφορά. πνοή.
φωνή. αὐγή. ψυχή. καπνός. ὁρμή. κραυγή.
Ἰῷ ἤματι, ἐν τῇ αὐτῇ ἡμέρᾳ. ¶ Ἰωθὶς, ὀξυνθείς.
Ἰώθη, ὠξύνθη, ἐχολώθη. ¶ Ἰωκὰ, δίωξις ὁρμή.
Ἰωκάς. ὁρμάς. ἐδίωξας. ¶ Ἰὼ καλλιθύεσσα ἐκα
λεῖτο, ἡ πρώτη ἱέρεια τῆς ἀθηνᾶς.
Ἰωκὰν, πολέμου ἐπιφορὰν, καὶ παλινδίωκτον βοὴν, πό
λεμον. ¶ Ἰωκὴ, δίωξις μάχη βοή. ¶ Ἰωκαί,
διώξεις. ὁρμαί. ¶ Ἰῶλκα. αὔλακα. ¶ Ἰωλκὸς,
πόλις θετταλίας. ¶ Ἴωλον. μέλαν. ¶ Ἰωλία,
φήμη, δειλή. ¶ Ἴωμεν. βαδίσωμεν, πορευθῶμεν,
ἔλθωμεν. ¶ Ἰῷ ἐμῷ, ἤγουν ἐμῷ βέλει.
Ἰὼν, πορευόμενος, βαδίζων, συντόνως ἐλθών.
Ἴωνες, ἀθηναῖοι, οἱ ἴωνες ἀπὸ ἴωνος: καὶ οἱ ἀττικοὶ αὐ
τῶν, ἔνιοι καὶ τοὺς θρᾶκας καὶ ἀχαιοὺς καὶ βοιωτοὺς ἕλλη
νας, ζήτει ὄπισθεν. ¶ Ἰωνιά, ὥσπερ ῥοδωνιὰ λέ
γεται ὅπου τὰ ῥόδα φύονται, οὕτως καὶ ἰωνιὰ ὅπου
τὰ ἴα φύεται, καὶ ὄνομα πόρνης. ¶ Ἰωνίδης, ἀπὸ
δήμου, εἰσὶ γάρ τινες ἰωνίδαι φυλῆς αἰγηΐδος.
Ἰωνίδος, ἑλληνικῆς. ¶ Ἰωνικὸν, τρυφερὸν, ἤτοι τὸ
κατεαγότος καὶ θηλυκοῦ, ἐπεὶ τούτου τοῦ ἤθους ἐκωμῳδοῦντο
οἱ ἴωνες. ¶ Ἰωνὸς, ἰχθὺς ποιός. ¶ Ἰώνιος,
πέλαγος ὁ ἀδρίας. ¶ Ἴωξις, δίωξις. ¶ Ἰωπὶ,
δεῦρο λυδοί. ¶ Ἰωπέτρα, τὰ ἐν τοῖς ἱματίοις ση
μεῖα λάκωνες. ¶ Ἴωρος, τὸ ὀρεινὸν χωρίον καὶ τὸ
ὄρος καὶ οἶκος ἢ ὁ τούτου φύλαξ. ¶ Ἰῶτα. τὸ στοι
χεῖον κεραία καὶ γράμμα. ¶ Ἰωχμός. μάχη δίω
ξις διωγμός. θόρυβος. ὁρμή. κοπή. ¶ Ἴωψ, ἰχθὺς
ποιὸς παρὰ καλλιμάχῳ. ¶ Ἰῶ, θεράπευε, ἰάτρευε.
Ἰὼ, χάρις ἢ ἐχαρίσατο. ¶ Ἰωαθὰμ, ἰαὼ, συντέλεια.
Ἰωὴλ, ἀγαπητὸς κυρίου ἀρχή. ¶ Ἰωνᾶς, ἑρμηνεύεται
ὑψίστου πόνος ἢ περιστερὰ προφήτης παρ' ἑβραίοις.

ΑΡΧΗ ΤΟΥ Κ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Α.

Κααρτίας, βάτραχος. ¶ Καασκεύειον, πορμεῖ
ον. ¶ Καάσεται, ἄρχεται συρακούσιοι.
Κάακα, πεδιτέρεια. πλόκια. ¶ Κάβασος,
ἄπληστος, κάβος τὸ μέτρον σιτικόν. ¶ Καβάλλης,
ἐργάτης ἵππος. ¶ Καβαήλιον, καβάλλης, καὶ
ἡ πρώτη τοῦ τρικλίνου ῥιμὴ διὰ τὸ ἀνάκλιτον.

Καβάρνοι, οἱ τῆς δήμητρος ἱερεῖς ὡς πάριοι.
Καβάσι, κατάβηθι λάκωνες.
Κάββαλεν, κατέβαλε. ¶ Κάβλημα, περίζωμα λά
κωνες. ¶ Καββήρα, ἑορτὴ ἀγομένη. ¶ Καββιόρ
νοις, κατεσθίων. ¶ Κάβειροι, καρκῖνοι, πάνυ δὲ τι
μῶνται εἰς ἐν λήμνῳ ὡς θεοί, λέγονται δὲ εἶναι ἡ
φαίστου παῖδες. ¶ Κάβειος, νέος, πάριοι.
Κάβηλος, ὁ ἀπεσκολυμμένος τὸ αἰδοῖον, οἱ δὲ ὄνομα.
Κάβησος, πόλις θράκης, ἡ καὶ γάργαρος καὶ ἄπληστος.
Κάβηλος, πηλὸς πλεκτός. ¶ Καβλέει, καταπίνει.
Κάβις, σιτοχωρία, κάβις.
Κάβη, μάνδαλος τῶν θυρῶν πάφιοι. ¶ Κάβος,
μέτρον σιτικόν. καὶ οἰνικόν, οἱ δὲ ἀσπίδα. ¶ Καγα
θῦσαι, νεκροῖς θῦσαι. ¶ Κάγη, κάν. ¶ Καγκαί
νει, θάλπει, ξηραίνει. ¶ Κάγκανα, ξύλα, ξηρά, ἐλα
φρά. ¶ Καγκάλεα, κατακεκαυμένα.
Κάγκαλον, παρ' ἰνδοῖς ξύλον δάκρυον καὶ θυμίαμα.
Καγκὲς, ἄγγελος. ¶ Καγκομένης, ξηρᾶς ἤγουν φόβῳ.
Καγκύλας, κηκῖδας αἰολεῖς. ¶ Κάγχα: καταφυ
γάς, σαλμηροί. ¶ Καγχιλαί, χειμερινοί.
Καγχαλάα, χαίρει, γελᾷ, ἥδεται ἀπὸ τοῦ ἐν χαλάσμα
τι τὴν ψυχὴν ἔχειν. ¶ Καγχαλᾶν, χαίρειν, γαυρι
ᾶν. ¶ Καγχαλίζεται, χαίρει ἱλαρύνει.
Κάγχαλος, κρίκος ὁ ἐπὶ ταῖς θύραις σικελοί.
Καγχαλόωσα, χαίρουσα. ¶ Καγχαλῶ, χαλῶμαι
ὑπὸ χαρᾶς ἀνίεμαι. ¶ Καγχαλόων, γελῶν. χαί
ρων. ¶ Καγχαλόωσι, χαίρουσι, γελῶσιν.
Κάγχαμος, κισσὸς ὑπὸ κροτωνιατῶν. ¶ Κάγχερ
μοι, τὴν λόγχην ἄνω ἔχειν μακεδόνες. ¶ Καγ
χᾶται, γελᾷ ἀτάκτως. ¶ Καγχλάζει, ἀθρόως γε
λᾷ. ¶ Καδαλίων, κωλοβαθριστής. ¶ Κάδαλοι
κοιλώματα. κωλοβάθρια. ¶ Κάδαμος, τυφλὸς. σα
λαμίνιοι. ¶ Καδαρὸν, θολερόν. ¶ Καδδὲ κατὰ
δέ. ¶ Κὰδ δ' ἔθορε, κατεπήδησεν. ¶ Καδδίκειν. καὶ
λίαν. ¶ Κάδδιχον, ἡμίεκτον ἢ μέτρον, ᾧ οἱ τοῖς θε
οῖς θυόμενοι ἀρνοί, κάδδιχοι. ¶ Καδδίαθι, κάθισον.
Καδδ' εἶσε, κατεκάθισε. ¶ Καδδῦσαι, καταδῦσαι.
Καδδραθέτην, ἐκοιμηθήτην. ¶ Καδία, σαλαμίνιοι
ὑδρίαν, ἀττικοὶ δὲ κοιμηθῆναι. ¶ Καδίσκοι, σίπυα,
εἰς ἃ τὰ ἱερὰ ἐτίθεσαν. ἢ τὰ ἀγγεῖα εἰς ἃ τὰς ψή
φους ἔφερον. ¶ Κάδμειοι, οἱ πριωνεῖς ὡς ἑλλάνι
κος, ἢ οἱ θηβαῖοι, ἀπὸ κάδμου, τὴν δὲ νίκην τὴν καδ
μείαν ἀποδιδόασιν ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης, οἱ μὲν
ἐπεὶ ἐτεοκλῆς καὶ πολυνείκης μονομαχήσαντες περὶ
τῆς νίκης ἀμφότεροι ἀπώλοντο, οἱ δὲ ὅτι τῶν ἑπτὰ
ἐπὶ θήβας στρατευσαμένων πάντων ἀπολομένων,
οἱ υἱοὶ πάλιν ἐπιστρατεύσαντες εἷλον τὰς θήβας, ὡς
ἔχειν αὐτοῖς ἀλυσιτελῆ. ¶ Κάδμος, δόρυ λόφος
ἀσπὶς κρῆτες. ¶ Κάδος, κεράμιον. ¶ Κάδης,
ἁγιασμός. ¶ Κάδουσα, εἶδος σταφυλῆς.
Καδρακιές. καταφθιμές. ¶ Κάθιζον, κάθισον.
Κάθυρος, κάπρος ἄνορχις. ¶ Κάθεια, καλαμίνθη.
Κάειρα, καρίνη. ¶ Καμέτην, ἔκαμον. ¶ Κέκλετο,
κατεκελεύετο. ¶ Καθαρίσω, συντελέσω καὶ καθι
δρύσω παρὰ δὲ σοφοκλεῖ ἐκ τῶν ἐναντίων ἐπὶ τοῦ μιαί
νειν τέτακται. ¶ Καθάλη, καταβάλη.

Ἰστρεία, μητρῷα, καὶ τὰ ὅμοια. ¶ Ἰσόρκον, μύρου εἶδος. ¶ Ἱστός, τὸ ὀρθὸν ξύλον τῆς νεώς. καὶ τὸ ὑφαντικὸν ἀπὸ τοῦ ἑστάναι. καὶ νόσος. ¶ Ἴστραξ, ὄρνις ποιός.

Ἰστρίανα, ἀργυροφάνης ἐν βαβυλωνίοις τὰ μέτωπα τῶν οἰκετῶν, ἰστρίανα φησὶν ἐπεὶ ἐστιγμένοι εἰσίν. οἱ γὰρ δοῦλοι τῶν ἴστρων οἰκούντων, στίζονται καὶ ποικίλαις ἐσθῆσι χρῶνται. Διονύσιος δέ φησιν ἐπεὶ πρότερός τις ἰστριανὸς λέγεται ὁ λευκὸς κατὰ ἀντίφρασιν εἰρῆσθαι, ὡς καθαρὰ καὶ λευκὰ τὰ μέτωπα. τοὐναντίον δεῖ νοεῖσθαι ἐστιγμένα. ¶ Ἰστριανίδες. αἱ σκυθικαὶ στολαὶ καὶ παρὰ ἀθηναίοις σκεπάσματα, οἷς ἐκάλυπτον τὰ ἱερὰ κανᾶ. ¶ Ἰστρίδες, ἐσθῆτες τινὲς οὕτω λεγόμεναι. ¶ Ἴστρος, ποταμὸς ὁ καὶ δανούβιος.

Ἰστυάζει, ὀργίζεται. ¶ Ἰστυλὸν τὸ στυλίδιον.

Ἴστω, γινωσκέτω, γνωριζέτω. ¶ Ἵστωρ, συνειδὼς σοφὸς ἔμπειρος, μάρτυρος, οἰκοφύλαξ.

Ἰσφαίνει, μεριμνᾷ, ἀγωνιᾷ. ¶ Ἴσφατον, βίαιον πεπραγμένον. ¶ Ἴσφωρες, λησταὶ κλέπται λάκωνες.

Ἰσχάλειν, τὸ ὑπὸ τῆς πορείας πολὺ ἐφ' ἑκάτερα ἐκκλίνειν, ἢ ἐν τῷ ἑστάναι. ¶ Ἰσχάλεον, λεπτόν. ξηρόν. ἰνῶδες. ¶ Ἰσχανόν. ἰσχυρόν. ῥικνόν. ¶ Ἰσχαλεῦσαι θλάσαι. ¶ Ἰσχαλωμέναι, δεδερματωμέναι.

Ἰσχανάᾳ, ἐπιθυμεῖ ἢ ἰσχὺν ποιεῖ κατέχει, κρατεῖ. κωλύει. ¶ Ἰσχανάασθαι, ἀπέχεσθαι καὶ τὰ ὅμοια. ¶ Ἰσχανέονται, κατέχονται. ἐπιθυμοῦνται, κωλύονται καὶ τὰ ὅμοια. ¶ Ἴσχανον, ἐκώλυον καὶ τὰ ὅμοια.

Ἰσχανόωντο, κατέχοντο, ἐκωλύοντο. ¶ Ἴσχε, κάτεχε. κράτει. ¶ Ἴσχειν, κατέχειν, κρατεῖν. ¶ Ἴσχεο, ἀπέχου, ἀνάσχου κάτεχε. κώλυε. παῦε. ¶ Ἰσχερῷ, ἑξῆς. ¶ Ἴσχεσθαι, παύεσθαι. ¶ Ἴσχεται. ἐπίσχεται. ¶ Ἴσχις, ὀσφύς. ¶ Ἰσχία, τὰ ὑποκάτω τῶν μηρῶν ἢ τὰ κοῖλα τῶν γλουτῶν ἐν ᾧ ἡ κοτύλη στρέφεται. ¶ Ἰσχνᾶς, λεπτῶς, ξηρῶς. ¶ Ἰσχναλέον λεπτόν. ξηρόν. ¶ Ἰσχνεύειν, ὑφᾶναι, θλάσαι.

Ἰσχνῆς, λεπτῆς, ξηρᾶς. ¶ Ἰσχνίδες, ἄγκυραι, ἰσχάδες καὶ φιλόματος εἶδος. ¶ Ἰσχνομυθία, λεπτολογία.

Ἰσχνομυθούντων, λεπτολογούντων, ἀκριβολογούντων.

Ἰσχνόφωνος, λεπτόφωνος ἀπεχόμενος τὴν φωνήν.

Ἰσχνός, λεπτός, δυσθεώρητος. ¶ Ἰσχυρίζεται, βεβαιοῦται. ¶ Ἰσχυρόν, στιβαρὸν παχὺ βέβαιον.

Ἰσχύς, δύναμις, καὶ μύρμηξ. ¶ Ἴσως, τάχα.

Ἰταβύριον, ὄρος, ἔχον πηγὴν μίαν ὅθεν τὰ θηρία πίνει, ἔστι δὲ εἰς τὴν γαλιλαίαν ἐν ἰουδαίᾳ. ¶ Ἰτέα, εἶδος δένδρου καὶ δῆμος φυλῆς ἀκαμαντίδος.

Ἰταῖος. ὁ ἄδωνις. ¶ Ἴταλα, ἱστία, εἰς ἃ τὰ ἱστία διατείνουσιν. ¶ Ἰταλός, ῥωμαῖος, ταῦρος.

Ἰταλιάζειν, ἐν ἰταλίᾳ διατρίβειν διαμένον. ¶ Ἰταλιώτης, οὐδ᾽ ἰταλιώτης οὐδ᾽ ἀλαζὼν οὐδαμῶς, ἐπεὶ οἱ πυθαγορικοὶ ἐν ἰταλίᾳ διέτριβον ἔνθα φασὶν αὐτοὺς καὶ ἐμπνευσθῆναι. ¶ Ἰταμός, θρασύς, αὐθέχωρος, ἰσχυρός. ¶ Ἴτας, ὅρκος, καὶ ὁ ἀναιδής.

Ἴτω. πορευέσθω. ¶ Ἴτε, πορεύεσθε. ¶ Ἰτέον, πορευτέον. ¶ Ἰτέαι, αἱ ἀσπίδες διὰ τὸ πρώτας ἐκ ταύτης τῆς ὕλης κατασκευασθῆναι. ¶ Ἴτη, σεισμὸς ῥοῖζος. ¶ Ἴτηλον. τὸ ἔμμονον καὶ οὐκ ἐξίτηλον, αἰσχύλος γλαύκῳ ποτνιεῖ. ¶ Ἴτην, ἐπορευόμην

τὸ δυϊκῶς. ¶ Ἴτης, ἰταμός. θρασὺς ἰσχυρὸς. ἢ ἴστωρ καὶ ἐπιστήμων. ¶ Ἴτθαι, καθίσαι. ¶ Ἰτθίλαν διφθέραν. ¶ Ἴτλαι, οἷς τείνονται τὰς ὠὰς τῆς ὑφῆς νομίζω μοχλεῖς. οἱ δὲ τοὺς μίτους. ¶ Ἰτρία, λεπτὰ πλάσματα, ἢ κατὰ πυρώδη πλάσματα, ὃ τὰ ὑπογάστρια πέμματά τε καὶ τραγήματα. ¶ Ἴτριον, εὐσία. ὀλεῖοι. ¶ Ἴτρον, ἐν κρητῶν. ¶ Ἴτυγα, ἐκλεκτικὰ αἰσχύλος. ¶ Ἶτυλος, μόνος ὀρφανός. νέος, ἁπαλός. ¶ Ἴτυς, ὁ ἐσχάτη ἁψὶς ὁ περιφέρεια τῆς ἀσπίδος καὶ τοῦ τροχοῦ καὶ παντὸς περιφεροῦς τὸ τελευταῖον μέρος. ¶ Ἴτω, ἴστω, γενέσθω, πορευέσθω, ἀποχωρείτω. ¶ Ἰτωνία, ἀθηνᾶ ἐν βοιωτίᾳ.

Ἰυγγίης, ὁ διόνυσος. ¶ Ἴυγγι, ἐπιθυμίᾳ. ¶ Ἰυγγοδρομεῖν. ἐκβοηθεῖν. βοιωτοί. ¶ Ἰυγή. φωνή. κραυγή. βοή. ¶ Ἰυγμός, τὰ τοιαῦτα καὶ αὐτά. ¶ Ἰυγκτὸν, τυρόν. ¶ Ἰυγμῶνται, ποιὰ φωνή. ¶ Ἴυγξ, φίλτρον ἀπὸ ἴυγγος τοῦ ὀρνέου. τὸ γὰρ ὄρνεον τοῦτο φασὶν εἶναι ἐπιτήδειον εἰς τὰς μαγγανείας. καλεῖται δὲ καὶ κιναίδιον, φασὶ δὲ καὶ ἀφροδίτην αὐτῷ χρήσασθαι, ἀπὸ δὲ τοῦ ὀρνέου καὶ τὰ κατασκευαζόμενα εἰς ἔρωτας ἴυγγας καλοῦσιν. ¶ Ἰύζει. κραυγάζει, βοᾷ, φωνεῖ.

Ἴυκες, αἶγες ἄγριαι ὑστριχίδες. ¶ Ἰυχμῷ.

Ἰωχμῷ, ἰαχῇ, φωνῇ. ¶ Ἴφι, ἰσχυρῶς, μεγάλως.

Ἰφθίμα, ἀγαθά. ἰσχυρὰ μεγάλα. ¶ Ἰσχυρόψυχος ἀνδρεία. ¶ Ἶφι, ἰσχυρῶς. ¶ Ἴφια μῆλα, μῆλα ἰσχυρά. ἀπὸ τοῦ ἱέναι σφοδρῶς ἢ σκιρτᾶν. ¶ Ἰφίαλος, ὁ ἐφιάλτης. ¶ Ἰφιάνασσαν, οἱ νεώτεροι, ταύτην ἰφιγένειαν λέγουσιν. ¶ Ἰφιάσται, δῆμος τῆς ἀκαμαντίδος φυλῆς. ¶ Ἰφιγένεια, ἡ ἄρτεμις.

Ἰφικρατίδες, ὑποδημάτων εἶδος. ¶ Ἴφικλος, δυσχερής. ¶ Ἰφίν, καλόν. ¶ Ἰφιντάν, κρυφὰ λαλοῦσαν αἰνιγματωδῶς. ¶ Ἴφιον, λιπαρόν.

Ἶφις, ταχύς. ¶ Ἰφίστιος. ἥρως τις ἀθηναῖος ἀφ' οὗ καὶ δῆμος ἰφιστιάδαι. ¶ Ἰφίτην, ἀγνίτην.

Ἴφλημα. θαῦμα. ¶ Ἴφυα, ἡ λυχνίς. ἄνθος, ἔνιοι λάχανον, ὃ ὑμεῖς λαβαντίδα καλοῦμεν. οἱ δὲ, ἄνθη, ἄγρια τῶν σπειρομένων. ¶ Ἰχανᾷ, ἐπιθυμεῖ.

Ἰχανάαν, ἐπιθυμεῖν, γλίχεσθαι θέλειν ὀρέγεσθαι.

Ἰχανόων, ἀσθμαίνων. πυδυσιῶν, ἐπιθυμῶν γλιχόμενος.

Ἰχανῶν, ἐπιθυμῶν. ¶ Ἰχανῶσα, ἐπιθυμοῦσα.

Ἰχανῶ, ἐπιθυμῶ. ¶ Ἰχθυᾶται. ἁλιεύει.

Ἰχθυοβολεύς, ἁλιεύς. ¶ Ἰχθυάα, ἰχθύας ἁλιεύει.

Ἰχθυοτρόφον. ἰχθυόεν, ἰχθῦν ἔχον.

Ἰχθυόκεντρον, τρίαιναν. ¶ Ἰχθυολκός. ἁλιεύς.

Ἰχθυονώρων, ἰχθυαγοροί. ¶ Ἰχθυοπώλης, ἰσχάρα.

Ἰχθῦς, ἀττικοὶ τὰ ἰχθυοπωλεῖα οὕτως ἔλεγον.

Ἴχθον, ἄστρον, ἐγχειρίδιον. ξυλοφάνιον. ¶ Ἴχλα, κίχλα. ¶ Ἰχάλο, ὁ πάγρος ἐσκευασμένος ἰχθῦς, ἢ κίχλη τὸ ὄρνεον. ¶ Ἴχματα, ἴχνια. ¶ Ἴχνια, ὑποδήματα. σημεῖα. ¶ Ἰχνᾶται, ἰχνοσκοπεῖ.

Ἰχναίην, χώραν τὴν μακεδονίαν ἔνθα τὸ μαντεῖον ὁ ἀπόλλων κατέσχε, καὶ τιμᾶται. ¶ Ἰχναίη, θέμις.

Ἰχνεύει, ἐρευνᾷ ζητεῖ. ¶ Ἰχνευταί, οἱ νῦν ἰχνεύμονες λεγόμενοι. ¶ Ἰχνηλατῆσαι, ἐκ τῶν ἰχνῶν ζητῆσαί τινά. ψηλαφῆσαι ἢ τὰ ἴχνη ἐλάσαι.

Ἴχιπος, ὅπου οἱ λίθοι τρίβονται. ἀκόνη.

Ἶρισ. ἡ θεόσ. ἄγγελοσ, καὶ ἡ ἐν οὐρανῷ ζώνη. καὶ ἡ ἔρισ καὶ φήμη. καὶ τὸ πάνου τί εἶδος. καὶ τοῦ ὀφθαλμοῦ ὁ περὶ τὴν κόρην κύκλοσ. καὶ τῶν λίθων τὶσ κρυσταλλώδησ, καὶ ἀρωματική τισ πόα.

Ἴρισι. ταῖς ἴρισι ταῖς φαινομέναις ἐν τῷ οὐρανῷ.

Ἴριττον, ἐκωλύοντο. ¶ Ἱρμὸς, ἀκολουθία.

Ἰρμοσάμην ἐνυμφευσάμην. ¶ Ἶρος, ἀπαγγέλος, πτωχὸς πένησ γυμνὸσ μηδὲν ἔχων. ¶ Ἶροσ, ἄιροσ ὁ ἀτυχὴσ ἶροσ. ¶ Ἶροσ, ἀλείτησ. ἶροσ πένης ἐκ πλάνησ περιφόμενος. ¶ Ἰρῶ, ἐρῶ, λέγω. ¶ Ἰρῶν, εὐχῶν. ¶ Ἰρωνεία, ὑπόκρισις.

Ἰρῶς. θεοπρεπῶς.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Σ.

Ἴς, ἰσχύς. δύναμις. νεῦρα. βία. ¶ Ἴσα, ἅλισ θάλασσα. οἱ δὲ, ἀπαθῶς. καὶ ἴση μοῖρα. ¶ Ἰσάζων ἴσον ποιῶν ὀχούμενος. ¶ Ἰσακία, μερίς.

Ἰσακίω, αὐθαιρέτω. ¶ Ἴσαι, ψῆφοι. ἀπελύοντο οἱ διωκόμενοι ἐν τοῖς δικαστηρίοις ἴσων γενομένων ψήφων

Ἴσαμι, ἐπίσταμαι, συρακούσιοι. ¶ Ἰσάμμορος, ἰσόμορος. ¶ Ἴσαν. ἐπορεύοντο. ᾔδεσαν. ¶ Ἰσάναν, ἰσάνιον ῥητίνην. ¶ Ἴσασιν. οἴδασιν, γινώσκουσι. πορεύονται. ¶ Ἴσατο, ὁμοιώθη. ¶ Ἰσάσιον, γνωστόν. ἰσίον. ¶ Ἴση μοῖρα ἡ τῇ αὐτῇ ὁμοία.

Ἰσηγορεῖ. ἐφ᾽ ἴσης λέγει, ὁμοτίμως ἰσολεγεῖ.

Ἰσηγορεῖ, ἴσοι ἰσάζει. ¶ Ἰσηγορία, ἰσολογία. ¶ Ἰσημοίρα. ἀγαθὴ μερὶς καὶ κύριον ὄνομα ἡ τοῦ ἡλίου γυνή.

Ἰσήμορτεν, ἀπέθανεν. ¶ Ἴσθι, γίνωσκε. γνῶθι ἐπίστασο. ¶ Ἴσθι, γινώσκων ἔσο. γίνωσκε. ¶ Ἰσθλή, αἰγία μηλωτὴ ἀμοιβίς. ¶ Ἰσθμιάσι. προοιμία ἐστὶ κακοῦ βίου. ἐπίνοσος γὰρ ὁ καιρὸς ἐν ᾧ τὰ ἴσθμια ἄγεται. ¶ Ἴσθμα, ἄσθμα καὶ κόσμιον περὶ τράχηλον. ¶ Ἰσθμαίνοντα. ἀγωνιῶντα, ἀσθενοῦντα.

Ἰσθμαίνων, ἀσθμαίνων, φροντίζων, αἰκιζόμενος

Ἴσθμια, περιτραχήλια. ¶ Ἴσθμια καὶ πύθια, πανηγύρεων ὀνόματα. ¶ Ἰσθμίον, περιτραχήλιον κόσμημα περιστόμιον καὶ γῆς στενὰ μεταξὺ δύο θαλασσῶν, ὅθεν λέγονται τὰ τοῦ ἀνθρώπου περὶ ἴσθμια, μεταξὺ ὂν τῆς κεφαλῆς καὶ κοιλίας. αὐχήν τε καὶ τράχηλος καὶ στενὸν χωρίον μεταξὺ δύο θαλασσῶν.

Ἴσθι, γνῶθι. ¶ Ἰστέον, πορευτέον. ¶ Ἴσκε, εἴκαζε. ὁμοίου. ¶* Ἰσκνή, καθίνη. ¶ Ἴσον, ἴσον. ἄμεινον, μεῖζον. ¶ Ἴσος, ἔνιοι ὀμνύντες τὴν ἴσην ἀντὶ ἑτοίμου ἐνόσουν. ὅθεν ὁ Φιλήμων διὰ τὸ συνεχὲς τῆς νόσου ἐχρήσατο τῇ λέξει. ¶ Ἰσκάνδιον, σαλπίγγιον. ¶ Ἰσκανδῶν, σαλπιγγωτόν. ¶ Ἴσκεν ἐφιεῖς* τόπον οἰκίαν ἔχοντα. ¶ Ἴσκλαι, κίχλαι, καὶ αἱ αἶγες αἱ μολῶται. ¶ Ἰσκὸς, κλέπτης. ¶ Ἴσκω εἰκάζω, ὁμοιῶ. ¶ Ἴσμα, ἵδρυμα, κτίσμα.

Ἰσμαίνει, ἀναψύχει. ὄζει, ἀποψύχει. ¶ Ἴσμαρος. πόλις θράκης ἡ νῦν μαρώνεια. ¶ Ἴσμασιν, ἀναψύξασιν. ¶ Ἴσμερα, τάξις τῶν καθαρμῶν. ¶ Ἴσμη, πρόφασις. σύνεσις, φρόνησις. ¶ Ἰσμῆναι, θῆκαι, ἀκόλουθοι. ¶ Ἰσμένιος, ὁ ἀπόλλων. ¶ Ἰσμῆνος ποταμός. ¶ Ἰσόβοιον, ἄνθος, ὅμοιον μήκωνι.

Ἰσοβόλων, ἰσοτασίων, ἔνιοι δὲ διπλῶν. ¶ Ἰσοδέτης, ἀπὸ ἐνίων ὁ πλούτων. ὑπὸ δὲ ἄλλων ὁ πλούτωνος υἱός. ¶ Ἰσοδαίτησ, ὁ σίτου κοινωνός. ¶ Ἰσοζύγιον, ἴσον ζυγῷ αὐτῷ ἰσηκον. ¶ Ἰσόθεος, ψυχὴ ἀθάνατος. ¶ Ἰσόκεν, ἕως ἄν. ¶ Ἰσόκελον, καὶ ἰσοκλῶ. ἰσόρροπον. ¶ Ἴσομαι, ἐξίσομαι. γνώσομαι.

Ἰσόκτιστον. ἴσον κατεσκευασμένον. ¶ Ἰσομάτωρ, ὁ τῇ δήμητρι ἴσος. κριτῶν. ¶ Ἰσομοιροῖ, ἰσάζοιεν, μερίζοιεν. ὁ μερίζεται καὶ ἰσότητα διὰ ἴσου ἔχει.

Ἰσομοιροίη, ἰσάζοιεν. ¶ Ἰσομόρω, ἰσομοίρω.

Ἰσομυθοῦντες, ἀντιβολοῦντες. ¶ Ἴσον, ὅμοιον, καλόν. ¶ Ἶσον ἐμοὶ φάσθαι, ἴσον ἐμοὶ εἰπεῖν.

Ἶσον ἔχω γέρας, ἴσην τιμὴν ἔχω. ¶ Ἰσονία. ἰσοτιμία. ¶ Ἰσονόμον, ἰσομερές. ¶ Ἴσονται. ἱδρύσονται, πορεύσονται. ¶ Ἴσοξ, ἰχθῦς ποιὸς κοιτώδης. ¶ Ἰσοπαλεῖς, ἐς ἴσον ἐμμένοντες ἴσοις.

Ἰσοπάλη, ἴσος ἐν κλήρῳ πάλος. ¶ Ἰσόπαλοι, ἴσοι.

Ἰσόπεδον, ἴσον τῇ γῇ. ὁμαλὸν ἔδαφος. ἰσόχωρον.

Ἰσοπέλεθρον, μέγα ἰσομήκες. ¶ Ἰσόπεδοι, ἰσότιμοι.

Ἰσόρροπον. ἰσοβαρές. ἴσον ἐκ μεταφορᾶς τῶν μὴ ῥεπόντων ζυγῶν. καὶ ἰσόσταθμον ἢ ὅμοιον. ¶ Ἰσοσθενής, ἰσοδύναμον. ¶ Ἰσοσμοσις, συνωμοσία. ¶ Ἰσόσταθμος, ἴσος σταθμός. ¶ Ἰσοστάσιον, ἴσον τῷ σταθμῷ.

Ἰσόστασις, μύρον, ὁ στακτὴ ἢ σμύρνα. ¶ Ἰσοστάσιος, ἴσος χρυσῷ κατὰ ὁλκὴν τίμιος. ¶ Ἰσοτάλαντον, ἰσόζυγον. ¶ Ἰσοτέλεια, ἰσοτελεῖς μέτοικοι. ἴσα τοῖς ἀστοῖς τέλη διδόντες. ¶ Ἰσοτελής, ὁ ἐξελεύθερος καὶ μετέχων τῶν νόμων. μετοίκιον δὲ οὐ φέρων.

Ἰσότης, φιλότης διὰ τὸ ἰσότητι τὴν φιλίαν ἐπιδεῖσθαι.

Ἰσουργά, ἴσα ἐν ἔργοις ἴσα ἐργαζόμενα. ¶ Ἰσοῦται, ὁμοιοῦται. ¶ Ἰσοφαρίζειν, ἰσοῦσθαι διὰ ἴσου τινὶ φέρεσθαι. ¶ Ἰσοφαρίζοι, ἐξισοῖεν. ¶ Ἰσοφόροι, ἴσον ἔχοντες κατ᾽ ἴσον ἕλκοντες. ¶ Ἰσοφυᾶ, ἴσα.

Ἴσσα, ἡ λέσβος τὸ πρότερον. ¶ Ἴσσασθαι, κληροῦσθαι λέσβιοι. ¶ Ἰσσέλα, διφθέρα. ¶ Ἴσσος, γαλήνη. ¶ Ἰσσωρία. ἡ ἄρτεμις καὶ ἑορτὴ καὶ τόπος ἐν σπάρτῃ. ¶ Ἴστακη, δρέπανον βοιωτοί.

Ἱστάμεθα, ἀνιζόμεθα. ¶ Ἱσταμένοιο, ἐνεστῶτος ἢ ἀρχομένου. ¶ Ἱστάνειν, ἀνιζειν. ¶ Ἵστασκεν, ἵστατο. ἔστη. ¶ Ἵστασθαι, ἀνίζεσθαι. ¶ Ἵστασο αἰγιρέουσι. ¶ Ἴστε, γινώσκετε. οἴδατε. ¶ Ἱστέον, γνωστέον, πορευτέον.

Ἱστίων, ἱστῶν. ¶ Ἱστιῶ, ἐξισῶ. ¶ Ἵστημι, ἐξίστημι.

Ἵστην, ἐπορεύοντο. ¶ Ἱστὴρ, σφύρα. ¶ Ἱστία, ἐσχάρα, καὶ τὰ ἄρμενα τῆς νηός. ¶ Ἱστία, ἡ ὑφαίνουσα γυνή καὶ οἰκία καὶ δεῖπνον. ¶ Ἱστιάρρες, οἱ δειπνίζοντες. ¶ Ἱστιρεία, δειπνητήριον

Ἱστινος, εὔπους. ¶ Ἱστίον, ἄρμενον. ¶ Ἱστιοφόρος, ἀρμενοφόρος καὶ ἱστοφόρος. ¶ Ἱστοβοεύς, δεσμὸς ζυγοῦ ἐν τῷ ἀρότρῳ ἄλλοι δὲ μόρος αὐτοῦ ὅπερ ἐστὶν ὀρθὸν ἑστὼς ὥσπερ ἱστός. ¶ Ἱστοδόκη. ἰσοθήκη. ἡ διὰ μέσου νεὼς φράγμα εἰς ὃ κατακλιόμενος ὁ ἱστὸς ἐντίθεται. ¶ Ἱστὸν ἐποιχομένην. ὑφαίνουσαν, ὀρθαὶ γὰρ ὕφαινον. ¶ Ἱστοπέδη, ξύλον ὀρθὸν ἐστὶ δι᾽ ὃ βασταζόμενον προσδέδεται ὁ ἱστός. ¶ Ἵστορας, ἐμπείρους μάρτυρας συνετούς. συνθηκοφύλακας ἐρωτῶσ. ¶ Ἱστορεῖ. μαρτυρεῖ, μυθεύει. ἐρωτᾷ ἐρᾷ. πυθάνεται. ἀναλέγει. ὁρᾷ.

Ἵππειον, τὸ ἄρεος, ἀπὸ ἵππης τῆς ἀμαζόνος.

Ἵππειος δρόμος, τετρασκελὸς τις.

Ἵππειος ποσειδῶν, φυσικῶς φασί. διὰ τὸ λέγειν τοῦτον· αἴθαλος ἵπποι αἰθέρι γίνονται κατὰ τὸν μῦθον, ὁ ὅτε ἵπποις ἐγίννησε ποσειδῶν. ἀρίωνα φασὶν πήγασον. ¶ Ἵππερον, ἱππικῆς ἔρωτα.

Ἱππετοῦμαι, ἀγώνισμαι λάκωνες. ¶ Ἱππεῖς, φυγάς, καὶ εἶδος κοροσκομίου, ἐν ᾧ ὤθει ἱππικῆς ἐπιστήμων, ἱππεῖς δ' ὀλίγον μετεκίαθον, οἱ δὲ ἱππεῖς μετ' ὀλίγον ἐπρεύοντο καὶ χολαίως μετὰ τῶν πεζῶν.

Ἱππέως ἀναβάτου, ἐπιβάτου. ¶ Ἱππέλατος, ἵππον ἐλαύνων, ἱππικὸς φυγάς, ἱππικώτατος, εὔδρομος πλατεῖα ὁδὸς καὶ λεία εὐρύχωρος καὶ ἡ μεμαλαγμένη. ¶ Ἱππημολγῶν, ἵπποις ἐλαυνόντων, ἢ ἀμελγόντων διὰ τὸ τροφῇ χρῆσθαι τῷ γάλακτι.

Ἱππῆς, ἱππεῖς, ἀλλ' εἰσὶν ἱππεῖς, ἄνδρες ἀγαθοὶ χίλιοι σύστημα πολεμικῶν ἀνδρῶν χιλίων ἵπποις ζεφόρων, λέγονται καὶ μύρμηκες οὕτως, φιλόχορος δέ, ἐν τετάρτῳ εἴρηκε, ὅτε κατεστάθησαν χίλιοι. διάφορα γὰρ ἦν ἱππέων πλήθη κατὰ χρόνον ἀθηναίοις.

Ἱππία, ἀρσινόη ἡ τοῦ φιλαδέλφου γυνή. ¶ Ἱππίδιον, ἰχθῦς ποιός. ¶ Ἱππικὴ βάσις, ἡ νευρὰ τοῦ τόξου διὰ τὸ ἐξ ἱππείων γίνεσθαι τριχῶν. οἱ δέ, θώμιγγα νευρῶν ἱππικὴν καλοῦσιν. ¶ Ἱππικὸν τέρμα, ὁ καμπτήρ. ¶ Ἱππικὸν χλῖδος, ἴσον ἀπαμέμνονι, ἀντὶ τοῦ χλίδημα, φόρημα. οἱ δὲ ἐπιχεόμενοι τοῖς ἵπποις ἐχρῶντο κόσμου χάριν, πλατέσι χιτῶσιν ἃς καὶ λὰς εἰεμδας ἢ ξυστίδας τινὲς λέγουσιν. ¶ Ἱππικὸν, τὸ στάδιον. ¶ Ἱππιοχάρμης, ὁ ἐφ' ἵπποις χαίρων ἢ μαχόμενος. χάρμη γὰρ ἡ μετὰ χαρᾶς μάχη.

Ἱππίσκος, ἐπίθημα κεφαλῆς ὁ γυναικεῖον κόσμιον.

Ἱππίτας, ἱπποφορβός. ¶ Ἱπποβάτης, ἱππεύς.

Ἱπποβάριο, ἱππικοῦ. ¶ Ἱππόβοτον, ἵπποις βόσκειν δυνάμενον. μεγαλόβοτον καὶ εὔγειον, τὸ γὰρ ἵππος ὄνομα ἀντὶ τοῦ μεγάλου τίθεται. ¶ Ἱπποβουκόλοις τοῖς ἵπποις νέμοντας. ¶ Ἱππογνώμων, ἵπποις διαγινώσκων ἐγκύοις ἡμᾶς. ¶ Ἱπποδαμάντιος, οἶνος ποιὸς ἐν κυζίκῳ. ¶ Ἱπποδάμεια, ὁ βρισηὶς καὶ ἀφροδίτη. ¶ Ἱπποδάμνεων, ἐφίππων.

Ἱππόδαμοι, ἔφιπποι ὁ πολεμικαστὴς ὁ ἵπποις ἐλαύνοντες. ¶ Ἱππόδαμος, νέμησις, τὸν πειραιᾶ ἱππόδαμος. εὐρυβόοντος παῖς, ὁ καὶ μετεωρολόγος, διεῖλεν ἀθηναίοις. οὗτος δὲ ἦν ὁ μερικόπτας εἰς σκετοεικοῖς μιλήσιος ὤν. ¶ Ἱπποδασείης, ἵππειον λόφον ἐχούσης τρίχας. ¶ Ἱππολίτης, ἡρακλῆς ὁ ἐν ὀγχηστῷ τιμώμενος, οἱ δὲ ἐν θήβαις. ¶ Ἱπποδιώκτας, ἡνιόχοις. ¶ Ἱππόδρομος, ἀγὼν ἀθήνησι θησεῖ ἀγόμενος. ¶ Ἱπποζώνη, ἡ τοῖς ἵπποις θηλάσσε. ¶ Ἱππόθοος, ἱπποδιώκτης. ¶ Ἱππόθορος, ὄνος, ἵπποις βιβάζων. ¶ Ἱπποθορονόμην, τὴν μεγάλην εὐωχίαν. ¶ Ἱπποθοώντειον, τὸ τοῦ ἱπποθόοντος ἡρῷον. ἦν δὲ υἱὸς ποσειδῶνος.

Ἱππόκαμπος, στρουθίον τι. ¶ Ἱπποκαμπάς, ὕλην λίαν μεγάλην. ἱπποκε* λεκεμμένην. οἱ δὲ ζῶον.

Ἱπποκέλευθος, ἵπποις κελεύων ἱππεύειν, ἢ ὁ πολλὴν ὁδὸν πορευόμενος. ¶ Ἱπποκένταυρος, ἱππόμορφος ἄνθρωπος. ¶ Ἱπποκλείδης, οὕτω κακοχόλως τὸ ἐπὶ γυναικὸς μόριον ἀριστοφάνης εἶπεν.

Ἱππόκομον, ζυφάλειαν διὰ ἱππείων τριχῶν τὸν λόφον ἔχουσαν. ¶ Ἱπποκορυστά. ἵπποις ὁπλίζοντες ἱππικοί. ¶ Ἱπποκόρυστοι, ἐν ταῖς περικεφαλαίαις τρίχας ἵππων ἔχοντες ἱππόμαχοι ἀπὸ τῆς κόρυθος ἐπὶ ἱππούρεις. ¶ Ἱπποκρατεία, τὸ τοῖς ἵπποις νικᾶν. ¶ Ἱπποκόμος, ἥρωος. ¶ Ἱππολάμπρα, τὰς τριχίνας σειράς, πάρθοι οὕτω καλοῦσιν. ¶ Ἱππολεύστρας, ἔνθα τοῖς ἵπποις ἀπένιζον.

Ἱππομανές, τούτῳ χρῶνται πρὸς τὰ φίλτρα αἱ φαρμακίδες. ¶ Ἵππον, τὸ μόριον, καὶ τὸ τῆς γυναικὸς καὶ τοῦ ἀνδρός. καὶ τὸν μέγαν θαλάσσιον ἰχθύν.

Ἱππόνομα, μισθὸς ἱππικὸς καὶ τῶν ἡμιόνων.

Ἱπποπόλων, τῶν ἡνιοχούντων ὁ ἐφ' ἵπποις πολουμένων, ὁ περὶ ἵπποις ἀναστρεφομένων ἱππικῶν.

Ἱππόπορις, τόν τε ἵππον, καὶ τὸν τετράχαλκον καὶ τὸ* ὄρνις τὸ στῆθος λάκωνες. ¶ Ἱππόποις κοιλάς, αὐλή. δῶμα. ¶ Ἱππόεργον, ἱππάστρα. ¶ Ἵππος, λιμηρὸς ὄλεθρος. μάστιξ. ¶ Ἱππόσυνα, τὸ ἱππεύειν. ¶ Ἱπποσύνῃσι, ταῖς ἱππικαῖς ἐμπειρίαις.

Ἱππότα, ἱππότης. ἱππικός. οἱ δὲ νεώτεροι φυγάς, οὐκ εὐκαίριον γὰρ ἐπιστήμων ἱππικῆς, ἱππικώτερος, ἀλλ' οἱ ἱππηλάτης. ¶ Ἱπποτάδης. ἱππότου υἱός.

Ἱπποτακτικά. ἵππων τάξεις μισθοφόρων. ¶ Ἱππόδαμος, ἵπποις δαμάζων. ¶ Ἱππουκρήνης τῆς ἐν τῷ ἑλικῶνι. ἥτις ὠνομάσθη ἀπὸ τοῦ πηγάσου ἵππου, ὃς διψήσας ἔκρουσε τὴν γῆν τῇ ὁπλῇ. ὁ δὲ τὴν πηγὴν ἀνῆκεν, ὡς ἡσίοδος ἐν τῇ θεογονίᾳ. ¶ Ἱππότας, ἱππεύς.

Ἱππούμεθα, πιεζόμεθα. ¶ Ἱππούμενος, πιεζόμενος ἢ τὸ ἐμπίπτον ξύλον τοῖς μυσίν. ¶ Ἱππουρεις, ἱππείαις θριξὶ κεκοσμημένη, ἡ τὸν λόφον ἔχουσα περικεφαλαία τοιαύτη κατεσκευασμένη. ἢ πάσας εἴδη

Ἵππου ζυγός. τοῖς γεγρακόσιν ἵπποις ἐχάραττον S τὴν γνάθον σημεῖον. ζυγοῦ σχῆμα ἔχον, ἐκαλεῖτο δὲ καὶ τετράσπιον. ¶ Ἱπποφορβός, ἱπποβοσκός.

Ἱπποφόρβιον, καπίστριον, ἢ ἀγέλη ἵππων.

Ἱππιοχαίτην, διὰ ἱππείων τριχῶν. ¶ Ἵππα, ὁ δρομοκόλαξ ἑνικῶς καὶ ἥρα. ¶ Ἵπταται, πέταται.

Ἱπνία, σπινά. ¶ Ἵπφαρμος, ἀρχή τις.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Ρ:

Ἱρά, θύματα, συνέδρια, τιμαί, θυσίαι, θαύματα. ¶ Ἵρανες, οἱ εἴρωνες, οἱ ἄρχοντες ἢ λικώται, δοκοῦντες. ¶ Ἱράων, ἐκκλησιάζων, ἀπὸ τοῦ ἐν αὐταῖς εἴρειν, ὅ ἐστι λέγειν. ¶ Ἱεροδουλεῖαν, οἱ δὲ, ἱερεῖον, διὰ τὸ κωλύεσθαι τοῖς δούλοις λέγειν. ¶ Ἵρες, λόποι. ἴρεασιν, ἐοικότες τῷ χρώματι, ἀλλ' οὐ τῷ σχήματι, ὅλοι γὰρ εἰσὶ συνεστραμμένοι.

Ἱρεύει, μαγειρεύει, λέγει. ¶ Ἱρεύς, ἱερεύς.

Ἱρεῖν, λέγειν, καὶ εἴρειν δὲ ἀπὸ τούτου. ¶ Ἵρεται, ὁ εἴρεται, συνάπτεται. ¶ Ἵρη, ἵρα, ἐρώτησις.

Ἵρηκος, ἱέρακος. ¶ Ἱρηξ. ἱέραξ. ¶ Ἱρότειρα. ἱέρεια, θύτις. ¶ Ἱειχάν, ἵππος οἰνωπὸς χρώματι.

Ἰείνες, μελλέφηβοι. ¶ Ἵελον, ζάγγος κειός.

Ἰνίκινος, οἶνος, ἀπὸ Ἰνικοῦ τῆς Σικελίας· ἔστι δὲ πολύ-
χρονος, εὔοσμος. ¶ Ἰνυνία, ἑορτὴ ἐν Λήμνῳ.
Ἴνυξ, ὄρνεόν τι ᾧ χρῶνται αἱ φαρμακίδες.
Ἰνύρεσθαι, ἐμύρεσθαι. ¶ Ἰνύεσθαι, κοσμεῖν, ἱδρύνεσθαι.
Ἴνφαος, εἷς τῶν Φωκέων. ¶ Ἰνῶδες, ἰσχυρόν. εὔτονον, νευ-
ρῶδες. ἰσχνόν. ¶ Ἰνώ, Κάδμου θυγάτηρ.
Ἰνώμενος, ὀξέως ἐκκενούμενος, τουτέστι προϊέμενος.
ἀφ' οὗ καὶ ὑπέρειμος λέγεται. ¶ Ἰνῶνται, ζῶσιν.
Ἰνώσατο. ἔπιεν, ἔδεξατο, κατέπιε, κατεβαύθη.
Ἰξ, θηρίδιόν τι ἐν ἀμπέλοις ἐσθίον.
Ἴξαι. διηθῆσαι, ἥκειν. ¶ Ἰξάλου. αἰγὸς δορὰ ἢ πη-
δητικός. ¶ Ἰξάλου, πηδητικοῦ ὀξέως ἀπὸ τοῦ ἶξαι
καὶ τοῦ ἅλλεσθαι. δηλοῖ δὲ καὶ ὀξέως ἀλλομένου.
Ἰξάνει, ἐπικάθηται. ¶ Ἶξε, παρεγένετο, ἐνέβα-
λεν, ἦλθεν. ¶ Ἰξευτής. στρουθοθηριαστής.
Ἶξις, παρουσία. ἄφιξις, ἱκετεία. ¶ Ἰξίας, κιρσὸς ὁ
ἐν τοῖς μέλεσιν, ὁμωνύμως δὲ καὶ τὰ ἐν τοῖς δένδροις
καὶ πόα τις. ἢ ὁ χαμαιλέων, καὶ ἔντερα, ἀφ' ὧν καὶ
ἰξός. ¶ Ἶξινα. νεῦρα. ¶ Ἰξοί, ὀλίσχροι καὶ φει-
δωλεῖς. ¶ Ἵξομαι, παραγενήσομαι.
Ἱξόμεθα, ἱκετεύσωμεν. ¶ Ἷξον, ἀφίκοντο. ἦλθον.
Ἰξός. εἶδος φυτοῦ καὶ κάλαμος ἰξευτικός. ¶ Ἰξοφό-
ροις, δρυΐας τὰς ἰξὸν φερούσας Σοφοκλῆς Μελεάγρῳ.
Ἰξύας, ἰχθῦς τις. ¶ Ἰξύϊ, ὀσφύϊ, λαγόνι.
Ἰξύος, ὀσφύος. ¶ Ἰξύς, ὀσφύς.
Ἶξων. φέρων.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Ο.

Ὀβάκχος, ὁ Διόνυσος, ἀπὸ τῆς βακχείας.
¶ Ἴοβας, κάλαμος παρὰ Κρησίν.
¶ Ἰοβολαῖος, χρόνοι τεσσαράκοντα ἐννέα.
Ἰοβλέφαροι, καλλιβλέφαροι. ¶ Ἰοβόρον, παλί-
γκοτον, ἢ χλωρὸν ὀργίλον, σκολιόν. ἐχθρόν. ¶ Ἰοβρέ-
πος, ἀπὸ ἰοὺς τοὺς βροτοὺς ἔχουσα. ¶ Ἰοβρυχέουσα,
ἀνιωμένη, πικραινομένη. ¶ Ἰοδλόνας, μέλαινας
δλόνας ἔχουσα. ¶ Ἰοδνεφές, μέλανι, ἄνθει παρα-
πλήσιον, οἱ δὲ πορφυρίζον. ¶ Ἰοδόκον, τὸν φαρέ-
τραν τῶν ἰῶν εὐσεμ δεκτικόν. ¶ Ἰοειδής, μέλαν ἢ
αἴθηρον, ἐν τῷ ὁρᾶσθαι πορφυροῦν. ¶ Ἰοειδέος, μέ-
λανος. ¶ Ἰοδόχη. βελοθήκη. ¶ Ἰόζωνος, πορ-
φυρόζωνος. ¶ Ἰοί. τὰ βέλη, ἀπὸ τοῦ ἱέναι ἢ ἀπὸ τοῦ
ἰοῦ, ἐχρίοντο τῷ φαρμάκῳ τινὶ αἱ ἀκίδες αὐτῶν.
Ἴοι, ἀπέλθοιτο, πορεύοιτο. εὐκτικῶς. ¶ Ἰοῖσιν, ἰοῖς.
βέλεσιν. ¶ Ἴοιτο, πορεύοιτο. ¶ Ἰολάδα, ἰοειδῆ χρώ-
ματα. ¶ Ἰομαλίς, δύναμις. ¶ Ἰόμωροι, ἰοὺς
ὀξεῖς ἔχοντες καὶ δι' αὐτῶν ὁ δὲ αὐτῶν μόρον, ὅ ἐστιν,
θάνατον ἐπιφέροντες. βέλτιον δὲ οἱ περὶ τοὺς ἰοὺς μεμο-
ρημένοι, ὅ ἐστι πεπονημένοι. ¶ Ἷον, ἀφίκοντο, ἄνθος
πρόβατον, εἶρεν, καὶ βέλος τοξικὸν καὶ μόνον.
Ἰονθάδος αἰγός. ἀπὸ τῶν ἰούσης θοῶς ὁ ἴονθους ἐχού-
σης, οἷον ἐκφύματα σκληρὰ ἢ σκώληξ. ¶ Ἰονεῦται.
Ἰόνιον πέλαγος ὁ νῦν Ἀδρίας. ¶ Ἰόντα, παραγινόμε-
να, ἐπανερχόμενα. ¶ Ἰοπλόκαμος, μελανόθριξ.
Ἰοπλόκος, ἰόπεπλος ἀπὸ τοῦ χρώματος. ¶ Ἰόππα,
μιξόθης. ¶ Ἴορκες, τῶν δορκάδων ζώων, ἔνιοι δὲ

ἡλικίαν ἐλάφου. ¶ Ἰότητι, βουλήσει. θελήσει, αἰ-
τίᾳ ὀργῇ χάριτι. ¶ Ἰοτήτυος, βουλήσεως.
Ἰοτόκος, ὁ κατασκευάζων ὀργὴν καὶ τὰ ἰοβόλα θηρία,
καὶ ὁ τὸν οἰκείαν βουλὴν ἱστῶν. ¶ Ἰού, σχετλια-
στικὸν ἐπίρρημα. ὡς τὸ φεῦ καὶ τὸ παπαί.
Ἰουβάλ, κύριον ὄνομα, τοῦ καταδείξαντος κιθάραν.
Ἴουκαι, πεπόρευνται. ¶ *Ἰούγερον. ¶ Ἰουδαῖος ἐξο-
μολόγησις θεοῦ. ¶ Ἴουλοι, αἱ πρῶται τῶν τριχῶν
ἐκφύσεις, ἀπὸ τοῦ ἱέναι ἀστὰς οὔλας, ἴουλοι δὲ οἱ οὖ-
λοι, αἱ ἐκ τῶν δραγμάτων συναπτόμεναι δέσμαι, καὶ ζῶ-
ον πολύπουν, ὅπερ ἡμεῖς λέγομεν ὄνον. τινὲς δὲ καὶ
τὸν ἐπὶ τοῖς ὑδρίοις γινόμενον ὄνον πολύπουν τὸν συ-
στρεφόμενον ἴουλον καλοῦσιν. ¶ Ἰούσης, πορευομέ-
νης. ¶ Ἰοφῶσσα, ὁ χάλκειος, ὥς φησι Φερεκύδης.
Ἰοχέαιρα, τοξοφόρος ἢ ἰοὺς ἔχουσα. ἢ ἰσχυρὰ ἢ βέλεσι
χαίρουσα. ¶ Ἰόψαφος, Ἀπόλλωνος ἐπίθετον.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Π.

Ἴπαμα, κάμινος. ¶ Ἶπες, θηρίδια, σκληροει-
δῆ ἃ κατεσθίει τὰ κέρατα καὶ τὰ ξύλα.
¶ Ἰπνή, ἐπιπίπτουσα σκελοί. ¶ Ἴπνια, τὰ κα-
τάσματα τοῦ ἰπνοῦ. ¶ Ἰπνασία, πεσὸν παρὰ Ταραν-
τίνοις. ¶ Ἰπνοδόμαν, τὴν φρυγίαν Κρῆτες.
Ἰπνοκαῖον, φρύγιον, οἱ δὲ τὴν ὑπόκαυσιν τοῦ ἰπνοῦ.
Θ ιμῶνες, θημωνιαί. ¶ Θὶν, ὁ αἰγιαλὸς ἀπὸ τοῦ θίνεσθαι καὶ θίνος, πολλάκις τὸ αὐτὸ λέγει, καὶ ἀρσενικῶς ὅμοιος ὁ θὶν, καὶ ὁ σωρός. πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς καὶ ἄμμος. ¶ Θῖναι, ψάμμοι. ὑψηλοὶ τόποι, καὶ αἱ τῶν καρπῶν συγκομιδαί. ¶ Θινὶ, αἰγιαλῷ. ¶ Θινομένη, τιλλομένη. ¶ Θινῶν. αἰγιαλῶν ἢ σωρῶν πυρῶν. ¶ Θίξεσθαι, ἅψασθαι.

Θ ίξις, ἐπαφὶς. ¶ Θῖος, θεὸς κρητῶν. ¶ Θιοπόβροτος, κακὸς, δίχα τοῦ ρ λέγεται καὶ θιτοβρώτος, ὁ ὑπὸ σητῶν βεβρωμένος. ¶ Θὶς, ὄχθος βουνός. ἀμμώδης, αἰγιαλός. θάλασσα. σωρὸς κυμάτων. τὸ κάτω βάθος διὰ θαλάσσης ἢ ὀστέων σωρός. ¶ Θίσκενα, χῶμα, σωροειδές. ¶ Θιασῶσαι. εἰκάσαι. ¶ Θλαδίαι, εὐνοῦχοι, καὶ οἱ τῆς ψάμμου σωροί. ¶ Θλάσεις. κλάσεις, συνθλάσεις. ¶ Θλασπὶς, πόα ἣν ἔνιοι σκύθειον. ¶ Θλίβει, ὠθεῖ, πιέζει. ¶ Θλίβεται, πατεῖται. ἔστι δὲ ἐπὶ σταφυλῆς. λέγεται δὲ καὶ ὅτε τὶς ὀλιγωρεῖ πιέζεται. ¶ Θλιβίας, θλαδίας σπάδων. ¶ Θλίψις, στένωσις. λύπη.

Θ λάνει, ἀποθανεῖν. ¶ Θνητίδια, νεκρὰ σώματα.

Θ νήσκοντας, ἀποθνήσκοντας.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Ο.

Οάζει, ζέχει, μαίνεται, σκιρτᾷ, κτείνει, σπεύδει, περάττει, κάθηται, χορεύει, αὔει, ἅλλεται, τελεῖ, πλάττει. φοβεῖται. πλανᾶται, θεοφορεῖται. ¶ Θόαξος. ἀπόλλων.

Θ οάς. ὀξείας, ταχείας, τῆς λακωνικῆς ὁρμὰς, ἢ ὄχημα ἐν ἰταλίας, ἢ * ἐπὶ νήσους, ἢ τὰς ταχείας ναῦς.

Θ οὴ, ταχεῖα. ἡ νὺξ μέλαινα. δεινή. ὀξεῖα. ἰσχυρά.

Θ οὴν, διὰ νύκτα, θεῖαν, ταχεῖαν, ὀξεῖαν. ¶ Θοὸν ἀλεγύνετε δαῖτα, τὸν ἀκαθόν. ¶ Θοηρός, τεταραγμένος ἐστίν. ¶ Θοῇσι. ταχείαις, ναυσὶ θοῇσιν. ὅταν δὲ

κελα. ἢ θεοκέλευστα θεῖα θαυμάσια. ¶ Θέσεις, πράξεις, καὶ θεῖναι ποιῆσαι. ¶ Θέσμιον, δίκαιον.

Θ εσμοθέται, ἄρχοντες, νομοθέται νομοφύλακες οἱ τῶν νόμων ἐπιμεληταί. ¶ Θεσμῶν, θείων νόμων ἔθος νόμων. ¶ Θεσμοῖς, νόμοις. ¶ Θεσμοθετεῖς, νομοθετεῖς. ¶ Θεσμοί, νόμοι θεῖοι, ἢ τὰς συνθέσεις τῶν ξύλων. ¶ Θεσμοφορεία, τὰ μυστήρια τῆς δήμητρος, ὄνομα ἑορτῆς. ¶ Θεσμοφόροις, ὁ θεσμοὺς φέρων ἤγουν νόμους. ¶ Θέσπιν, θείαν φωνήν.

Θ εσπέσιον, θεῖον παράδοξον, ὅταν δὲ λέγῃ, γνώσεαι εἰ καὶ θεσπεσίην πόλιν οὐκ ἀλλὰ παρὲξ, τῇ θειότητι λέγει, εἰ μὴ κατὰ συνεκδοχὴν ἀκούοιμεν θεσπεσίην, τῇ ἐκ θεῶν βουλήσει. ¶ Θεσπέσιος, θεῖος θαυμαστός.

Θ εσπεσίη, μεγάλη, πολλῇ θείᾳ τῇ ἐκ θεοῦ βουλήσει.

Θ εσπεσιώτερον. ἀξιολογώτερον.

Θ εσπιαοιδὸς, ποιητής. ¶ Θεσπέσιοι, θεῖοι.

Θ εσπιδαὲς. θείως καιόμενον ἢ δαιόμενον. ¶ Θεσπιδαὲς πῦρ, τὸ θείως καιόμενον πῦρ. ¶ Θεσπιδὸς, θυσίαι, θεοσέβειαι. ¶ Θεσπίζει, μαντεύεται, προφητεύει, ἐνθεάζει, νομοθετεῖν. ¶ Θέσπιν, θείαν, ἀοιδὰν, θαυμαστὴν φωνήν. ¶ Θεσπιόφημον, παροιμίαν τινά. ¶ Θεσπίσαι, προστάξαι, μαντεύσασθαι.

Θ έσπισμα, θεῖον δόγμα, νομοθεσία. ¶ Θεσπίσματα, μαντεύματα καὶ τὰ ὅμοια. ¶ Θέσπις, ἀγαθὸ. ἀλοθὸς. ἰσχυρά. ὁ θεῖα. ¶ Θεσπιῳδὸς, ἀληθὴς μάντις.

Θ έσπιος. ποταμὸς βοιωτίας. ¶ Θεσπρωτοί, ἔθνος, παρὰ θετταλίαν. ¶ Θέσσαλαι, αἱ κῶαι παρὰ φιλώτα, καὶ αἱ φαρμακίδες. ¶ Θεσσαλὸν, ἀπὸ παροιμιῶδες, τασσόμενον ἐπὶ ἀπάτης. ¶ Θεσσαλῶτις, ἐναγασμένης παρὰ λάκωσι. ¶ Θέσσαντο. ἐξῄτησαν, ἐκάθισαν. ἱκέτευσαν. ἐνεδύσαντο. ¶ Θέσσασθαι, αἰτεῖν. κάθεσθαι, ἱκετεύειν. ¶ Θεσσόμενος, δεόμενος ζητούμενος, ἱκετεύων. ¶ Θεστορίδης, θέστορος παῖς ὁ κάλχας. ¶ Θέσφατα, θεόφατα, μαντεύματα, ἐκ θεοῦ λεγόμενα, εἱμαρμένα ἐκ μαντείας λεγόμενα.

Θ έσφατον, πολύφατον, ὑπὸ θεοῦ προφατισμένον, θεῖον, μέγα, ἀργὸν ἄπρακτον, τὸ ἐκ θεοῦ μάντευμα, προφητεία. ¶ Θεσφατοῦται, θεσφατίζει, μαντεύεται τὰ παράδοξα λαλεῖ. ¶ Θετὴ, ποιητὴ θυγάτηρ.

Θ ετὴρ, ρλματὸς πράκτης.

Θ έτης, ὁ προθέμενος τι. ¶ Θετικὸν, τὸ ὀφειλόμενον γενέσθαι. ¶ Θέτις, ἡ μήτηρ ἀχιλλέως ἢ ἡ θάλασσα. ὁ δὲ γονεὺς λέγεται τηθύς. ¶ Θετὸν, εἰσποιητὸν οὐ γνήσιον. ¶ Θετταλικὰ πτερά, ἀπὸ εἴρηται, διὰ τὸ πτέρυγας ἔχειν τὰς θετταλικὰς χλαμύδας, πτέρυγες δὲ καλοῦνται, αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι. ¶ Θετταλικὸ, ἔνθεσις ὁ μεγάλη.

Θ ετταλικὸς δίφρος. διάφοροι εἰσὶ κατὰ κάλλει οἱ θετταλικοὶ δίφροι. ἴδιον γάρ τι γένος αὐτῶν κατασκευάζεται.

Θ ετταλίδας, ὑπόδημα ποιὸν, κρῆπις. ¶ Θετταλὸν σόφισμα, παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη, καὶ μὴ εὐθυμαχούντων. ¶ Θεῦ, δεῦρο τρέχε.

Θ εύγεσθαι, θέλγεσθαι κρατεῖσθαι. ¶ Θευμορία. ἀπαρχὴ θυσίας. ἣν ὁ λαμβάνουσιν οἱ ἱερεῖς κρέας ἐπειδὰν θύηται. θεοῦ μοῖρα. ¶ Θευμοριαζέτω, θεῷ γέρας ἀναφερέτω. ¶ Θευξένια, ἀπόλλωνος ἑορτή.

Θ εύσασθαι, δραμεῖσθαι, δώξεσθαι. ¶ Θεύσαι, δραμεῖ. ¶ Θευσόμεθα, δραμούμεθα, φευξόμεθα, πλευσόμεθα. ¶ Θεύτην, σκαράδιν ἱππώρακξ. ¶ Θέων, βαδίζων, τρέχων. ¶ Θεώματα, τὰ παρακαθαρτήρια. ¶ Θεῶν ὀργὰ, παροιμία ἐπὶ τῶν τολμώντων λέγειν, αὐτοὶ ὡς τοσοῦτον ὑπερέχουσιν ὅσον οἱ θεοὶ τῶν ἀνθρώπων. καὶ τόπος ἀθόνησιν ἀπὸ τοῦ συναγερθῆναι προσαγορευόμενος. ¶ Θεῶν ἐπὶ ἀλικολώνῃ τόπος ἐπὶ τῆς βοίας ὑψηλός. ¶ Θεῶν ἐν γούνασι κεῖται, παράκειται τῷ θεῷ καὶ ἐν τῇ δυνάμει αὐτοῦ καὶ ἐξουσίᾳ κεῖται. ¶ Θεωρία, ὄψις θέα.

Θ εωρίδες, αἱ περὶ τὸν διόνυσον βάκχαι.

Θ εωρικὰ χρήματα, τὰ εἰς θεῶν τιμὰς καὶ ἑορτὰς διδόμενα ἐν τοῖς παναθηναίοις καὶ διονυσίοις, ἅτινα ἐν τῷ θεάτρῳ ἐδίδοτο, καὶ ἐκ τοῦ θεάτρου συνήγετο ἀπὸ μισθουμένου τόπου. ¶ Θεωρικὸν ἀργύριον, τὸ εἰς θεῶν τιμὴν καὶ ἑορτὴν διδόμενον, θεωρίας ἕνεκα τοῦ καὶ τοὺς πένητας μετέχειν τῶν θεωριῶν, καὶ πάντα τὰ διανεμόμενα θεωρικὰ ἐλέγετο. ¶ Θεωρικός. ὡς θεωρὸς ἐπιφανόμενος, θεωρικοὺς γὰρ ἐκάλουν, τοὺς τοῖς θεοῖς τὰς ἀπαρχὰς ἀπάγοντας, ἐπιφάνουν γὰρ αὐτοὶ τὰς ἀπήνας. ¶ Θεώριος ὁ ἀπόλλων. ¶ Θεωρὶς, κύριον ὄνομα. καὶ θεωρία καὶ ἡ σκηνωνία τὸ γένος ἐρωμένη. ¶ Θεωροί, οἱ θεοπρόποι καὶ οἱ θεώμενοι, ἢ οἱ φροντίζοντες περὶ τὰ θεῖα. λέγονται δὲ καὶ τὴν ὁδὸν δι' ἧς ἴασιν ἐπὶ τὰ ἱερὰ θεωρίδα. καὶ τὰ διανεμόμενα ἀργύρια ἐν ταῖς ἑορταῖς, θεωρικά. ¶ Θεωροὺς, θεωρητὰς, ἐπόπτας.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Η.

Ηβαῖος, ἔθνος. ¶ Θηβανὶς, ἄνεμος. ¶ Θήβανα, θύρα, ἐκ τοῦ πλατείου κόλπου πνέουσα. ¶ Θήβα, πόλις βοιωτίας καὶ κιβώτιον.

Θ ῆβος, θαῦμα. ¶ Θηγάνει, ὀξύνει.

Θ ηγάνιον. ὀξὺ, ἠκονημένον. ¶ Θηγάνει, ἀκόνη, λέγεται δὲ καὶ θήγανον. ¶ Θήγειν, ἀκονᾶν, ὀξύνειν.

Θ ήγεια. θαύματα, ψιλὰ. ¶ Θήγη, θήκη θέσις τάξις.

Θ ηγόν, οἱ δὲ, ὀξὺ ἀκόνητον. ¶ Θήγει. ἀκονᾷ, ὀξύνει.

Θ ηεῖσθαι, θαυμάζειν. ¶ Θηεῖτο, ἑώρα, ἐθαύμαζε.

Θ ηεύμενοι, θεωροῦντες. ¶ Θηεῦντο. ἐθαύμαζον.

Θ ηεῖν, ποιῆσαι, θεὶς ποιήσας. ¶ Θήιμος, ἔθιμος.

Θ ήιμον, ἔθιμον. ¶ Θηήσαντο, θεάσαντο, θαυμάσαν.

Θ ηήσονται, θαυμάσονται. ¶ Θηητὴρ. θαυμαστὴς. θεατής.

Θ ηητὴς. ἀπατεὼν θεωρός. ¶ Θηητὸν, θαυμαστὸν καλόν. καταθύμιον, περικαλλές. σύμφορον.

Θ ηιστὸς, θαυμαστός. ¶ Θῆκαι. οἱ ἀπόθετοι νόμοι ἢ σοροί. ¶ Θήκαν, ἐπέθηκεν. ¶ Θήκια, τὰ ἐντάφια, δηλοῖ δὲ καὶ θησαυρὸν καὶ τάφον. καμψίον. γλωσσοκομεῖον. ¶ Θηκτόν, ὀξύ. ἠκονημένον.

Θ ηλαί. τῶν μαστῶν τὰ ἄκρα ἢ τῶν χειλῶν τὰ ἐκπεφυσμένα. ¶ Θηλαμινοῦ, νεογνοῦ. ¶ Θηλαμὼν. τάφος. ¶ Θήλασεν, ἐθήλασεν. ¶ Θηλάστρια ξοφός. ἔστι δὲ ἰακκοῦ. σοφοκλῆς ἀλεξάνδρου.

Θ ήλεα, ἱμάντων τὰ πεπλεγμένα, εἰς ἃ δεσθῆται τὰ ὀξέα. καὶ τῶν σπονδύλων τὰ κοῖλα. ¶ Θηλὴ, μαστός. ¶ Θηλητὴρ, κυνηγός. ¶ Θῆλυ, ἀσθενές.

Θεμερόπις, ἐξασμία ἀγχόνη. ¶ Θέμις, δίκαιον. ἄξιον. πρέπον. ἡ δίκη ἡ προσήκει. καὶ ὁ τιμὴ καὶ τὸ ἀξίωμα καὶ τὸ ἁρμόζον ὁ θέμις ἐστὶ ὁ νόμος.

Θεμιζέτω, μαστιγούτω, νομοθετείτω κρότων. ¶ Θέμισις, δικαιοσύνη παρὰ πυθία. ¶ Θέμιστα, ἔννομα, νόμιμα. ¶ Θέμιστας, νόμους δίκας. ¶ Θέμιστες, μαντεῖα χρησμοὶ δίκαια νόμοι. ¶ Θεμιστεύει, ἄρχει κελεύει ἃ βούλεται δικάζει. ¶ Θεμιστεύων, νομοθετητόρ. ¶ Θεμιστεύοντα, δικάζοντα.

Θεμιστῖ, τῇ δίκῃ. ¶ Θεμιστιάδαι, νύμφαι.

Θεμίστιον, δίκαιον. ¶ Θεμιστὸς, δίκαιος, βασιλεὺς ὅσιος. ¶ Θεμινόσκοσι πρακτικὴ δύναμις ἀποτελεσίμη. ¶ Θεμιστισία, ὁσία. ¶ Θεμιστόπολοι, ἄρχοντες δίκαιοι. ¶ Θεμιστόρων, συνετῶν.

Θέμολα, θεμέλια ἕδραι βάθρα θεμέλια. ¶ Θέναρ, τὸ κοῖλον τῆς χειρὸς καὶ τοῦ ποδός. ¶ Θεμοῖς, διαθέσεις. παραινέσεις. ¶ Θεμῶν, θελόμενον.

Θέμωσιν, ὤγγισαν, ἐγγίσαι ἐποίησαν, ἀνάγκασαν.

Θενεῖζει, τύπτει. ¶ Θενεῖ, κόπτει, τύπτει.

Θένιοι, οἱ προσήκοντες. ¶ Θεοβλαβίαν, οὕτως αἰσχύνης εἶπεν. ¶ Θεοδέκτορα, θεὸν δεδεγμένην.

Θεοδίσιος, διόνυσος. ¶ Θεοδμήτων. ὑπὸ θεοῦ δεδομημένων. ¶ Θεοκτίστων ὑπὸ θεοῦ ᾠκοδομημένων.

Θεοδότα, ὑπὸ θεοῦ δεδομένα. ¶ Θεόδυτα, ἱερόθυτα.

Θεόδωρος, θεοδώρους ἔλεγον οἱ κωμικοὶ τοὺς θυρυπρώκτους, ἀπὸ θεοδώρου τινὸς, οὐκ εὖ τῆς ἑαυτοῦ ὥρας προστατευμένου. ¶ Θεοειδηστέρας, θεῖα εἴδη ἢ ὁμοίωμα ἐχούσας. ¶ Θεοειδής, καλός. θεοῦ εἶδος ἔχων.

Θεοείκελα, θεῖα θαύματα θεοῖς ὅμοια.

Θεόθεν, ἐκ θεοῦ. ¶ Θεοέπτις, ἐκ θεοῦ ἐπόμενοι ὁ λεγόμενοι. ¶ Θεοὶ μολοττικοί, ὅτι ὅτι διάφοροι οἱ κύνες οἱ μολοττικοὶ ἢ ὅτι ψυχοπομπεῖον ἐστὶ ἐν μολοσσοῖς. ¶ Θεοινία, θυσία διονύσου ἀθήνησι. καὶ θεὸς θεοίνιος διόνυσος. ¶ Θεοὶ ξενικοί, παρὰ ἀθηναίοις τιμῶνται, οὓς καταλέγει ἀπολλοφάνης ἐν κρησί.

Θεοῖο, τοῦ θεοῦ. ¶ Θεοκόρυκες, γένος τὸ ἀπὸ πανθυδίου παρὰ ἐλευθερίοις. ¶ Θεοκλυτεῖται, παρὰ θεοῦ ἀκούει. ¶ Θεοκλυτήσαντες, θεοῦ ἀκούσαντες, θεὸν ἐπικαλεσάμενοι. ¶ Θεοκλυτοῦσαι, θεὸν ἐπικαλούμεναι. ¶ Θεόκολος, ἱέρεια.

Θεοκρινῆ, δόξαν θείαν ἔχουσαν. ¶ Θεομανεῖ, θεοφορεῖται, θεῖα φρονεῖ. ¶ Θεόμορος, σώφρων.

Θέοντες, τρέχοντες. ¶ Θεοξένια κοινὴ ἑορτὴ πᾶσι τοῖς θεοῖς. ¶ Θεόπαιστος, ὑπὸ θεοῦ παιόμενος, ἢ κιθάρα ὑπὸ θεοῦ δεδομένη. ¶ Θεοπὶς ἀληθὸς. ὁσία. ἀγαθή. ἰσχυρά. ¶ Θεοπλάκτας, λειοδώμονας.

Θεοπνευστεῖν, ἐνθουσιᾶν. ¶ Θεοπρεπής. θεῷ ἁρμόζοντος. ¶ Θεοπρόπιον. μαντεῖον ἐκ θεοῦ.

Θεόπροποι, προφῆται μάντεις ἐκ θεοῦ προλέγοντες.

Θεοπτίαν, θεοφανίαν. ¶ Θεοπτίας, θείας θεωρίας.

Θεόρμητος, ὁ ὑπὸ θεοῦ παρορμώμενος. ¶ Θεόρρυτον, ἐκ θεοῦ προϊὸν ἐρχόμενον. ¶ Θεός, σημεῖον ὁ ἀρχή.

Θεόσδοτος, ἐκ θεοῦ δεδομένος. ¶ Θεός θεός. ἔθος ἦν ὅτε κατέρχοιντό τινος θεὸν λέγει ἐπιφημιζομένοις. θεὸς ἐπὶ ὁμείρς σιδηρμόν. ¶ Θεοσέπτωρ, θεοσεβής. ¶ Θεοσκυνεῖ. θεοὺς τιμᾷ. ¶ Θεοστυγὶς, μισούμενοι ὑπὸ θεοῦ. ¶ Θεορτάρπεσοι, θεὸν τέρποντες.

Θεότευκτον, θεοκατασκεύαστον. ¶ Θεουδία. θεῖα ᾠδή.

Θεουδής, δίκαιος εὐσεβὴς εὐγνώμων θεοῖς ἀρέσκων.

Θεοίαστον, θεοτίμητον. ¶ Θεουδὴς, θεῷ ἀρέσκων.

Θεουδίσι ὑπὸ θεοῦ δεδομένοις. ¶ Θέουσα, τρέχουσα.

Θεοφρικὸ, θεοὺς πειοῦσα. ¶ Θεοφάντρας, ὑπὸ θεοῦ πεφημισμένοις θεολόγοις. ¶ Θεόφμονα, ἐκ θεοῦ μένοντα. ¶ Θεόφατα, ἐκ θεοῦ σημαινόμενα.

Θέσφατα, λόγια πεπρωμένα πολλὰ ἄφατα ὑπὸ θεοῦ πεφημισμένα. ¶ Θεοφατίζει, μαντεύεται, θεολογεῖ. ¶ Θεόφιν μήστωρ ἀτάλαντος, θεοῖς ἴσος ἐν τῷ βουλεύεσθαι. ¶ Θεόφιν, θεοῖς ἐκ θεοῦ, τὸ γὰρ χεῖμα τῶν πληθύει πασαλόφιν. ξυλόφιν.

Θεόφοβος, θεοσεβής. ¶ Θεόφρονα, θεοῦ γνώμη ἢ φράσις. ¶ Θεοφραδίαις, θεοῦ γνώμαις. λόγοις, φράσεσι

Θεόφρονος, θείου. ¶ Θεοφροσύνη, αἱ παρὰ τὸ θεῖον διατριβαὶ καὶ οὐ μαντεῖαι. ¶ Θεόπλανος, ἀπλόμενος.

Θεραπαινὶς, δούλη. ¶ Θέραπος, ὁμιλητορῶν.

Θεραπευσία, θεραπεία. ἱκετεία.

Θεραπευτὴς, ἰατρός. ¶ Θεραπίς, θεραπεύουσα.

Θεραπείας, τὰς βωμολοχίας. ¶ Θεράπναι, αὐλῶνες, σταθμοί. ¶ Θεραπαινίδες. ἔριθοι.

Θεραπναπιδία, ἑορτὴ παρὰ λάκωσι,

Θεράπνη, θεραπαινίς. δούλη. ¶ Θεράπνιον. θεραπαινίδιον, δουλίδιον. ¶ Θεράπνυτων, διὸς βασιλεῖς.

Θεράποντες, οἱ ἐν δευτέρᾳ τάξει φίλοι. ἀπὸ τοῦ θεραπεύειν, δοῦλοί τε καὶ ὑπηρέται. ¶ Θέραψ, θεράπων οἰκέτης δοῦλος ἀκόλουθος. ¶ Θέρει, πρωί. θερμαίνει. ¶ Θερελίμιον, τόπου ὄνομα καὶ ἀπόλλων καὶ ζεύς. ¶ Θέρεσθαι. θερμαίνεσθαι, καίεσθαι, θάλπεσθαι, πρὸς ἥλιον χλιαίνεσθαι. ¶ Θερέσιμον, θερεστικόν. ¶ Θερόζανον, μέρος τῆς ἁμάξης, οἱ δὲ τὴν ἅμαξαν τὴν ἄγουσαν τὰ θέρη. ¶ Θέρητρον. τὸ ἐπὶ τῶν ἁμαξῶν παράπλεγμα τὸ ἐπὶ τῇ τῶν ἀσταχύων παρακομιδῇ γινόμενον. ¶ Θέρηται, θέρεται, καίεται.

Θερίζει, ἐνδιατρίβει τῷ θέρει καὶ ἀλοᾷ.

Θερίκλειον, ποτήριον κόνδυ,

Θερινά, θέρος. ¶ Θερίζεσθαι, τὸ θέρος ἀπαγαγών.

Θέριστρον, λεπτὸν ὕφασμα θερινὸν ἱμάτιον. ¶ Θερσίτης, ὄνομα κύριον. ¶ Θερσίχθων, θερμαίνων γῆν καίων. ¶ Θέρμα, πυρετὸς ἀλέα καὶ ἐκεχειρία.

Θερμαστῆθεν, ἐκ καμίνων ἢ τὸ ἐπάνω ἐν τῇ κλίνῃ περιπτων. ¶ Θέρκταρ. θέλγμα. ¶ Θερμάστραι, κάμινοι. ¶ Θερμαστρίς, σκεῦος παρὰ πλάστην καρκίνῳ, ᾧ χρῶνται οἱ χρυσοχοῖ καὶ ὄρχησις ἔντονος καὶ διάπυρος τάχους ἕνεκα. ¶ Θερμεῖ. θερμαίνει.

Θέρμεσθαι, θερμαίνεσθαι. ¶ Θέρμετ, ὁ θέρους πνέων.

Θερμὸν, τὸ θέρος βυζάντιον. ¶ Θερμόπυλα, ἴσου ὄνομα παρὰ τοὺς πόδας. ¶ Θερόμενος, θερμαινόμενος.

Θέρονται, καίονται, χλιαίνονται, θερμαίνονται.

Θέρος. σῖτος τὸ θερίζειν ἡ ὥρα.

Θερσόμενος, θερμανθησόμενος ἀπὸ τοῦ θέρους ἐνεστῶτος.

Θερότερος, ὁ χλωρὸς σῖτος ἀμηθέος. ¶ Θερτηεία, ἑορτή τις. ¶ Θέσαι. θησαυρίσαι. ¶ Θέσσατο, ἐνεδύσατο. ¶ Θέσθαι, ἀποθέσθαι. θησαυρίζεσθαι.

Θέσθω, αὐξεπιζέσθω. ¶ Θέσκελα. θαυμαστὰ θεοειδῆ

ἡ θαργηλία μιλησία μὲν τὸ γένος, εὐπρεπὴς δὲ τὴν ὄψιν καὶ τἄλλα σοφή. ὥστε κρατῆσαι ιδ' πόλεων δυνάστας. διὸ καὶ πλείστοις ἐγήματο τῶν διασημοτάτων.

Θ ἄργηλος. χύτρα, ἱερῶν ἑψημάτων. ¶ Θαρνεύει, ὀχλεύει. ὀχεύει, ἐπαίρει, φυτεύει. ¶ Θαρρίας, ζασία,

Θ ἄρνυσθαι, ὀχλεύει. ¶ Θάρνυται, μετεωρίζεται. θάρνυσθαι γὰρ τὸ κυΐσκεσθαι, ἐπὶ δὲ νῦν δηλοῖ τὴν διὰ λόγων ἔντευξιν καὶ ὁμιλίαν. σημαίνει δὲ καὶ ὀχεύει.

Θ ἄρνυται, περὶ συνουσίαν ὁμιλεῖ.

Θ ἄρρος, θάρσος. ¶ Θαρσαλέον, ῥᾷον. ¶ Θαρσαλέως, ῥᾳδίως. ¶ Θάρσος, ὁ θάρρος, τὸ θάρσος ἀνδρεία δυναστεία. ¶ Θαρσιὼ, θρασύς. τεθαρρηκώς.

Θ ἄρσει, θάρρει. θράσει. ¶ Θαρρῶ, θρασύνομαι.

Θ αψία, ἅλμη, εἰς ἣν ὄψα ὀπτώμενα ἔβαπτον. καὶ ῥαφάνου εἶδος. οἱ δὲ βαμμάτιον. ¶ Θάσσημεν, καθήμεθα.

Θ άσιος, παῖς ἀγλαοφῶντος. ἐστὶ δὲ σεμίδαλις τῆς ἑρμοῦ γινομένη. ἀπὸ ἀγλαοῦ τοῦ ἐξ ἀρχῆς ποιήσαντος θασίου ὀνομασθεῖσα. ¶ Θάσσε, κάθισον.

Θ ᾶσσον, θᾶττον, τάχιον, ταχύτερον. ¶ Θάσσονας, ταχίονας. ¶ Θάσσοντας, καθημένους. ¶ Θάσσουσι, σπεύδουσι. ¶ Θάσσω, παρακαθέζομαι.

Θ άσσων, ταχύτερος, καθεζόμενος. ¶ Θατερεύεσθαι, ἀναβάλλεσθαι. ¶ Θάτερος, θάτερος, τοῖς δούλοις κύριοι. ¶ Θατέρα, τὰ ἄλλα ἑκάτερα ἕτερα μέρη.

Θ ατέρου, ἑνός. ¶ Θατῆρας, θεατάς. ¶ Θᾶττον, εὐθύς. τάχιον. ταχέως. ¶ Θᾶττον ἢ βούτης, παροιμία. ἐπὶ τῶν ἐν τῇ στοᾷ μαχομένων τις ἐν ᾧ ἐπεγράφη. βούτης. παρ' ὅτι δὲ ἡ παροιμία ἐπὶ τῶν ῥᾳδίως συντελουμένων. καὶ γὰρ ὁ βούτης, ῥᾳδίως κατεσκεύαστο ἅτε οὐχ ὁλοκλήρου τοῦ σώματος γεγραμμένου. ¶ Θαυλακίζειν, μετὰ βοῆς ἀπαιτεῖν τι.

Θ αυλία, ἑορτὴ ταραντίνων, ἀχθεῖσα ὑπὸ κτεάτου, παρὸ καὶ θαυλίζειν λέγειν τοὺς δωριεῖς. ¶ Θαυλωνίδαι, γένος ἰθαγενῶν ἀθήνησι. ¶ Θαυμάζειν, θεάσασθαι καὶ μανθάνειν. ¶ Θαῦμα, ἔκπληξις ξένισμα.

Θ αυμαίνει, θεωρεῖ, θαυμάζει.

Θ αυμαλέον, φοβερὸν, θαυμαστόν. ¶ Θαυμακίη, πόλις. ¶ Θαυμανέοντες, θεώμενοι, ὀψόμενοι. αἰολικῶς θαυμανέοντες. τὸ δὲ καθ' ἡμᾶς, θαυμάζειν, θηεῖσθαι λέγει. θηεῖτο δὲ κούρη, καὶ θηεῦντο ῥῆτος ὁ θαυμαστός. ¶ Θαυμάσιος, θαυμαστός. ¶ Θαύματα, ἃ οἱ θαυματοποιοὶ ἐπιδείκνυνται. ¶ Θαυματίζομαι, ἐκπλήττομαι. ¶ Θαῦμος, ἢ θαῦλος ἄρης μακεδόσι. ¶ Θαῦνον, θηρίον. ¶ Θαυλέα, οὐρὰ κέρκος. ¶ Θαυσήκει, θεωρεῖον. ¶ Θαχμῶνται, θοιναῖνται. δωριεῖς. ¶ Θάψαι, κατορύξαι, κάψαι, ἀπὸ τοῦ θάλπεσθαι. ¶ Θάψινον, τὸ ξανθὸν ἀπὸ τοῦ ξύλου τοῦ θάψου ὃ βάπτει ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς κεφαλάς. ὅπερ τινὲς σκυθικὸν λέγουσι. καὶ ὁ ποταμὸς παρ' ᾧ φύεται τὸ ξύλον θάψος καλεῖται. ἔστι δὲ καὶ ῥίζα θαψία καλουμένη.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Ε.

Εά, ὦ μοῦσα. ¶ Θέα, σκόπει, θεώρει, ὅρα. ¶ Θεάμονας, θεατάς. ¶ Θέαρ, ὄψιν. ¶ Θεωρίαν, ὄμματα. ¶ Θεαγγελεῖς,

οἱ τὰς πανηγύρεις ἐπαγγέλλοντες. ¶ Θεαγενής, ὅσιος θεοσεβής. ¶ Θέαγον, τὸ θεῖον, ᾧ καθαίρουσι σαλαμίνιοι. ¶ Θέαμα, θεώρημα. ¶ Θεανὸ, νόσος, ἡ ἐκ θεοῦ θεία, σοφοκλῆς τυροῖ ξύρου. ¶ Θεανῶσαι, οἱ ξυστῆρες ὑπὸ πετάλων. ¶ Θέα παρ' αἰγείρῳ. πόθος αἰγείρου ἐχώρισθεν ἐθεώρουν, εὐτελὲς δὲ ἐδόκει, ὁ ἐντεῦθεν θεωρία. μακρόθεν μὲν ἦν καὶ εὐώνοιο ὁ τόπος ἐπωλεῖτο. ¶ Θεατὸν, τὸ ἐκλεκτὸν, ὁρατόν. καὶ θεωρητόν. ¶ Θέατρον, θέαμα ἢ σύναγμα.

Θ εῖ, τρέχει. ¶ Θείει, θέειν, τρέχειν, δραμεῖν.

Θ εῖν, ἐκτρέχειν. ¶ Θεηγόρων. θείων ὁ ἐκ θεοῦ λαμβάνων.

Θ εήλατον, ὑπὸ θεοῦ πεπεμμένον ὁ πεμφθέν.

Θ έουσι, τρέχει. ¶ Θειαζόντων, μαινομένων.

Θ ίασος, χορός. ¶ Θειασμοῦ, εὐωχίας ἐνθουσιασμοῦ.

Θ ειασμοῖς, εὐωχίαις, μαντείαις. ¶ Θιασῶται, χορευταί. ¶ Θεῖα, ἴνδαλα καὶ θεοῖς ἐοικότα κύπριοι.

Θ εῖεν, δραμεῖν. ¶ Θείης, ποιήσεις. ¶ Θεικτὸν, θαυμαστόν. ¶ Θηλόπεδα, ὁ τόπος ἐν ᾧ ξηραίνεται ἡ σταφυλή. εἴρηται δὲ ἀπὸ τοῦ θέρεσθαι ἐν τῷ ἡλίῳ καὶ τῷ πέδῳ. ¶ Θειμωνίαι, οἱ σωροὶ τῶν δραγμάτων.

Θ εῖναι, ποιῆσαι. ¶ Θοίναν, βρῶσιν, ἀνάλωμα.

Θ είνει, ποιεῖ, τρέχει. κτείνει, πλήσσει. ¶ Θῖνες, οἱ σωροί. ὄροι βουνοὶ ἐπὶ ψάμμου. ¶ Θεινομένην, τυπτομένην. ¶ Θινῶν, αἰγιαλῶν. ¶ Θείωμεν, ποιήσωμεν. ¶ Θεῖον, θειάφιον, ἄπυρον. ἀκαυστόν.

Θ είός μοι, ἐκ θεοῦ μοι. ¶ Θεῖος, ὄνειρος, θεόπεμπτος. θεῖον δύναντα ἀγῶνα τὸ τῶν θεῶν ἄθροισμα, ἐν ᾧ αὐτῶν τὰ ἱερά. ¶ Θειοῦται, θείῳ καθαίρεται.

Θ εῖον, τὸ ἐκ θεοῦ ἀφιέμενον καὶ τὸ ἄξιον λόγου, ὥστε θαυμάζεσθαι καὶ τὸ θειάφιον. ¶ Θείου πλῆρ, τοῦ κεραυνίου πυρὸς λέγει, ὀδμὴν ἣν ἔχει ὁ κεραυνὸς θείου.

Θ εῖται, κεῖται. κομίζει. ¶ Θειάσω, καθαίρω.

Θ ειώσω. καθαίρω. ¶ Θέκλεον, καυμαστόν.

Θ έλγει, ἀπατᾷ. θάλπει ἀπὸ τοῦ εἰς τὸ θέλειν ἄγειν μαλάσσει. κηλεῖ. τέρπει. ¶ Θέλγητρα, εἰς ἡδονὴν ἀπάτη. ¶ Θέλγμα, θαῦμα. ¶ Θελγῖνες, οἱ τελχῖνες, γόητες πανοῦργοι φαρμακευταί. ¶ Θελγόμενον, ἀπατώμενον. λέγεται δὲ ἐπὶ τῶν ἡδυνομένων τοῖς ᾄσμασι. ¶ Θέλειν. δύνασθαι. ¶ Θέλεμον, οἰκτρὸν. ἥσυχον. ¶ Θελέμως. ἡσύχως. οἰκτρῶς.

Θ έλεμνον, ὅλον ἐκ ῥιζῶν. ¶ Θελγόν, θελκτὸν καὶ τὸ θέλγον τὰ ὄμματα ἐπὶ κακώσει. ¶ Θελκτής, προαιρετικός. ¶ Θέρκαλ, θέλγμα. ¶ Θέλγηθρον, φίλτρον. χαρά. θαυμαστὸν καὶ τὸ ἐφέλκον μετά τινος ἀνάγκης. ¶ Θελκτήριοι, θεραπευτικοὶ ἀπάντες εἰς ἀπάτην. ¶ Θέλξας. καταπονήσας.

Θ ελξινία, ἥρα τιμᾶται παρὰ ἀθηναίοις. ¶ Θέλω, χρῄζω. βούλομαι. εὐδοκῶ. ¶ Θέμα, ἕξις τόπος, στάσις μνῆμα. ¶ Θεμὰρ, ἄνεμος νότος, ἢ ἀναπλοῦ.

Θ εματίζει, ἀποτίθεται κυβερνᾷ. ¶ Θέμεθλα, ἕδραι βάθρα. ¶ Θέμεμα. θέσις. ῥίζαι. ¶ Θέμειλα, θεμέλιοι. ¶ Θεμειλιωθέντα, ἐκ ῥιζῶν ἀρθέντα.

Θ έμεναι, καταβαλοῦσαι. ¶ Θέμενος. ἐνθείς. καταβαλών. ¶ Θεμέρη. βεβαία. σεμνή. εὐσταθής.

Θ έμερον. σεμνόν. ἀφ' οὗ καὶ τὸ σεμνύνεσθαι θεμαρύνεσθαι.

Θ εμερόφρονας, συνετοὺς σώφρονας.

ΑΡΧΗ ΤΟΥ Θ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Α.

Θάασσεν, ἐκαθέζετο. ¶ Θαάσσει. κάθηται. διατρίβει. ¶ Θαβακὸν, θακὸν, ἢ ἁμαξόν.

Θ αβώρ, ὄρος συρίας. ¶ Θαγῆ, ἥξεις.

Θ άεο, θεώρει. ¶ Θαζόμενος, σκώπτων.

Θ αίβει, ἐλαύνει. ¶ Θαιμὸς, οἰκία, σπόρος, φυτεία.

Θ αιροδύται, οἱ ἐν τῷ ζυγῷ δακτύλιοι, δι' ὧν οἱ ῥυτῆρες. ¶ Θαιροδύτης. ὁ δακτύλιος τοῦ ζυγοῦ.

Θ αιρὸς. ὁ διοικῶν ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς ἐπὶ θύρας, ἢ ἄξων σοφοκλῆς τειχοπολέμῳ.

Θ ακεύουσι, κάθηνται εἰς τὰς χρείας.

Θ ᾶκος, καθέδρα. θρόνος. ¶ Θαλάμη, ζεύγλη, θυρὶς καταλιπεῖς. ¶ Θαλάμαι. σπήλαι ἐπικείμεναι τοῖς αὐδίοις τῶν ἀποκότων. ¶ Θαλαμηπόλος, ἡ περὶ τὸν κοιτῶνα ἢ περὶ τὸν θάλαμον διατρίβουσα, ἢ ἀναστρέφουσα. ἀπὸ κοινοῦ δὲ, κοιτωνοφύλαξ, νυμφαγωγός. τοῦ θαλάμου ἐπιμελουμένη. Θαλάμια, κῶπαι αἱ κατωτάτω καὶ οἱ ταύτην ἔχοντες τὴν χώραν θαλάμιοι λέγονται. ¶ Θαλάμιος, ὁ κατωτάτω θαλάμιος ἐρέτης ὁ κατωτάτω ἐρέσσων ἐν τῇ νηΐ. ¶ Θαλάμιος λέγεται ὁ ἔσχατος. ὁ δὲ μέσος ζύγιος. ὁ δὲ ἀνώτατος θρανίτης. ¶ Θαλάμοιο νέοιο. κατεσκευασμένου νεωστί. ὑπὸ γὰρ τοὺς ἀρμοὺς αὐτοὺς τῶν νυμφῶν θαλάμοις ἐπήγνυον, ὡς οὐκ ἔκπαλαι αὐτοῦ γεγαμηκότος. ¶ Θάλαμος. οἶκος. μυχός. νυμφικὸς οἶκος. ¶ Θαλάμεον, ἄνασσα ἀφροδίτη.

Θ άλασσα, κοίλη ἢ χειμέριος καὶ τὸ θεῖον. ¶ Θαλασσεύς. ἁλιεύς. ¶ Θαλάσσια, ἔργα ναυτικά.

Θ αλάσσιος ζεὺς, ἐν σιδῶνι τιμᾶται. ¶ Θαλασσωθεὶς ἀγνισάμενος. ¶ Θαλάσσια. τὰ ἐπὶ θαλάσσης.

Θ αλαττοκοπεῖς, ματαιολογεῖς. ¶ Θαλαττοπορῆσαι. πλεῦσαι διὰ θαλάσσης. ¶ Θαλίει, θάλλει, αὔξει.

Θ αλέεσσι, ποτήτι. λιπαρίαις. ¶ Θαλέοντες, θάλλοντες. ¶ Θαλέθοντα, θάλλοντα, βλαστάνοντα, ἀνθοῦντα, εὐθηνοῦντα. ¶ Θαλεία, παιδιά, εὐθυμία ἡδονὴ καὶ ἡ μοῦσα. ¶ Θαλείας, πόθοις. μέθας. λίνας, πήρας. ¶ Θαλίη, εὐδαιμονία εὐθηνία ἀκμή. εὐφροσύνη. ¶ Θαλερόν, καθαρόν.

Θ αλεραί, εὐκραεῖς. ¶ Θάλλει, ἀκμάζει, αὔξει.

Θ αλεροί, ἀκμάζοντες, ἀνθοῦντες, πολὺ πρόσφατοι, ἀθρόοι, ὑγροί, εὐκραεῖς. ¶ Θαλερὸν δάκρυον, τὸ πολὺ καὶ μὴ ξηραινόμενον, ἀλλ' ἀεὶ τῶν ὀφθαλμῶν ἀεὶ θάλλον. ¶ Θαλερὸς, ταχὺς ἰσχυρός. ¶ Θαλέων, τῶν θάλλειν ἐπιτηδείων. ¶ Θαλέων, τῶν θάλλειν ποιούντων παιγνίων ἢ ἀνθῶν τῶν πρὸς τὸ θάλλειν ἐπιτηδείων. ¶ Θαλία, εὐθηνία. εὐωχία. πανήγυρις. τέρψις. εὐφροσύνη. ¶ Θαλίη, τὰ αὐτά. ¶ Θαλιοποιοί, οἱ τὰ σκυτευόμενα κυβώτια καὶ τὰ δερματίνοις ῥίσκοις ἐργαζόμενοι. ¶ Θαλιπέδαι. οἱ πλούτους καὶ ἐνδόξους ἔχοντες, ἢ γένος ἐνδόξοις ἔνδοξον.

Θ άλικα, σίκους εἴδος. ¶ Θαλλὶς, μάρσιππος μακρός. ¶ Θαλλὸν, ὃ ἐσθίουσιν οἱ βόες. ¶ Θαλλὸς, κλάδος ἐλαίας. ἄνθος: γέννημα. καὶ πᾶν τὸ θάλλον. κυρίως δὲ κλάδος ἐλαίας ἢ φοίνικος βλάστημα.

Θ άλλουσα, αὐξάνουσα. ¶ Θαλλοφόρος ὁ πομπεύων ἀθήνησι καὶ ἐλαίας κλάδον φέρων λέγει δὲ καὶ γέροντας θαλλοφόρους πρὸς οὐδὲν ἄλλο χρησίμους, ἢ πρὸς τὸ θάλλειν. ¶ Θάλπει, ἀκμάζει. αὔξει.

Θ αλπίω, ἐπάλξις. ¶ Θάλπος, καῦμα, παραμυθία.

Θ άλπω, θερμαίνω παραμυθοῦμαι. ¶ Θαλπωρὴ, παραμυθία. σκέπη, χαρὰ, σωτηρία. ἡδονὴ, θάλψις, ἐλπίς. ἀσφάλεια, ἡ διάχυσις. ¶ Θαλυκρέονται. ψεύδονται. ¶ Θαλυκρὸν, ἰταμὸν, λαμπρόν. εὐσεβόν. χαῦλες, πανοῦργον. θερμόν. χλωρόν.

Θ αλύνει, θάλπειν ποιεῖ. ¶ Θαλύνεσθαι, φλέγεσθαι.

Θ αλύσια, αἱ τῶν καρπῶν ἀπαρχαί. ¶ Θαλύσιος, ἄρτος, ἀπὸ τῶν ἅλων πεπτόμενος πρῶτος. ¶ Θαλυσσόμενος, φλεγόμενος. ¶ Θαλύψαι, θάλψαι, πυρῶσαι. ¶ Θάλλωμεν, βλαστήσωμεν, βλαστάνωμεν.

Θ αμὰ, θαμινὰ συνεχῆ. ¶ Θαμάκις, πλειστάκις. πολλάκις. ¶ Θαμὰ, τὰ πυκνὰ καὶ θαμέα τὰ αὐτά. ¶ Θαμαζοχεῖ, οὐχ ἡσυχάζει. ¶ Θαμβαλέον φοβερὸν, θαυμαστόν. ¶ Θαμβεῖ, ἐκπλήττει.

Θ άμβος, θαῦμα. ἔκπληξις. ¶ Θαμέας. πυκνούς. συνεχεῖς. ¶ Θαμέες καὶ θαμειαὶ τὰ αὐτὰ τῷ θαμιάς.

Θ αμίζεις, συνεχῶς ἔρχῃ. πυκνάζεις.

Θ αμίζεται, ὁμιλεῖ. ¶ Θαμίζει, συνεχῶς διατρίβει καὶ παραμένει τὴν ἑαυτοῦ ναῦν φυλάσσων.

Θ αμινὰ. πυκνά. πολλά. ¶ Θαμινῶς, συνεχῶς, πυκνῶς.

Θ άμιξ, ἀλώπηξ. ¶ Θάμνοις, δενδρώδεσι τόποις δασέσι. ¶ Θάμνισον, ἀποκάλυψον. ¶ Θάμνοι, δασέα καὶ πυκνὰ δένδρα, καὶ οἱ σύνδενδροι τόποι.

Θ άμνος, πυθμὴν δένδρου ἢ ῥίζα πολλοὺς κλάδους ἐκπέμπουσα, ἢ καθ' ἕνα τόπον ἐπὶ ὕλης συστροφή. καὶ ἡ συνεχὴς φυτεία, καὶ ἡ περιοχὴ τῆς ἐλαίας. καὶ δρυμοὶ καὶ οἱ σύμμυροι ἢ δενδρώδεις, ἢ βάρος, ἢ ξύλον ἀκανθῶδες. ¶ Θαμνώτεροι, πυκνότεροι. ¶ Θάμυρις, πανήγυρις σύνοδος, ἢ πυκνότης τινῶν. καὶ ὁδοὺς θαμύρας τὰς λεωφόρους, ἔστι δὲ καὶ κύριον ὄνομα.

Θ αμυρίζει, ἀθροίζει, συνάγει. ¶ Θάμυρις μαίνεται, παροιμία ἐπὶ τῶν κατὰ σύνεσιν, παράλογόν τι πραττόντων. ¶ Θανάτοιο μέλαν νέφος. περιφραστικῶς αὐτὸς ὁ θάνατος. ¶ Θάνατος, ὅ, τε θεός. καὶ ὁ παρὰ χοιμὴν τέλος ἐν τοῖς τοῦ βίου. ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. καὶ ὁ στομαρεδής θεός. καὶ ἡ δυστυχία. ¶ Θανατῶν. θανάτου ἐπιθυμῶν.

Θ ανεῖσθαι, ἀποθανεῖσθαι. ¶ Θάνοιεν. ἀποθάνοιεν.

Θ άξαι, μεθύσαι. ¶ Θάοντα, διδάσκοντα, θεωροῦντα.

Θ αοῦνται. ὁμοίως. ¶ Θάπαν. φόβον.

Θ άπτα, μὴ ἀκριτεῦ. ¶ Θαρραλέως, εὐθαρσῶς ἀνδρείως. ¶ Θαργηλία. ἀπόλλωνος ἑορτὴ καὶ ὅλος ὁ μὴν ἱερὸς τοῦ θεοῦ. ἐν δὲ τοῖς θαργηλίοις τὰς ἀπαρχὰς τῶν φαινομένων ποιοῦνται καὶ περικομίζουσι. ταῦτα δὲ θαργήλια φασὶ καὶ μὴν θαργηλιών. καὶ τὴν ἱκετηρίαν, ἐκάλουν θάργηλον. ὁ ἀρχίλοχος φησὶν ὡς* φαῖε νῦν ἄγε τὰ θαργήλια καὶ ὁ θάργηλος χύτρος ἐστὶν ἀνάπλεως σπερμάτων καὶ τὰ μὴ λησίοις ἀρχομένη ἐπιφρόνησις. ¶ Θαργηλία ἐστὶν

Ἡσίοδος, ποιητοῦ ὄνομα. ¶ Ἥσκαιρεν, ἐσκίρτα.

Ἤσκει ἐθεράπευεν. ἐπονεῖτο, ἐκόσμει. ἐπεμελεῖτο, ἐπιμελεῖτο, εἰργάζετο. ¶ Ἠσκημένος, μεμελετηκὼς πεπαιδευμένος. ¶ Ἡσιονεῖς, οἱ τὴν ἀσίαν οἰκοῦντες ἴωνες. ¶ Ἠσίπεδον, ἐνβαφές, ἠσιχερ. λαψιλής. ¶ Ἠσμένισεν, ἐχάρησεν.

Ἡσμὰ, νόσημα. ¶ Ἧσο, ἐκαθέζου. ¶ Ἦ σοὶ, ἄρα σοί. ¶ Ἤσπαιρεν, ἐσκάριζεν, ἔστιλβεν, ἔλαμπεν, ἀπέπνιγεν, ἤσπαιρεν. ¶ Ἠσσηκότες, βοηθήσαντες.

Ἡσσήθη, ἡττήθη. ¶ Ἡσσόνων, ἐλαττόνων. ¶ Ἡσσωμένων, ἐλαττουμένων, ἡττόνων, ὑστέρων. ¶ Ἧσσον, ἧττον. χεῖρον. ὕστερον. ¶ Ἧς οὔτι χάριν οἶδα. ἀντὶ τοῦ ὡς οὐδὲ μίαν χάριν ἔχειν, οὐδὲ παιδοποιίας. οὐδὲ συμβιώσεως. ¶ Ἧστην, ἐκαθέζοντο δυϊκῶς ὑπάρχουν. ¶ Ἠστίνειν, ἐρᾶν, ἐρᾶσθαι. ¶ Ἧστον, ἡδύ. ¶ Ἧσται, καθέζεται. ¶ Ἠστόχησεν, οὐκ ἐπέτυχεν. ¶ Ἡσυχία, γαλήνη, ἠρεμία. ¶ Ἥσυχος, ἀπράγμων. ¶ Ἤστραψεν, ἐλάμψεν. ¶ Ἧσφιν, ἧ τοῖς αὐτοῖς. ¶ Ἡσυχαῖον, τὸ μετ' ἡσυχίας. ¶ Ἡσυχίδαι, γένος ἀθήνησιν ἱθαγενῶν. ¶ Ἤσχαλλεν, ἐλυπεῖτο. ¶ Ἠσχάτησεν. ἐστέρησεν. ¶ Ἠχολάθημεν, χολὴν ἐποιήσαμεν.

Ἡσσόνων, ἡσσωμένων. ¶ Ἧσο, ἀφίεσο, ἐάσο, ἀκινητίσο. ¶ Ἠτάκτησεν, μετὰ ἀταξίας ἔπραξεν.

Ἢ τὰν ἢ ἐπὶ τάν, ἢ ταύτην ἢ ἐπὶ ταύτην. ¶ Ἦτας, ἤλγυνας. ¶ Ἦτ' ἄν, ἐπεί. ὡς. ¶ Ἤτασιν, ἐβασάνισεν. ¶ Ἦ τάχα, οὕτω γὰρ ἴσως. ¶ Ἦ τάχα κεν, ἢ τάχα ἄν, ἴσως ἄν. ¶ Ἤ, τε, ἤ πως. ¶ Ἤτεεν ᾔτησεν. ¶ Ἤιτει, παρεκάλει. ¶ Ἤ τεὸν, ἢ τὸ ὄν, ἀληθῶς. ¶ Ἡ τέρα στροφή. ἐπὶ τῶν ἐξ ἀνάγκης ἐπαινουμένων ἐν τοῖς μέλεσιν. ¶ Ἡ τετράγωνος, ἐργασία οἱ ἑρμαῖ. ¶ Ἦτ' ἐφάμην, ὑπέλαβον. ¶ Ἠτρύνον, τέττιξ ὅμοιον ἢ κέρκωψ. ¶ Ἠτιάθη, ἐκινήθη.

Ἠτιόωντο, αἰτιῶνται, ἐπιφημίζουσιν. ¶ Ἠτίμασεν, ἄτιμον ἐποίησεν. ¶ Ἠτιμωμένων, ἠφανισμένων.

Ἠτίμασεν, ἠτίμασεν, ὕβρισεν. ¶ Ἤτιος, βολῶς.

Ἤτοι, σύνδεσμος ἰσοδυναμῶν τῷ δέ. πλέον δὲ καὶ αὐτὶ τοῦ μὲν χρῶνται. ¶ Ἤτοι, καὶ δὴ οὕτως. ¶ Ἤτοι ὅγε, οὗτος δέ. ¶ Ἤτοι ὁ μὲν, ὁ δὲ οὗτος. ¶ Ἦτορ, ἡ ψυχή, θυμός, στῆθος. ¶ Ἠτρέμει, ἡσυχάζει.

Ἦτρον, ὁ ὑπὸ τὸ ὑποστέρνιον τόπος, ὁ ὑπὸ τὸν ὀμφαλόν.

Ἤτεον, ὑψηλὸς ἔλαφος. ¶ Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι. παροιμία ἐπὶ τῶν ἢ ἐπιτυγχανόντων ἢ ἀποτυγχανόντων, πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις. καὶ οὐχ ὡς οἱ νῦν δύο. ἔστι δὲ ὁμωνυμία.

Ἧττα, ἡ ἧσσα. ¶ Ἧττον, μικρότερον αὐτὶ τοῦ οὐδ' ὅλως. ¶ Ἥττονες, καταδεέστεροι.

Ἥττοσιν, ἐλάσσοσι καταδεεστέροις. ¶ Ηὐ, ἀγαθὸν ἰσχυρόν, τάσσεται δὲ καὶ ἐπὶ τοῦ ὡς. ¶ Ηὔγει, ἔλαμπεν.

Ἠυγένειος, μέγα τὸ γένειον ἔχων. ἢ εὔτονος, ἢ εὔγονος, ἢ εὐγενὴς ἢ καλλιγένειος. ¶ Ηὔδα, ἔλεγεν, εἶπεν.

Ἠυδάξατο, ἔχρησεν εἶπεν. ¶ Ηὐδόκησεν, ἠθέλησεν.

Ἠυθέμιλον, εὐθέμιλον. ¶ Ηὐθύνθη, ὑπὸ ἔγκλημα ἔπεσεν εὐθυνῶν. ¶ Ἠύκομος, καλὴ ἀπὸ μέρους εὔκομος καὶ καλλιπλόκαμος εὔκομος. καλή. ¶ Ηὔληται, πεφύσηται, λελύπηται, τετάρακται. στρέφεται.

Ἠυκόμοιο, καλλικόμοιο. ¶ Ηὐλίσθημεν, ἐσκηνώσαμεν. οἰκίσαμεν. ¶ Ηὖν, ἀγαθόν. καλόν.

Ηὔνασας, ἐκοίμισας, ἔπαυσας. ¶ Ηὐπόρησεν, ἐπλούτησεν. ¶ Ἠΰς, καλός. ἀγαθός. μέγας. γενναῖος. ἀνδρεῖος. ¶ Ἦ ὕστερον, μετὰ ταῦτα. ¶ Ἠΰτε, καθάπερ. ὥστε. ὥσπερ. ὡς. ὅτε καθά. ¶ Ἠὺς ὀμίχλη, καθάπερ ὀμίχλη σκοτία. ὑδατώδης ἢ παχὺς ἀήρ.

Ηὐτομολήσαμεν, προσέδραμον τοῖς πολεμίοις.

Ἠύχει, ἠλάπιξεν. ¶ Ἡφαιστία, ἀθηνᾶ καὶ πόλις τῆς λήμνου. ¶ Ἡφαιστιάδαι, ἀθηναῖοι. ¶ Ἡφαιστόδαμα. περίκαυστα. ¶ Ἡφαίστοιο, τοῦ πυρός.

Ἥφαιστος, ὅτε μὲν ὁ θεός, ἥφαιστος ποίησιν ἰδυίῃσι πραπίδεσσιν, ὅτε δὲ μετωνυμικῶς τὸ πῦρ, παρά τισι δὲ ὁ ἥλιος. ¶ Ἥφασεν, * ἐπάλαφα. ¶ Ἠφειδηκότες, μὴ φεισάμενοι, καταπλύζαντες. ¶ Ἠφείδουν, οὐδὲ ἐποιοῦντο φροντίδα οὐκ ἐφείδοντο. ¶ Ἠφίεθη, ἐάθη, συνεχωρήθη. ¶ Ἠμφοτεροφῶν, ἐξ ἀμφοτέρων τῶν μερῶν στενάζων. ¶ Ἠφίαλεν, ἐπεχείρησεν.

Ἤφιει, ἔπεμπεν, ἀπέλυεν. ¶ Ἠφίεσαν, ἔπεμπον, εἴων.

Ἠφρονεύοντο, ἐμώραναν. ¶ Ἠφυσάμην, ἐφείλκυσάμην. ¶ Ἤφυσεν, δέτεμεν, πάλιν ἀπήντλησεν, διέκοψεν, ἔσπεν, ἐξεφύσησεν, ἐξήνθησεν. ¶ Ἠχάραξ, τὴν ἄμπελον παρεζημία. ¶ Ἤχανεν, εἶπεν.

Ἠχεῖ, φωνεῖ. ψοφεῖ. ¶ Ἠχεῖον, τὸ χαλκόν, οἱ δὲ μαστικόν. τὸ πρὸς τῇ μαστίγι χάλκωμα. ¶ Ἠχέτα, ἠχητικός. ¶ Ἠχέται, οἱ δύφθογγοι τέττιγες.

Ἠχὴ, φωνή, ἦχος βοή. ¶ Ἤχησεν, ἐψόφησεν.

Ἠχήεσσα, ἠχώδης, εὔηχος. θορυβώδης. ¶ Ἠχέται, κήρυκες. κράκται. ᾠδοί. τέττιγες. οἱ δύφθογγοι.

Ἠχήεντα, εὔηχα. ¶ Ἠχῆνες, κενοί. πτωχοί.

Ἠχθαι, τεθηρεῦσθαι. ¶ Ἤχθαιρεν, ἐμίσει. ἤχθηρεν. ἐμίσησεν. ¶ Ἤχθετο, ἐβρίθη, ἔστεμεν, ἠνιᾶτο, ἐβαρύνετο. ¶ Ἠχθισμένην, βεβαρημένην.

Ἡχί που. ἵνα. ἐνθάδε. ἐν ᾧ τόπῳ. ¶ Ἤχλαν, τὴν λυπηράν. ¶ Ἤχλυσεν, ἐσκότισεν ἀμίχλης ἐπληρώθη, ἐκαλύφθη ἀχλύϊ. ¶ Ἤχθετο, ἐλυπεῖτο, ἐθυμοῦτο. ¶ Ἦχος, φωνὴ κτύπος ἐκφώνησις. ¶ Ἠχοῖ ἐνθάδε ἠχώ. μακρὰ φωνὴ ἀνακλωμένη ἀπὸ στερεῶν καὶ ἀντιτύπων ἐπὶ τὴν προϊέμενον πάλιν ἐπανιοῦσα.

Ἠχροῖ, τῷ ἑαυτοῦ χρωτί. ¶ Ἠχὼ πετρέαν. χωρὸ πάλιν λέγει. οἱ δὲ, τὴν αἴγιναν, ἐπειδὴ ἐκεῖ ὄστρακα πολλά ἐστι, νῆσος δὲ ἡ αἴγινα. ¶ Ἤψατο, ἐλάβετο. προσέφυγεν, παρεκράτησεν. ¶ Ἠψάσατο, ἐψητῷ βάμματι ἐβάψατο. ¶ Ἤψησεν, ἐμαγίρευσεν. ¶ Ἠώα, ἡ κέδρος ἐθνικῶς. ¶ Ἠῶθεν, πρωΐ. ἅμα ἡμέρᾳ ὄρθρῳ. ¶ Ἠῶθι πρό. ὑπὸ ἕω τὴν ὄρθρον, πρὸ ἡμέρας πρὸ τῆς ἀνατολῆς.

Ἠωκοίτων, ὀρθεινῶν ὕπνων.

Ἠῶν. παραθαλάσσιον.

Ἠῷος, ὀρθεινός. ¶ Ἠώρει, ἐκρέματο. ἐκινεῖτο.

Ἠώρητο, ἀπεκρέματο, ἀπήρτητο. ¶ Ἠώς, ἡμέρα τὸ πρῶτον φῶς ἤγουν αὐγή. φῶς. ὄρθρος. τὸ αὐγὸς ἀνατολή, ἡμέρα. καὶ ὁ ἀπὸ ἀνατολῆς μέχρι μεσημβρίας χρόνος, ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ καὶ ὅλη ἡμέρα, ἡ δὲ μὲν ἠὼς ἐνδεκάτη. καὶ τὸ λυκόφως, πάντοχῇ μὲν ἦγε καὶ ἠῶ πεῖρε κέλευθον.

Ἠρένον, ὃν βασιλέα, στρατηγόν. ¶ Ἠρεάνθη, ἰλακάνθη, ἐπανθη. ¶ Ἠρ.μεῖον, ἀρξάμενον, εἰργόμενον, κωλυόμενον. ¶ Ἠρεδαλωμένος, λεπρὸς μεμιασμένος. ¶ Ἠρέμα, ἡσυχῆ. πρᾴως. ἱλαρῶς.

Ἠρει. ἄρχει, καταλάμβανει. ¶ Ἠρεῖ, ὅπισ ῥεῖ, ὅπισ ῥέει ¶ Ἠρεισε, σφοδρῶς κατηγόρει ἐκ μεταφορᾶς τῶν ἐλαυνόντων. ¶ Ἠρεῖπε. ἀπέπτε. ¶ Ἠρέμα, ἀτρέμα, ἡσύχως, χολαίως. ¶ Ἠρεμεῖ, ἡσυχάζει.

Ἤρεμον, ἥσυχον, πρᾶον, ἥμερον. ¶ Ἠρεμῶν, ἡσυχάζων. ¶ Ἦρεν, ἐπῆρεν. ¶ Ἤρεσιν, ἀπείλησιν.

Ἠρέσθαι, κόπτεσθαι τὰς τρίχας. ¶ Ἠρεσίδες, κόραι αἱ λουτρὰ κομίζουσαι τῇ Ἥρᾳ. ¶ Ἠρ' ἐτεόν γε, ὄντως, μεγάλως μετ' ἀληθείας. ¶ Ἠρεπισάμην, ἠπάτησα. ἐπεθύμησα, ἤλλαξα, ἠράσθην. ¶ Ἤρετο, ἠρώτα, ἐπύθετο. ¶ Ἠρεύγετο, ἐμυκᾶτο. ἔβρεξεν.

Ἠρέχθεται, πλανᾶται ἀμηχανεῖ. ¶ Ἠρήκασιν, πεπορθήκασιν καὶ εἴπομεν διὰ τοῦ ε. ¶ Ἠρηκότων, πεπορθηκότων καὶ διὰ τοῦ ει εἰπόντων. ¶ Ἠρηκώς, νενικηκὼς εἰπών. διὰ τοῦ ει. ¶ Ἠρημένοι, ἐκλελεγμένοι. θηλάσαντων, ἐπικειθέντων. ¶ Ἠρήρει, ἐκράτει.

Ἠρήρειστο, ἥρμοστο, ἐστήριξεν. ἐπέπηκτο. ¶ Ἦρης, ἀφρών. ¶ Ἠρήσατο, ηὔξατο, κατηράσατο.

Ἠρηρῶσας, ἐξάνωσας. ¶ Ἦρι, πρωὶ ἀνεῖον ἢ πρὸς ὄρθρον. ¶ Ἠρία, μνημεῖα. ¶ Ἠριγένεια, ἡ τὴν ἡμέραν γεννῶντα, ἢ τὸ ὄρθρον, ἢ τὸ ἦρι γενομένη, ἐπὶ τὸ αἰγύλω, ἡ λέαινα ἠριγένεια. ἢ ἦν τὸ ἀεὶ τίκτουσα, ἢ ἡ ἐν τῷ ἔαρι. ¶ Ἠριγένιον, τὸ ἐφεύσιον πέρι.

Ἠριδανὸς ποταμός. ¶ Ἠριδρύγης, τυμβωρύχος

Ἠριεὶ, νεκρός. ¶ Ἠριθεύετο, ἠργάζετο. ¶ Ἠριθυμέων. φιλοτιμουμένων. ¶ Ἤρικεν, ἐρράγη, διεχύθη. ἔπεσεν. ¶ Ἠρικέπαιος, ὁ Διόνυσος.

Ἠρι μάλα ὄρθρου. ¶ Ἤριμον, νέον. ¶ Ἤριμος. ὀρθρινός. ¶ Ἤριν, χαίρει. ¶ Ἠρισκέλπηξ, ὀρνέου τι εἶδος. ¶ Ἦριν, τὴν ἶριν. ¶ Ἠρινόθερμον, τὸ ἄνεμον. ¶ Ἠρινολόγοι, οἱ τέττιγες. ¶ Ἠρινοτόκου, ἀπὸ τῶν ποιμνίων τῶν κατ' ἔαρ φόρημα τελούντων. ¶ Ἦρι, ἔαρι. ¶ Ἠρινός. ἐαρινός. ¶ Ἤριον, μνῆμα τάφος. ¶ Ἤριπε, κατέπεσεν. ¶ Ἠριπότην, ἡμέραν διὰ ἡμέρας. ¶ Ἤριπεν, ἔχασμα, ἔρρηξεν, ἔπεσεν, ἀνέτρεψε, συνέζευξεν, ἥρμοσεν.

Ἠρισμένος, ἐστηριγμένος. ¶ Ἠρίστιον, ἱμάτιον. ἀμεινὸν. ἀπίστευτον. ¶ Ἠρίφακον, δαμνίσκων Λάκωνες

Ἤρειψε καὶ ἤρειξεν, κατέβαλε, κατέπεσε. ¶ Ἤρριχεν, ἐρράγη. ¶ Ἠρκίομεν, ἐζητοῦμεν. ¶ Ἤρκεσεν, ἐβοήθησε, καὶ ἤρκεσεν. ¶ Ἦρκται, ἤρξατο.

Ἠρμαλώσατο, συνέλαβεν. ¶ Ἠρμανίζετο, οὐκ ἡρμόζομεν. ¶ Ἤρμαζεν. ἐσκέπασεν, ὠχύρωσεν.

Ἠρμένος, ἐπικειθείς. κρεμασθείς. ¶ Ἡρμοσμένου, εὖ κατεσκευασμένου. ¶ Ἤρξατο, συνεφώνησεν.

Ἤρνεν, ἠκούβισεν. ¶ Ἤρνυτο. ἐποίει. ¶ Ἠροικάμαι, κοιλώματα τῆς γῆς. ¶ Ἠροίησεν, ἀπεσόβησεν.

Ἠρόμην, ἐρώτησα. ¶ Ἦρον, εἰρήνην. ¶ Ἤροντο. ἐρώτων. ¶ Ἠροβᾶν. ἦμαρ δολος διὰ ἡμέρας.

Ἦρος, συνήθης. ἐκεχειρία. ἔαρος. ¶ Ἤροσα, ἠρότευσα. ¶ Ἠροσάνθεια. αἰθαλοσία ἑορτὴ γυναικεία. λαμπρά. ἀγομένη ἐν Πελοποννήσῳ κατὰ τὸ ἔαρ.

Ἤροσεν, ἐγέννησεν. ¶ Ἠρόχια, τὰ Θεοδαίσια, οἱ δὲ ἑορτὴν οἱ δὲ ἱερά. ¶ Ἤρου, ἠρώτησας. ¶ Ἠροῦ, κατηροῦ. ¶ Ἠρουστάζον, ἐνύβριζον. ¶ Ἠροῦτο, ἠροτιᾶτο, ἐπείρετο. ¶ Ἠροφίλη, σιβύλλης. ὄνομα.

Ἤρρεεν, ἀπώλλυτο. ¶ Ἠρ' ἔρρηκεν, εἰκῇ ἀφίκται, παρ' Ὁμήρῳ δὲ μετὰ δυσχερείας ἔρρ' ἐκ νήσου θᾶσσον ἐλέγχιστε ζωόντων. ¶ Ἤρσεν, ἥρμοσεν. ¶ Ἤρσαν, ἐπότιζον, ἥρμοζον. ¶ Ἤρτα, ἐκρεμάννυεν. ¶ Ἠρταλέοντο, ὠπλίζοντο. ¶ Ἠρτάμησεν, ἐτάραξε διώκησεν ἤρτυσεν. ¶ Ἤρτηται, κρέμαται. ¶ Ἠρτιάζομεν, ἐπαίζομεν. ¶ Ἠρτήσαντο. ἐτάραξαν, ἡρμόσαντο.

Ἤρτισται, ἥρμοσται, ἀνήρτηται. ¶ Ἦρρ. ἀντὶ τοῦ ἐπῆρρ.

Ἤρτυε παρεσκεύασεν. ¶ Ἠρτύνετο, παρεσκευάζετο, ἡτοιμάζετο. ἡρμόζετο, κατηρτίζετο. ¶ Ἠρτυλιμένος, ἠρτυμένος. ¶ Ἤρυγμα, αἱ καμπυλότητες τῶν σκελῶν καὶ πᾶσι εἶδος. ¶ Ἠρυγγάνετο. ἐλαύνετο. ¶ Ἠρύγγιον, λεπτόν τι κάρφος ἀκανθῶδες ὃ καὶ τὰς αἶγας τοὺς σπόρους εἰώθασιν ἐπιτιθέναι τῷ σίτῳ,

Ἤρυγεν, ἐμυκᾶτο ἔπτυεν. ¶ Ἠρύγετο, ἐπτύετο, ἐμυκᾶτο. ¶ Ἠρυγκήθημεν, ἐμπεφορήμεθα, εἰλήφαμεν.

Ἤρυγεν, μυκώμενος. ¶ Ἠρυθύετο, ἐφιλονείκει.

Ἠρυθροδάνωται, πεπύρωται, κεκοκκίνωται.

Ἠρύκακεν, ἐκώλυεν. ¶ Ἠρύκαλον, τὸν Ἡρακλέα σώφρον ὑποκοριστικῶς. ¶ Ἤρυκεν, ἐκώλυεν.

Ἤρυλλον, ὑποκοριστικῶς τὸν Ἡρακλέα. ¶ Ἠρύσατο, ἤντλησεν. ¶ Ἤρυσεν, ἐβόησεν, ἢ ἐβόα ἐμυκᾶτο ἰδίωμα φωνῆς. ¶ Ἤρυτο, ἐρύετο. ¶ Ἤρυτεν, ἐπὶ τῶν λουομένων, ἤντλει. ¶ Ἤρχατο, καθεῖρκτο.

Ἤρχεν, ἦγεν, κατῆρχεν, ὠφέλει. ¶ Ἦρχεν, ἀντὶ τοῦ ἦρξαν. χειρῶν ἀδίκων. ¶ Ἠρωαί, αἱ λεγόμεναι, ἔννοιαι.

Ἠρῷεον, μνημεῖον. ¶ Ἥρωες, οἱ διαφέροντες ἀρετῇ ἡμίθεοι ἄνδρες, γενναῖοι. ¶ Ἠρώησαν, ἀνεχώρησαν, ὑπεχώρησαν, ὑστέρησαν, ¶ Ἠρωήσουσιν, μεθύσουσιν. ¶ Ἠρώπλει, σκώπτει. ¶ Ἡρώς, δυνατῶς. ἰσχυρῶς, γενναίως, σεμνῶς. ¶ Ἡρῶς, ποικίλως, ἐπὶ τῶν μεμαστιγωμένων, ἢ ὄφεις. ¶ Ἡρωτιζεν. ἠρώτων. ¶ Ἡρώων, πάντων τῶν κατ' ἐκεῖνον χρόνον ἀνθρώπων, τρίτη δὲ κρατῆρα κεράσασαν μοῦλιος ἥρως.

ΤΟ Η ΜΕΤΑ ΤΟΥ Σ.

Σ, ἄρθρον θηλυκόν, ὑποτακτικὸν ἀντὶ τοῦ τῆς συναθροιζομένης ἀντωνυμίαν δηλούσης, ὡς τὸ πλεῖστον μὲν κατὰ χαλκὸς ἔχευεν. ἐπὶ τοῦ ἑαυτοῦ ἢ τοῦ ἑαυτῆς ὡς οὐδὲ οἱ ἠλύκιον ἐς πατρίδος οὐδὲ ῥηκέων. ¶ Ἧσαι, πέπαυσαι. καθίζη. ¶ Ἧσαν. ὑπῆρχον, ἐκάθισαν ἢ ἔασαν. ¶ Ἧσαν, ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι, παροιμία ἀπὸ χρησμοῦ ἐπὶ τῶν προηγησάντων.

Ἧσας, ἰάσας, ἢ ἐπὶ τοῦ ἰάσασθαι καὶ θεραπεῦσαι, ἢ χάριν ἐποίησας. ¶ Ἥισαν, ἔκτισαν ἵδρυσαν. ἐκάλεσαν, ἐπεχράσατο, ἤσθη εὐφράνθη διεχύθη.

Ἥσειν, πέμψειν, θεραπεύσειν, ἀφήσειν, τέρψειν, κορέσειν.

Ἤισιν, ὕμνησιν. ¶ Ἧσεν, εἴασεν, ἐκάθισεν. ¶ Ἥσθα, ἦς, ὑπῆρχες. ¶ Ἧσθαι, ὑπάρχετε, καθίζετε.

Ἡσθείς. τερφθείς. χαρείς. ¶ Ἥσθη, ἐπειράσθη ἔτερπε, ἐθεώρει. ¶ Ἥσθην, ἐχάρην, ἐκαθίζοντο δυϊκῶς.

Ἠσθω, ἐνόχλει, ἔστως. ¶ Ἧσι, φησὶ λέξει καὶ ἦσι.

χεῖσ, ἐλαύνεις, ἵππους ὀδηγεῖς. ¶ Ἡνιόχησον, διοί
κησον, οἰκονόμησον, κυβέρνησον. ¶ Ἠνίπαπε, διὰ
λόγων ἐπλήξεν καὶ καθήψατο, ἐλοιδόρησεν.
Ἥνεις, ἐνιαυσίας ἀδαμάστους. ¶ Ἤνησεν, ἐκέλευσεν.
Ἤνεισται, προσηνέχθη, προσήνεκται. ¶ Ἥνοψ, οἶνοψ.
Ἤνοπα λαμπρόν. πάνυ ἔνιοι διαφανῆ τὸ ὄνομα κύει
σι. ¶ Ἠνορέην, ἀνδρείαν εἶδος ἀρετῆς. ¶ Ἠνορέη
φι, τῇ ἀνδρείᾳ. ¶ Ἤνορεν, ἦλθον. ¶ Ἠνρά. ὥρ
τινα δή. ¶ Ἤνται, κάθηνται. ¶ Ἤντεον, ἀπήν
των. ¶ Ἤντετο, ἀπήντησε, συνήντα, ἤντησεν.
Ἤντησα, συνήντησα, ἀπήντησα. ¶ Ἠντία, ἀντεῖχε.
συνήντα. ¶ Ἠντιάσας, συναντήσας, ἀπαντήσας.
Ἤντησεν. ἀπήντησεν, ἱκέτευσε. θουκυδίδης δὲ τὸ ἠντιώμε
θα, ἀντὶ τοῦ ἐναντιούμεθα. ¶ Ἠντιβόλει, παρεκάλει.
Ἥν τινα, ἐάν τινα. ¶ Ἦντο, ἐκαθέζετο.
Ἤν τοι, ἐάν σοι. ¶ Ἤντετο, ἀπήντησεν. ¶ Ἢν ὅπη τ'
ἴσκω. ἔν τινι ποτὲ, ἴσκω. ¶ Ἦνυ, ἢ ἄρα. ¶ Ἢ νῶν,
ἢ ἀντὶ τοῦ προόνος. ¶ Ἤνυσμαι, πεπόρθημαι.
Ἤνυσεν, ἐπέρανεν, ἐπέρασεν, ἐτέλεσεν, ἐξέτεινεν, κατέβα
λεν. ¶ Ἤνυστρα, αἱ κοιλίαι τῶν βοῶν, ὁ δὲ παχὺ
μέρος αὐτῶν. ¶ Ἤνυστρον, ἡ πρώτη κοιλία τῶν
μηρυκαζομένων ζώων οἱ δὲ ὑπογάστριον ὀνομάζουσιν
οἱ δὲ τὸ κόλον. ¶ Ἤνυτον, ἤνυον, ἐτέλουν. ¶ Ἠνώ
γεα, ἐκέλευον. ¶ Ἠνώγει, ἐπιτάσσει, κελεύει.
Ἠνώγεν, ἐκέλευον. ¶ Ἤνωρ, ἀρχὴν εἰσελθόντος πα
ρουσία. ¶ Ἠνῶσθαι, συνῆφθαι. ¶ Ἦξαι, ἐλεύσε
ται. ¶ Ἤιξεν ἢ ἔιξε. συνεπείσθη ὑπήκουσεν.
Ἠξίου, παρεκάλει. ¶ Ἠξίωσε ναίειν. ἄξιον ἡγήσατο οἰ
κεῖν. ¶ Ἠ ὁδόν. ἡ ἀντὶ ὅλον ὁ εἰς ἔνεδραν. ¶ Ἠ
οί, οἵ τινες ἀληθῶς. ¶ Ἠοῖ, τῇ ἡμέρᾳ. ¶ Ἠοῖα,
ὁ κατάλογος ὁ ἡσιόδου. ¶ Ἠοίον, ὀρθρείαν, ὃ τὴν πρὸς
ἀναβολὴν, ἤτοι ἀπὸ πρωΐας μέχρι μεσημβρινῆς ὥρας
χρόνον. ¶ Ἠοίην, τὴν ἀδώνιν πανύασις.
Ἠόμεθα, πορθούμεθα ἢ ἐπορθούμεθα. ¶ Ἠόνησε, ἐλέ
λουν, καὶ ἤντλει. ¶ Ἠόνησας, κατήντλησας.
Ἦους, ἡμέρας. ¶ Ἢ οὐχ ἅλις, ἢ οὐχ ἱκανόν.
Ἠπανᾷ, ἀπορεῖ, σπανίζει. ¶ Ἠπανία, ἀπορία, ἀμηχα
νία. ¶ Ἠπανεῖ, ἀπορεῖ, σπανίζει. ἀμηχανεῖ.
Ἧπαρ, ἔξω τοῦ σπλάγχνου, ὁ βαθύγειος γῆ καὶ ὕπαρ ἀ
λήθεια. ¶ Ἠπάντηνται, πεπλάνηνται.
Ἠπατικὸς, ὁ τὸ ἧπαρ ἀλγῶν. ¶ Ἠπάφεν, ἀπάτησεν
ἐχλεύασεν, ἐπλάνησεν. ¶ Ἠπεδανός. οἷον ἀπαίδα
νος ὀργῶν ἄποις χωλὸς ἀσθενὴς ἀναίσθητος ἠλίθιος.
Ἠπεδίζειν, ὁμαλίζειν, ἐδαφίζειν. ¶ Ἤπια, μαλθα
κά, προσηνῆ. ἤμερα. ¶ Ἠπείθησαν, οὐκ ἐπείσθησαν.
Ἠπείθησεν, ἀντεῖπεν. ¶ Ἠπείλησεν, ηὔξατο, ἐκαυχή
σατο, ὠρίσατο. ¶ Ἠπιόδωρος, ὅ ἤπια καὶ προσηνῆ
δωρουμένη κατὰ τὴν τροφήν. ¶ Ἠπείροιο μελαί
νης. τῆς ἀκαρνανίας. ¶ Ἤπειρος. γῆ. χέρσος. πᾶ
σα ἡ ἔρημος, καὶ ὅλος ἄπειρος. ¶ Ἠπειρώτης, ὁ ἐν
γῇ οἰκῶν. ¶ Ἠπεροπεύειν, ἐξαπατᾶν, καὶ ψευδέσιν
ὅρκοις παραλογίζεσθαι. ¶ Ἤπερ δὴ, ὅν τρόπον δή.
Ἠπερόπευεν, ἐξηπάτα. ¶ Ἠπεροπεύοντα. ἐξα
πατῶντα. ¶ Ἠπεροπεύσας, ἐξαπατήσας.
Ἤπερ οὖν, ὥσπερ εἰ καθάπερ οὖν. ¶ Ἤπετο, ἠκολού
θει. ¶ Ἠπέφαται, ἀπεφόνευται. ¶ Ἠπειγμέ

νως. συντόμως. σπουδαίως. ¶ Ἤπυ με, ἀρά με,
ὃ ποῦ με. ¶ Ἤπια. πραέα, προσηνῆ. μαλθακά. ἥμε
ρα. χρηστά. ¶ Ἠπίαλος, ῥῖγος, πρὸ πυρετοῦ ἐκαλοῦν
το δὲ οὕτω καὶ ψυχροί. ¶ Ἠπιάλων, ῥιγῶν, τὸ γὰρ
πρὸ τοῦ πυρετοῦ ῥῖγος ἠπίαλον φασιν. ¶ Ἠπιάρ
γυρον, τὸ βάλσαμον. ¶ Ἠπιόθη, ἐπεπεινώθη.
Ἠπιόδωρος, ὅ ἤπια τὰ χρηστὰ καὶ προσηνῆ δωρουμένη με
τὰ τὴν τροφήν. ¶ Ἠπιόλιον, ῥιγοπυρέτιον.
Ἤπιον, προσηνές. πρᾷον. ἥσυχον. μαλθακόν. ἐπιεικῆ.
ἥμερον. ¶ Ἠπιότεια, ῥᾳστεία. ¶ Ἠπιώτατη,
πραότατη. ¶ Ἠπίταδες. ἐπίτηδες. ¶ Ἠπιστά
μην, ἠδυνάμην. ᾔδειν. ¶ Ἠπίστησαν, ἠπείθησαν οὐκ
ἐπείσθη. ¶ Ἠπίως, πράως. ¶ Ἠπιοτάτως, πρα
οτάτως. ¶ Ἤπλακεν, ἥμαρτεν. ¶ Ἠ πληθύς,
ἡ ἐν τῷ πλήθει. ἢ πλῆθος. ¶ Ἠπόθεν, ἀντὶ τοῦ ποῦ
Ἠπόρει, ἠμηχάνει. ¶ Ἤπου, ὄντως, ποῦ.
Ἠπύα, φωνῆ. ¶ Ἤπυεν, ἔκραξεν, ἦχει, ἐκόρυσεν.
Ἠπύτα, φωνητής. βοητής. κῆρυξ μεγαλόφωνος.
Ἠ πυμάτη θέειν. ὅ τις ἐσχάτη ποδὶ ἔτρεχεν. ¶ Ἤπυσεν,
ὤχησεν, ἐσάλπισεν. ¶ Ἠπυτίδης, ὁ ἠπύτου υἱός.
Ἤερ, τὸ ἔαρ καὶ τὸ πρωΐ καὶ ὁ ῥᾷ ἀντὶ τοῦ ἄρα καὶ ὅρα τὸν
ἀέρα καὶ ἔραν τὴν γῆν, ὁ ἀλκὴ καὶ οἶνος.
Ἠρα. ὁ ῥᾷ. ὄντως ἢ ἔφη καὶ ἦρα. ὁ χάριν. βοήθειαν. ἐπι
κουρίαν, παρὰ τὸ φίλῳ ἐπὶ ἦρα φέρων δὲ. ¶ Ἠ ῥᾷ
ἄν, ἄρα ἄν. ¶ Ἠράβησεν. ὤχησεν. ¶ Ἠραίνει,
λορεῖ ¶ Ἠραιον, ἡρακλέα. ¶ Ἠ ῥὰ καὶ δὴ οὕτως
εἶπεν, ἢ ῥὰ καὶ ὑπὸ ὀχέων, οὕτως εἶπεν καὶ ἐκ τῶν ἁρμά
των. ¶ Ἤρακεν, ἠνίασεν. ¶ Ἡρακλεία λίθος,
ὃν ἔνιοι μαγνῆτιν λέγουσιν οὐκ ὀρθῶς διαλλάττουσι γάρ,
καὶ ὁ μὲν ἐπισπωμένη τὸν σίδηρον, ἡρακλεία ἐστὶν, ἡ δὲ
ἑτέρα παραπλήσιος ἀργύρῳ, ὥστε πλάτον ἁμαρτά
νει τὴν αὐτὴν, ὑπολαμβάνειν μαγνῆτιν καὶ ἡρακλεί
αν ἐμ ἴσῳ. καὶ παρ' αὐτοῖς ἀλλαχοῦ ἑτέρως καὶ ἑτέραν
φησὶ, κέκληται δὲ οὕτως ἀπὸ ἡρακλείας τῆς ἐν λυ
δίᾳ πόλεως. διὸ καὶ σοφοκλῆς λυδίαν λίθον αὐτὸν
καλεῖ. εἰσὶ δὲ, σιδηρίτην οἱ δὲ ἡρακλεώτην. ¶ Ἡράκλεια
λουτρὰ ἡρακλεῖ πολλὰ μοχθήσαντι φασὶ τὴν ἀθηνᾶν
θερμὰ λουτρὰ ἀναφῆναι, οἷς χρήσασθαι αὐτόν. τινὲς δὲ
καὶ αὐτὸν τὸν ἡρακλέα κατασκευάσαι φασὶν ἑαυτῷ
τὰ λουτρὰ θερμὰ, ἄλλοι δὲ νύμφας αὐτῷ ποιῆσαι
ἐν σικελίᾳ. ¶ Ἡρά. καλον *. τὸν ἡρακλέα εἰς βοή
θειαν ἐκάλουν γινομένης βίας. ¶ Ἡρακλέους θυ
σία, παροιμία ἀντὶ τῶν εἰκῆ τοῖς θυσίαις χρωμένων.
Ἠρανέων, βοηθῶν, χαριζόμενος. ¶ Ἠρανίσθην, ἔρα
νον συνήγαγον. ¶ Ἤρανος, βασιλεὺς, ἄρχων, σκέ
πης φύλαξ. ¶ Ἤραντο, ὤρυντο. ἠρώτων.
Ἠρᾶνυ, ἀρωγή. ¶ Ἠ ῥάνυσι, ἀληθῶς δίσσοι,
Ἤραξεν, ἔσχισε, συνέτριψεν ἔρρηξεν. ¶ Ἤραρεν, ἠρ
φράνθη ἥρμοσεν, εὐπρέπησεν. ¶ Ἠράρομεν, ἡρμόσα
μεν ἡρόσαμεν. ¶ Ἤραρον, ἔφραξαν, ἔδησαν.
ἥρμοσαν. ¶ Ἠρασάμην, ἠράσθην. ¶ Ἠράσιος.
μὴν παρὰ λάκωσιν. ¶ Ἠ ῥά τιμοι, ἀληθῶς δή μοι
περίτιμοι. ¶ Ἠ ῥά τί οἱ, ἄρα τι αὐτῷ.
Ἠ ῥά τι οὐχ ὅ, τι δὴ ποτε. ¶ Ἤρατο, προσπεξυντέ
νως μὲν, ἔλαβεν, ἀπηνέγκατο· προσπολεμῶν ὁμοίως δὲ,
ἠρᾶτο εὐχόμενος κατηρᾶτο.

Ἡμβροῖ, πραΰνει. ¶ Ἡμεροκαλὲς, τῶν ἀνθέμων ἄνθος ἢ στεφάνωμα. οἱ δὲ εἶδος ἔμμα φοινικοῦν, οἱ δὲ ἄνθος πρὸς μίαν ἡμέραν ἀκμάζον. οἱ δὲ τὴν νάρκισσον βοτάνην. ¶ Ἡμερόκοιτος, ὁ κλέπτης. ¶ Ἡμερολόγιον, μέρος τι τῶν περὶ τὴν κύστιν. ¶ Ἥμερον, τὸ ἔλαιον. ¶ Ἥμερος ὕλη, ἡ λεπτόφυλλος δρῦς.

Ἡμερώτατος, πραΰτατος. ¶ Ἡμεροῦν κράτης, τὸ τὴν γῆν ἐξημεροῦν καὶ ἐργάζεσθαι. τιθέασι δὲ καθόλου ἐπὶ τοῦ γεωργεῖν τὴν λέξιν. ¶ Ἥμερσιν, ἐστέρησεν ἀφείλετο, τὸ δὲ αὐτὸ καὶ ἡμάρτησεν.

Ἡμεροαλίας, ῥὶς ἐν αὐλῇ διακόνοις. ¶ Ἡμεροφρεῖν, ἡμεροφυλακτεῖν. ¶ Ἡμεροπεμψάμενοι, πραΰναντες.

Ἡμέων, ἡμῶν. ¶ Ἡ μὲν, ἀλλὰ δή. ἀλλ᾽ ὅμως. οὕτως δὲ καὶ ἦμαι ἐκαθήμην. ¶ Ἤμυεν, ἤμαξεν.

Ἡμέχορτον, εἶδος ἄρτου ἡμικυκλοειδές.

Ἡμείρετο, ἀπεκρίνατο. ¶ Ἡμιεφθὸς, ἡμίκαυστος.

Ἡμιδαρεικόν, νόμισμα ποιόν. ¶ Ἡμεδαπὸς, ἐπιχώριος ἡμέτερος. ¶ Ἡμίδεα, τὰ οὐχ ὁλόκληρα.

Ἡμιδιπλοΐδιον, ἱμάτιον μικρόν. οἱ δὲ ἀναβόλαιον γυναικεῖον σύμμετρον. ὅπερ ἐνδεδυμέναι ἐφόρουν.

Ἡμιδιδάκαρπον, τὸ ἡμίχουν. ¶ Ἡμίεκτον, τὸ τετραχοίνικον, ὅ ἐστιν ἥμισυ τοῦ ἕκτου. ὁ γὰρ μέδιμνος χοινίκων τεσσαρακονταοκτώ, οὕτως ἕκτον ὀκτὼ χοίνικες καὶ τὸ ἡμιωβέλιον. ¶ Ἡμικόλλιον, μέτρον οἴνου, οἱ δὲ ἡμιχοίνικον. ¶ Ἡμίζωστον, ἡμίπλεθρον, ἡμίκρανα, ἡμικεφάλαιον, σιαγόνος τὸ ἥμισυ.

Ἡμικύκλιον, ἡμισφαίριον. ¶ Ἡμίκυπρον, ἥμισυ μεδίμνου. ¶ Ἡμιλάμιον, μέρος μεσοπορίου.

Ἡμιμαλλόνες, μαινάδες, νύμφαι αἱ βάκχαι.

Ἡμιμέδιστον, ἡμίμναιον. ¶ Ἡμιμίεξρον, ὕφασμα ὃ ἐκαλύπτετο. ¶ Ἡμίνα, κοτύλη. ¶ Ἥμιν χοῖνιξ. ἤ τις αὐτῶν. ¶ Ἡμιν ἀπὸ ἀφ᾽ ἡμῶν. ¶ Ἡμιόγδοον, ἡ δύο χορεῖς. ¶ Ἡμιολία, ἡ δίκροτος ναῦς τὸ ἥμισυ τοῦ κεφαλαίου. ¶ Ἡμιόλιον, πλεῖον μικρόν. ¶ Ἡμιόλιος, δίκροτος. καλεῖται δὲ καὶ ἀριθμός τις καὶ λόγος ὁ τὸ ὅλον καὶ ἥμισυ ἔχων.

Ἡμιόνιον, πόας εἶδος καὶ ὄρνις ποιός. ¶ Ἡμίονος, ὀρεύς. ¶ Ἡμίοποι, οἱ μὴ τέλειοι αὐλοί, τίθεται δὲ καὶ ἐπὶ ἄλλων μὴ τελείων. ¶ Ἡμίοπος, αὐλὸς ὁ ὑποτεταγμένος τῷ τελείῳ, μεταφορικῶς δὲ ἡμίσεως θράσεως. ¶ Ἡμιπέλεκκα, τὰ μὴ ἑκατέρωθεν ἰσομεγέθη. ¶ Ἡμιπέλεκκον, τεμνόμενον ἢ τέταρτον μναῖον. ἢ πεντάμνουν, τὸ γὰρ δεκάμνουν πέλεκυς καλεῖται παρὰ παφίοις. Ἡμιπέλεκκας, πέλεκας μονοστόμους. ¶ Ἡμίπολον, τὸ ἥμισυ τοῦ πόλου ἤτοι τοῦ οὐρανοῦ. ¶ Ἡμίσεας, τὸ ἥμισυ μέρος.

Ἡμισκελόθεντος ἐξ ἡμίσεος σκελισμένον, ἀσαλεύονται μετὰ κινήσεως. τάσσονται δὲ ἐπὶ τῶν μεθυόντων.

Ἡμισύκλιον, νομισμάτιον.

Ἥμισυ, ἢ ἥμισυ τὸ ἡμίεκτον, καὶ συνημμένως ἥμισυ, τὸ ἡμίεκτον ἔστι δὲ καὶ νόμισμά τι. ¶ Ἡμισύβλαστον, ἡμισύσκυλον. ¶ Ἡμισύτειρον, δύο ἥμισυ ἀρχίλοχος. ¶ Ἡμιτελὴς, ἡμιτελής. ¶ Ἡμίτομον, τεμάχιον. ¶ Ἡμίτμημα, ἔκτμημα. ¶ Ἡμιτύβιον, λινοῦν ἔνδυμα. ἢ σινδόνιον. δίκροτον.

Ἡμιτύγια, τὰ ἡμισυλλαφάλη λάκωνες.

Ἡμιτύμπανισ, ἡμιθανής. ¶ Ἡμιφάριον, ἥμισυ ἱματίου. ¶ Ἡμίφαρον, ἥμισυ. ¶ Ἡμὶ, φημί. ἔνιημι. ¶ Ἡμείφθη, ἠλλάχθη. ¶ Ἡμίφλεκτος, ἡμίκαυστος. ¶ Ἡμιφώστιον, σινδόνιον ῥάκος.

Ἡμίχα, ἡμισκατῖρα. ¶ Ἡμίχους, μέτρον μεδίμνου τέταρτον. ¶ Ἤμειψα. ἤλλαξα. ¶ Ἡμιωβόλιον, τὸ ἥμισυ τοῦ ὀβολοῦ. ¶ Ἡμίωπον, ἐξωμίδα.

Ἡμμένοι, συνημμένοι, κατέχοντες. ¶ Ἡμοιρικοὶ, μὴ μετέχοντες. ¶ Ἥμονες, ἀκοντισταί, ῥήτορες ὀρχησταί. ¶ Ἡμορίς κενή. ἐστερημένη αἰχμάλωτος νιόβη.

Ἥμορξεν, ἄμοιρον ἐποίησεν. ¶ Ἥμορος, ἄμοιρος.

Ἦμος, ἡνίκα, ὁπηνίκα, ὅτε. ¶ Ἥμων, ἐθέριζεν.

Ἡμοσύνη, βλῆσις, ἀκόντισις, ἐμπειρία. ¶ Ἡμάτιον, ἐν αὐτῇ τῇ ἡμέρᾳ. ¶ Ἡμπίσχετο, περιέσχε, περιέβαλεν. ¶ Ἡμπίσχεν, ἐνεδύσατο, ἐφόρησεν. περιεβάλλετο. ¶ Ἡμπισχόμενον περιβαλλόμενον.

Ἤμπακεν, ἠδίκηκεν, ἥμαρτεν. ¶ Ἤμπλακες, ἀπέτυχες, ἠδίκησας, ἥμαρτες. ¶ Ἡμπολημένον, ὠνητόν. ¶ Ἡμπόλησεν, ἀπέδοτο. ¶ Ἡμύει, κλίνει. πίπτει, πνίγει. ¶ Ἡμύναρ, ἐτιμωρήσατο, ἐξεδίκησεν. ¶ Ἡμύνατο, ὑπερεμάχουν. ¶ Ἡμύσειε. κλιθείη, πέσοι. ¶ Ἠμφαγνόουν, ἐδίσταζον ἐπιγνῶναι. ¶ Ἤμυσεν, ἐξέκλιναν. ¶ Ἠμφιάζεσαν, ἐφόρησεν. ¶ Ἠμφίεσαν. περιέσαν. ¶ Ἡμωδίαν, αἱμωδίαν. ¶ Ἡμωδίασεν, ἐνάρκησεν, αἱμωδίασεν. ¶ Ἦν, ψιλούμενον μὲν καὶ περισπώμενον ῥῆμα σημαῖνον ἀντὶ τοῦ ὑπῆρχεν.

Ἣν δασυνόμενον δὲ καὶ ὀξυνόμενον. ἄρθρον θηλυκὸν ὑποτακτικόν. καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου ἣν, τὴν ἑαυτοῦ, ἢ τὴν ἰδίαν. ἣν ἀρετὴν διαείσεται, τὴν ἑαυτοῦ ἀρετὴν διαγνώσεται. ¶ Ἦνας, κύψας. ¶ Ἤνασσεν, ἐβασίλευσεν. ¶ Ἠνάτην, τὴν ἑαυτοῦ βλάβην. ¶ Ἥνδανεν, ἤρεσκεν καὶ ἥνδανεν ηὔξανεν, ὡς τὸ ἥνδανε θυμῷ. ἤγουν ἤρεσκε τῇ ψυχῇ. ¶ Ἦν δ᾽ ἐγώ, ἔφην τὸ ἐγώ. ¶ Ἠνδραποδίσατε, κεκλόφατε. ¶ Ἠνδρωμένη, ἀνδρὸς πεπειραμένη ἡ παῖς γὰρ ἡ μὴ παῖς ἐστιν ὡς ἠνδρωμένη, ἀντὶ τοῦ συνελθοῦσα ἀνδρί. ¶ Ἠνέγκαμεν δόξαν, ἠνέγκαμεν δόξαν. ¶ Ἠνέγκαντο. ἠνέγκαμεν.

Ἤνεις, ἐνιαυσίας τῇ ἡλικίᾳ ἀδαμάστους. αὐξοῦνται γὰρ δαμαζόμεναι. ¶ Ἠνεκὲς, μακρὸν δι᾽ ὅλου.

Ἠνεμόεντες, ὀχῶδες. ¶ Ἠνεμόεν, ὑψηλὸν μετέωρον.

Ἠνεμόεσσα, καταπνεομένη ὑπὸ τῶν ἀνέμων.

Ἠνεμόεσσα ὑψηλή, καταπνεομένη ἀνέμοις.

Ἤνεμος, ἄνεμος. ¶ Ἠνεοθηλὸς, νεωστὶ βλαστήσας.

Ἠνίπαπεν. ἐπέπλησσε, συγκατετίθετο. ¶ Ἠνίπαπεν, ἐπέπληξεν. ¶ Ἤνερθεν, κάτωθεν. ¶ Ἤνεσε, συγκατετίθετο ἢ κατένευσε. ¶ Ἤνεσχεν, κατεδέξατο.

Ἠνίγξατο, ὑπερηφάνησεν. ¶ Ἡνία, λῶρα χαλινοῦ ἐξουσία. ¶ Ἠνίασεν, ἐλύπησεν, ἔθλιψεν.

Ἡνίαις, χώροις, τόποις. ἢ λώροις τῶν χαλινῶν. ¶ Ἡνιάσι χαλῶντα λῶρα ποικιλμένα. ¶ Ἡμιδάτ. ρος. ἡμι

Ἡνίκα, ὅτε ἢ ὅταν. ¶ Ἠνίξατο, ὑπεσήμαινεν. (φανῆς.

Ἡνιοπεία, ὄνομα κύριον. ¶ Ἡνοπι. λαμπρῷ.

Ἤνιος, τελείου, νέου παρὰ τὸ ἤνις. ¶ Ἡνιοχεράτης. διδάσκαλος ἱππικῆς τῶν νέων λάκωνες. ¶ Ἡνιο

Ἠλεώτερος, ὁ μάταιος. ¶ Ἠλιθμῶ, κηλιθμῶ.
Ἠλάλαρ, ἐπηύγει, ἐμπέπηγεν, ἦλθε, περιεχύθη.
Ἠλιάδες, αἱ κατέχουσαι. καιναί. ¶ Ἠλιαίης, θέρμης, αὐγῆς. ¶ Ἡλιαία, τὸ δικαστήριον, διαφέρει δὲ ἐκκλησία ἡ βουλὴ καὶ ἡλιαία. ¶ Ἡλιάσαι, ἐν τῷ ἡλίῳ ἁπλῶσαι, ἢ θερμαίνεσθαι ἐν ἡλίῳ. ¶ Ἠλίβατον, ὑψηλόν, ἄβατον, ὡς ἔστιν ἀλιτεῖν βαίνοντα διὰ περίβασιν, ἄλλοι δὲ ἣν ἥλιος πρώτην βάλλει. οἱ δὲ, τὴν ἁλὶ βεβηκυῖαν. στησίχορος δὲ, τάρταρον ἠλίβατον τὸ βαθὺ λέγει, ἔνιοι ἠλίφαρον ἀπὸ τοῦ διάσπειν ἡλίῳ φαινόμενον. ¶ Ἠλίβατος, ὑψηλή.
Ἠλιβάτοισιν, ὑψηλοῖς. ¶ Ἠλίγνυς, ὁ καπνός.
Ἠλίζοντο, ἠθροίζοντο. ¶ Ἤλινεν, κατέκλωσεν.
Ἤλιθα, ἀθρόως, δαψιλῶς, χύδην. παρὰ τὸ ἅλις. οἱ δὲ μάτην. εἰκῆ. ¶ Ἠλίθιον, μάταιον. ἀναίσθητον, μωρόν. ἀνόητον, ἄφρονα. ¶ Ἠλιθιότης, παντελῶς ἀπόνοια. ¶ Ἥλικα, ἴσα τῷ χρόνῳ. ¶ Ἥλικες ὁρχεῖς. ¶ Ἥλισκεν, ἔπεσεν. ¶ Ἡλίκην, μεγάλην τηλικαύτην. ¶ Ἡλικία, μέγεθος σώματος μεῖζον τι. ¶ ἡλίκον, ποταπόν. μέγα, ὁποῖον.
Ἠλίνδησε, κατέπεσεν. ¶ Ἠλινδημένη, γεγυμνασμένη. ¶ Ἧλιξ, ἡλικιώτης. ¶ Ἡλιόκαυστος, κεκαυμένος ἐν τῷ ἡλίῳ. ¶ Ἦλις, ὄνομα πόλεως.
Ἥλιος, ὁ θεὸς καὶ τὸ ἄστρον, καὶ ἡ αὐγὴ καὶ τόπος ἐξ οὗ καὶ ὁ ἥλιος ἀνατέλλει. διὸ δὲ τὸ μεῖζον τρισυλλάβως ἐνίοτε. τὸ γὰρ πλεῖστον τετρασυλλάβως, ἠέλιος.
Ἠλιτημένοις, μεμολυσμένοις, ἠρτυμένοις.
Ἡλίσκοντο, ἐλαμβάνοντο, εὑρίσκοντο. ¶ Ἤλιτεν, ἥμαρτεν, ἠδίκησεν, ἠσέβησεν. ¶ Ἠλιτήσαντες, ἁμαρτήσαντες. ¶ Ἠλιτόμηνα, ἐλαττούμενα τοῖς μησίν.
Ἠλιτόμηνος, ὁ μάτην ἐγκαλῶν. ¶ Ἠλιτόμηνον, πρόωρον, ὠμόν, οὐκ ἐν τῷ δέοντι μηνὶ τεχθέντα, λειπόμενον, τὸν ἀλιτόντα, καὶ διημαρτηκότα τῶν μηνῶν ἐν τῇ κυήσει. ¶ Ἠλκάζοντο. ἠμύνοντο. ¶ Ἥλκησεν, ἑλκοποίησεν, εἵλκωσεν. ἢ ὠδύνησε τὴν ψυχὴν ἢ μετὰ βίας καὶ ὕβρεως εἵλκυσε καὶ ἐβιάσατο.
Ἤλλαξεν, ἄλλον ἐξ ἄλλου ἐποίησεν. ¶ Ἧλος, ἧλοι λόγχας. καρφία, κέντρα. ¶ Ἠλόα, ἔτυπτε δράγματα ἔτριβεν. ¶ Ἦλοι, φρόνεοι ἐπίβουλοι.
Ἧλον, κατακεκαυμένον, λάγνον. ¶ Ἧλοι, καρφία σίδηρα. ¶ Ἧλος, τόπος οὕτω καλούμενος ἐν ᾧ οὐδὲν φύεται. καὶ τὸ μαινόμενον καὶ ἐπίβουλον, καὶ σύμπτωμα ἐν σώματι γενόμενον. ¶ Ἤλυθεν ἐφοίτα.
Ἠλυγή. σκιὰ καὶ ἐπηλυγισμός, ἐπισκιασμός, σκότος.
Ἠλυγισμένος, κεκρυμμένος, ἐπισκιασμένος. ἠλυγὴ δὲ ἡ σκιὰ ἢ τὸ σκότος. ¶ Ἠλύγων, ὀρέων ἐν σκότῳ κατεχομένων. ¶ Ἠλυκῆσαι, ταράξαι, φράξαι.
Ἤλυθον, ἦλθον παρεγένοντο. ¶ Ἤλυξεν, ἐξέφυγεν, ἐξέκλινεν. ¶ Ἠλύθη, ἔπεσεν. ¶ Ἠλυσίη, ὁδός.
Ἠλύσιον, μακάρων νῆσος. εἴρηται δὲ ἐν ἴσῳ τὸ οὐ λύσιον. ὅπου οὐ διαλύονται ἀπὸ τῶν σωμάτων αἱ ψυχαί, καὶ οἱ μὲν φασὶ περὶ αἴγυπτον εἶναι, οἱ δὲ περὶ λέσβον. ἄλλοι κεκεραυνωμένον χωρίον ἢ πεδίον. τὰ δὲ τοιαῦτα εἰσὶν ἄβατα. καλεῖται δὲ καὶ ἐμπλύσια. πολέμων δὲ ἀθηναίοις φησί, καὶ ἄλλοι τινές, τὸ κατασκαφὲν χωρίον ἢ ἱερόν, καὶ περὶ διαιτος.

Ἤλυσις, ἔλευσις, πορεία, συνοδος. ¶ Ἦλφεν, εὗρε τιμήν. ηὗρεν, ἦλφον. ¶ Ἥλω, ἐλήφθη, ἐκρατήθη, ἐφωράθη, ἐκλάπη. ¶ Ἥλακεν, ἥττηται.
Ἠλώμην, ἐπλανώμην. ¶ Ἠλώνη, πόλις ἐν θετταλίᾳ. ¶ Ἡλώκασιν, ἐνικήθησαν, ἐλήφθησαν.
Ἧμα, ἀκόντισμα. ¶ Ἠμαθίη, μακεδονία. ¶ Ἠμαθία, τὸ αὐτό. ¶ Ἠμαθόεις, ἀμμώδης. ¶ Ἠμαθόεντα, τὸν ψαμμώδη ἤτοι πολλὴν ἄμαθον ἔχοντα. ἐξ οὗ ὁ πολύαμμος δηλοῦται ἢ παρ' ὃν ῥεῖ ἄμαθος ποταμός. ἢ μεσημβρινοῦ, ἢ ἀπὸ ἠμάθου ἥρωος.
Ἠμάθυνε, διέφθειρε, κατέσκαψεν. ¶ Ἦμαι, κάθημαι. ¶ Ἥμαθον, ἡμιωβέλιον διώβολον παρὰ κυζικηνοῖς. ¶ Ἦ μάλα, ὄντως λίαν. ¶ Ἠμαλάψαι, κρύψαι, ἀφανίσαι. σοφοκλῆς ὀδυσσεῖ μαινομένῳ. ¶ Ἠμάλδυνεν, ἠφάνισεν. ¶ Ἠμάλιζεν, ηὔξει. ἐποίησεν ἠμάλιον μέγα. ¶ Ἦμαρ, ἡμέρα.
Ἦ μὰν, ἀληθῶς δή. ¶ Ἦμαρ ἀναγκαῖον, τὴν εἰς ἀνάγκην δουλείας ἄγουσαν, τουτέστιν ἀναγκαίαν ἢ κίνδυνον.
Ἤμαρτεν, ἀπέτυχεν. ἠγνόησεν. ¶ Ἡμάρτανεν, ἐπιτύγχανεν. ¶ Ἡμάρταξεν, ἐστέρησεν, ἡμάρτη.
Ἤμασιν, ἀκοντίσμασιν. ἡμέραις. ¶ Ἤματα, δισσῶς μὲν βλήματα, ῥίμματα, ἀκόντια, ψιλῶς δὲ, ἡμέρας ἡμέραι. ¶ Ἤματα πάντα, πάντα χρόνον.
Ἠματίη, δι' ὅλης ἡμέρας. ¶ Ἠμάτιοι, ἡμερινοὶ ἀνθημερινοί. ¶ Ἤματι τῷ, ἐκείνῃ τῇ ἡμέρᾳ.
Ἤματος, ἡμέρας. ¶ Ἠμαυρώθη, ἠμβλύνθη. ἠφανίσθη. ¶ Ἤμβλυνεν, ἐτύφλωσεν. ¶ Ἤμβλακεν, ἠγνόησεν, ἐτύφλωσεν. ¶ Ἤμβροτον, ἥμαρτον.
Ἤμβροτεν, ἀπέτυχεν. ἥμαρτεν. ¶ Ἠμβροτεῖν, ἀποτυχεῖν τοῦ σκοποῦ. ¶ Ἡμέας, ἡμᾶς. ¶ Ἡμεδαποί, ἐπιχώριοι, ὁμόφρονοι, ἐνθάδιοι. ¶ Ἡμεδαπῆς γῆς, ἡμετέρας γῆς. ¶ Ἡμεδαποῖο, ἡμετέρου.
Ἡμεδαπὸν, τὸ ἀντικείμενον, τῷ ἀλλοδαπῷ τὸ ἐπιχώριον, δηλοῖ δὲ καὶ τὸ ἡμέτερον. ¶ Ἠμείβετο, ἀπεκρίνετο. ¶ Ἠμείφθη, ἠλλάχθη, ἠλλάγη. ¶ Ἤμειψα ἤλλαξα. ¶ Ἡμελημένης, ῥᾴθυμος. ¶ Ἤμειβε. ἤλλασσεν. ¶ Ἤμελγα, κατήμελγα. ¶ Ἡμεκτεῖ, δυσφορεῖ. ¶ Ἦμεν, εἶμεν ὑπάρχειν. ¶ Ἡμένη, ἐν κόλποις καθημένη βαστάζουσα. ¶ Ἦκεν, ὄντως ἄν.
Ἡμένη πλειάς, παροιμία ἐπὶ τῶν ἀπλουστάτων κατὰ ἀντεξέτασιν τὴν πρὸς τὰς πολυτελείας πλειάδας.
Ἦ μὲν κλέος ἦδε καὶ ἤδη. παροιμία ἐπὶ τῶν ὁμοίων τῇ περὶ αὐτῶν φήμῃ. ¶ Ἦ μέν μοι, ὄντως μέν μοι. ¶ Ἥμεναι, διά τε φύλλα μακεδνῆς αἰγείροιο, οὕτως ἐφιζάνοι, ἐπὶ τὰ φύλλα τῆς αἰγείρου ἀλλήλων ἀπέχεται, οὕτω καὶ αἱ ἀλκίνου θεράπαιναι προσεῖχον τοῖς ἔργοις πάνυ, ἀλλήλων ἀπεχόμεναι, ἢ ὥσπερ πυκνὰ τὰ τῆς αἰγείρου φύλλα, οὕτω κἀκεῖναι θλιβόμεναι ἐνθέρισαν.
Ἠμεμάασι, προθυμοῦνται. ¶ Ἥμενον, καθήμενον.
Ἡμέρα, ἀρτέμιδος ἐπίθετον. ¶ Ἡμέρα, τὰ γενέθλια. ¶ Ἡμέρειον. ἀνθρώπινον, ἢ ἀνθρώπινον.
Ἡμερίς, ἄμπελος ἀπὸ τοῦ ἐξημεροῦν ἡμᾶς, καὶ ἡ κνίδος. τινὲς δὲ ἀνάδενδρον καὶ ἐλαίαν. ¶ Ἡμερίσιν ἀμπέλοις. ¶ Ἡμερίων, ἀνθρώπων. ¶ Ἡμερόδρυς, εἶδος δρυός. ¶ Ἡμεροδρόμης, ἀλλοιοειδὴς ὡς ὁ ἥλιος.

γένος σικῶν περὶ πάρθοις. ¶ Ἠζάνθη, ἐξηράνθη.
Ἤ ην, ἦν ὑμῖν. ¶ Ἠὴρ, ὁμίχλη. ¶ Ἠΰτε, ἐπίρρημα.
Ἠ θάδος, συνήθεις, τινασοί. ¶ Ἠθάς, πιθασός. γνώρι
μος. συνήθης. ¶ Ἠθᾶτο. ἐπικαίετο, ἐμελαίνετο.
Ἤ ιθε, ὤφελον. ¶ Ἤθεα, τοὺς συνήθεις τόπους καὶ δια
τριβάς. ¶ Ἤθεα δηρῶν, ὄρεια ζώων.
Ἠ θεῖε προσφώνησις νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύ
τερον, οἱ δὲ, ἀδελφὲ ἤ ἐστι φίλτατε. ¶ Ἠθεῖε, ὦ
θεῖε, ὦ θαυμάσιε. ¶ Ἠθείη, ὡραία. ¶ Ἠθεῖος, ἀ
δελφὸς συγγενὴς φίλος, ἢ καὶ πιός, ἀδελφὸς, ἢ σε
πτικὴ προσαγόρευσις πρὸς πρεσβύτερον.
Ἠ θικῆς, φιλοσοφίας, διορθωτικῆς ἐθῶν. ¶ Ἠθι
κὸν, κατηχητικόν. ¶ Ἤ θέμις, ὡς δεῖ ὡς δίκαιον
ὡς πρέπει ὡς χρή. ¶ Ἤθεος, ἤθεις. ¶ Ἠθέσιμ,
αὐθεὶ, ἀγνοεῖ, ἐκφορᾶ. ¶ Ἤ θὴν. ἀληθῶς δή. ἀλλ'
ὅμως, πλὴν ἀλλ' οὖν. ¶ Ἠθημένος, διυλισμένος
Ἤ θ' ἢ μὴν, ὅπου αὐτή. ¶ Ἠθάνιον, ἠθάνιον.
Ἠ θμὸς, ἠθημένος. ¶ Ἤθησεν, ἐφθάρη.
Ἤ θειραι, τρίχες. ¶ Ἠθολίζομαι, ἀκολάστως διακεῖσθαι.
Ἠ θμάριον, διυλιστήριον. ¶ Ἠθμοῖς, καμίνοις.
Ἠ θολόγος, θεατριστής. ¶ Ἠθοποιεῖ. λόγους ἁρμόζον
τας ἤθει ποιεῖ. ¶ Ἠθοποιΐα. πρὸς ἦθος μιμοῦ
μεσθαι. ¶ Ἦθος, γνώριμος τόπος ἀναστροφή.
Ἤ θροιζεν, ἐθορύβει. συνῆγεν.
Ἤ θυρον, ἔπαιζον. ¶ Ἤθυζεν, ἐρύπιζεν, ἐνύαζεν.
Ἤ θωὴν, ἢ ζημίαν. ¶ Ἠθῶν, κατηχήσεων.
Ἤ ια, βρώματα θύσων παρδαλίων τὰ λύκων τ' ἤια φέ
λνυται. καὶ ἄχυρα κίσων θημῶνα πνάξει καὶ ἐφόδια
καὶ ἐπορευόμην, ἵνα πολλὰ θεοῖς γουνούμενος.
Ἤ ει, δεῖ, ἤδει. ¶ Ἤιεν, ἐπορεύετο. ¶ Ἠιδημένοι, ἠπι
στάμεθα. ᾔδειμεν. ¶ Ἠίθεοι, ἄφθοροι παῖδες ἄγα
μοι. ¶ Ἠίθεος, ὁ ἀκμάζων νεανίας. ἀγένειος, παρθένος
ἀδελφὸς ἄνυμφος, φίλος, νέος, ἄπειρος, ἄγαμος,
παρθένος. ¶ Ἠίθισας, ἔδοξας, ἐπύθου.
Ἠ ίεσαν, ἐπορεύοντο, ἐπορεύθησαν. ¶ Ἠϊκανὸς, ὁ ἀλε
κτρυών. ¶ Ἤικτο. ἐφίκετο, ὡμοίωτο. ¶ Ἠίλλον
το. ἐστράβιζον ἠλλοντο. ¶ Ἤιμεν, ἐπορευόμεθα.
Ἠ ίξεν, ὥρμησεν. ¶ Ἤιον, ἐπορευόμην, καὶ πλεῖον ἢ
γνώσων. ¶ Ἠιόεντι, ἠιόνας ἔχοντι. ὁ ἰουδαῖος ἢ καλὰς
ἔχοντι φωνάς. ¶ Ἠιὼν, ἀκτὴ αἰγιαλός.
Ἠ ιόνες, ἀκταὶ αἰγιαλοί, ὀφθαλμῶν τὰ ὑπὸ κάτω διὰ
τὸ φέρεσθαι τὰ δάκρυα, ὡς καὶ κατὰ τῶν τῆς θαλάσ
σης αἰγιαλῶν τὰ κύματα. ¶ Ἠιονῆσαι, καταντλῆ
σαι. ¶ Ἤιος, πορεύσιμος, παιανιστής. ¶ Ἠιόσιν.
ἁρματεύσας μετὰ ἅρματι σύρας ἐν τοῖς αἰγιαλοῖς ἐ
λαύνων. ¶ Ἠίρει, κατελάμβανεν. ¶ Ἠιωρήθη
σαν, ἐκρέμαντο, ἐκρεμάσθησαν. ¶ Ἤισαν, ἐπορεύον
το. ¶ Ἧσι, ταῖς ἑαυτῶν. ¶ Ἤισιν, ἴσιν.
Ἥ ισιν, ἰδίαις αὐτῶν, ἢ σὺν ἐνὶ φρεσίν. ¶ Ἠΐστωσε ἔφθει
ρε. ¶ Ἠΐστωσας, ἀφανῆ ἐποίησας. ¶ Ἠΐχωσε,
ἐπαροίνησεν ἐλυμήνατο, ἐπαρῴνει. ¶ Ἠΐχθη τὴν, ἐ
φάνησαν, ὥρμησαν. ¶ Ἠιόεντι, ἀφρώδει.
Ἠ ιόμεθα, πεπληρώμεθα, ἐπισεσιτίσμεθα. ¶ Ἠκὼν,
ἀκτὴ τόρμος, ὄχθη. ¶ Ἠκηκόμην, ἤκουσα.
Ἤ κα, πράως, ἡσύχως, πρᾶκα, ἔπεμψα. ¶ Ἠκάδα,
ἀνδρουμένην γυναῖκα. ¶ Ἤκαιον, ἀθηρές.

Ἐπιφύοιντο, ἐπιγίνοιντο. ¶ Ἐπιφωνεῖ, βοᾷ, κράζει.
Ἐπιχαλᾶ, τὴν δὲ κανοῦν φέρουσαν εἰς τὰς θυσίας θερά-
παιναν. ¶ Ἐπιχαλκῖται, ὁπλῖται. ¶ Ἐπί-
χαλκον, τὸ στόμα τῶν αὐλῶν διὰ τὴν φορβειὰν οἱονεὶ
ἐπισημίδα. ¶ Ἐπίχαλκος, ἀσπίς. ἔχει γὰρ χαλ-
κῆν τὴν ἐπιβολὴν, ἔνιαι δὲ βόειαι εἰσίν. ¶ Ἐπὶ χειρ-
ξενίας, ἐπὶ μισθωτείας ἢ χειρξενία δὲ βεβόηται ἀρχαία οὖ-
σα, ἔνιοι δὲ καὶ πονήρειαν αὐτὸν ἐξωτικῶν λέγουσιν.
ἔστι δὲ καὶ παροιμία διὰ τὰ ἐπὶ χειρξενίης.
Ἐπίχαρις, ἡ παρὰ Ἀττικοῖς, ἅβρα. ¶ Ἐπίχαρμα, χάρ-
μα ᾧ τινι χαίρει τις καὶ ὁ ἐπίχαρτος. ¶ Ἐπιχει-
ρεῖν, συγχειρεῖν. ¶ Ἐπιχαταί, ἐνδεεῖς. ¶ Ἐπί-
χειρα, τὰ ὑπὲρ τὸν μισθὸν διδόμενα τοῖς χειροτέχναις
Ἐπιχείρεον, ἐπετίθεσαν. ¶ Ἐπιχειρεῖ, τολμᾷ.
Ἐπίχειρον, αὐτὰ ἀπόδοσις. ¶ Ἐπιχειρονομοῦντων,
ταῖς χερσὶν ὡς νόμοις χρώμενοι. ¶ Ἐπιχειρεία,
χάριν ἐπιφέρουσα. ¶ Ἐπιχητίας, ἐνδεής.
Ἐπιχιλιάδον, τὸ χιλιοστόν. ¶ Ἐπιχιλὲς, τὸ ἐλλιπές.
Ἐπιχιλοῦντες. πληροῦντες. ¶ Ἐπιχνοῦν, ἐπισκοπ-
ούμενον. ¶ Ἐπιχθίσθαι, βεβαιοῦσθαι. ¶ Ἐπὶ
χθονὶ, ἐπὶ γῆ. ¶ Ἐπιχόα, κατάχυσις. ¶ Ἐπί-
χρονος, ἐπίχαρτος. ¶ Ἐπιχρίστος, παραχρέας.
Ἐπιχρηστίαι, ἐπιχρώμεναι. ¶ Ἐπιχρέω, χρίω.
Ἐπίχυσις, κονίασις. ¶ Ἐπίχυτον, εἶδος πέμματος
ἢ ἐγκαρίσματος ἐξ ἀργύρου ἢ μολύβδου κεχυμένον.
Ἐπιχώνια, κάρυα. ¶ Ἐπιχώρειον, ὕπαγε, μείωσον.
Ἐπιχώρια, συκοφαντικά. εἰς τοῦτο γὰρ Ἀθηναῖοι κωμῳ-
δοῦνται. ¶ Ἐπιχώρας, ἐπὶ τόπου. ¶ Ἐπιχω-
ρεῖ, ἐπιγειτνιᾷ. ¶ Ἐπὶ ψάμμοις, ἐπὶ ταῖς παρα-
θαλασσίοις ψάμμοις. ¶ Ἐπιψαῦσαι. ἐφαύσασθαι.
Ἐπιψαύσῃ. ἐπιθίγῃ, ἅψηται. ¶ Ἐπιψίσαι. ἐπιψιεῖ.
ἐπιψωμιεῖ. ¶ Ἐπιψηφιεῖται. ψῆφον παρέχων καὶ
νίκην. ¶ Ἐπιψηφιζόμενος. ἐπικρίνων.
Ἐπιωγαί. οἱ ἀνειμένοι τόποι, ὑπαγωγὰς δὲ ἔχοντες καὶ
ὑποσκέπην τοῦ κατάγωγας. ¶ Ἐπιωγὰς, ἀνειμέ-
νοι τόποι, ἐφ' οἷς δύναται ἡ ναῦς ἐπέρχεσθαι.
Ἐπιὼν, ἐπιπορευόμενος. ¶ Ἐπλάγχθη, ἐπλανήθη.
Ἐπλαζόμην, ἐπλανώμην. ¶ Ἐπλάδα. κατίδαεν.
Ἐπλακίζετο, τὰς κοιλίας εἶλεν. ¶ Ἐπλατάγησεν.
ἐψόφησεν, ἔνθεν τὸ πλαταγώνιον παίγνιον ξύλινον, ὃ
ψοφοῦσιν. ¶ Ἔπλει, ἐπορεύετο. ἔπλεο, ἐγένου.
Ἔπλετο, ἐγένετο, ἦν, ὑπῆρχεν. ¶ Ἔπλευ, ἐγένου.
Ἐπλήγην, ἐμάνην. ¶ Ἐπλήνετο, ἐπλησίαζον, ἤγγιζον.
Ἐπλίνθη, ἐζημιώθη. ¶ Ἐπλινθεύθησαν, οἱ αἰχμά-
λωτοι πλίνθους ἐβάσταζον, ἕως τὰ λύτρα εἰσενεγκεῖν.
Ἐπνύνθη. ἠγέρθη, ἀνεβίωσεν. ¶ Ἔπνυτο, ἐφρόνησεν.
Ἐπωβελία, τόκος. ¶ Ἐπόγδοον, τόνος μουσικός.
Ἐπόγκιαι, αἱ τοῦ πλοίου παραθῆκαι. ¶ Ἔπη, λόγοι.
Ἐπόθετο. ἠρώτα. ¶ Ἐπυθόμην, ἠρώτων, ἐμάνθανον.
Ἐποικιδίη, δημότην ἐν κοινῷ. ¶ Ἐποικτίσαι. οἰκ-
τείρας. ¶ Ἐποίμνιον, διακόνουν, ἐπορεύοντο, ἐθερά-
πευον, ἐνήργουν. ¶ Ἐποίνασιν, λύτρον ἀπέδοτο, ποι-
νὴν ἔλαβε τοῦ νεκροῦ. ¶ Ἐποίσει, ἐπινέγκει.

Ἐποιθήσεται, ἐπιχειρήσεται. ¶ Ἐποίχεται, ἐπι-
πορεύεται, ἐργάζεται. ¶ Ἕποιτο, ἀκολουθοίη.
Ἐποιχόμεναι, διακονοῦσαι. ¶ Ἐποιπορευόμεναι. ἐρ-
γαζόμεναι, ὑφαίνουσαι, αἱ γὰρ ἡρωΐδες ὀρθαὶ ὕφαινον.
Ἐποιχνεῖ. ἐπιφοιτᾷ. ¶ Ἐποκεῖλαι, ἐπὶ τὸ ξηρὸν ἐλ-
θεῖν. ¶ Ἔπολμις, εἶδος μάντεως.
Ἐπολυώρησας, πολὺ ἐφύλαξας. ¶ Ἐποπολύζει,
θρηνεῖ. ¶ Ἐπόμενοι, ἀκολουθοῦντες. ¶ Ἐποπί-
ζε. ἐντρέπου, ἐπιστρέφου, κατασκεύαζε, φυλάσσου.
Ἔποψ, ὄρνεον. ¶ Ἐπόπται, θεαταί. ¶ Ἐπόπτωοι.
ὑπόλαβοι, νομίζοι. ¶ Ἐπόπτης, ζεὺς ἢ θεατής.
Ἐποπτήσαντες, θεωρίσαντες. ¶ Ἐπορβεῖται, φθο-
νεῖ. ¶ Ἐπ' ὄρει, ἐπὶ τοῦ ὄρει. ¶ Ἔπορεν, ἔδωκεν,
ἐχαρίσατο. ¶ Ἐπόργη, ἐπιζόπῳ. Ἐπορεξάμενος,
ἐφορμήσας προσελθὼν ἐπιλαβόμενος.
Ἐπέρησεν, διεπέρασεν. ¶ Ἐπόρθμευεν, ἔπλεεν.
Ἐπόρθουν, κατέσκαπτον, ἐδίωκον. ¶ Ἐπορθρεῦσαι,
ἐπαγρυπνῆσαι. ¶ Ἐπόρκιον, ἐπιορκίσαι ἐπιορκία.
Ἔπορσον, ἐφόρμησαι ποίησον. ¶ Ἐπορσύνετο, ἡτοιμά-
ζετο. ¶ Ἔπος, ῥῆμα, λόγος, φωνή. ¶ Ἔπος τ'
ἔφατ' ἔκ τ' ὀνόμαζε. τόν τε λόγον εἶπε καὶ τὰ μέρη
αὐτοῦ διεξῄει. ¶ Ἐποτόμενος, προσορεγόμενος.
Ἐποστρακίζειν, ὀστράκοις παίζειν. ¶ Ἐπούδιζε, κα-
τέβαλεν ἐπὶ γῆν. ¶ Ἔποτευ, διατί. ἢ ἐπὶ τίνος.
Ἐποξύνει, παροξύνει, παρορμᾷ. ¶ Ἕπου, ἀκολούθει.
Ἐπ' οὖδας, ἐπὶ τὸ ἔδαφος. ¶ Ἐπουδαῖοι, ἐπιχθόνιοι.
Ἐπ' οὔρει, ἐπὶ τοῦ ὄρει. ¶ Ἐπουρίσας, ἐφορμήσας.
Ἐπούρισεν, ὥρμησεν, ἀπέπεμψεν.
Ἔπουρος, εἶδος ἰχθύος. ¶ Ἔπουσιν, ἐπ' ἀληθείας ἤϊκα-
σεν. ¶ Ἐπούσῃ, πινουμένῃ· φυτώσῃ, ποιουμένῃ.
Ἕπουσιν, ἐνδρεύουσιν, ἀκολουθοῦσιν.
Ἐπουτίς, οὐσία παρὰ Ῥοδίοις. ¶ Ἐποφρυδιῶν, μετώ-
πων. ¶ Ἔποχοι, οἱ ἐπὶ τῶν ὀχημάτων διαβαίνον-
τες. ¶ Ἐποχωτέρα. ἐπιμονωτέρα. ¶ Ἐπόχεται,
ἐπιπορεύεται. ¶ Ἔποχος, ὁ ἐπὶ τοῦ ὀχήματος.
Ἐποχούμενος, βασταζόμενος. ¶ Ἔποψ, ἐπόπτης δυ-
νάστης καὶ εἶδος ὀρνέου. ¶ Ἐπόψιος, ξένιος καὶ ἀπόλ-
λων. ¶ Ἐπόψομαι, θεωρήσω. ¶ Ἐποσίνεσθαι,
ἐπὶ τὸ βλάπτειν. ¶ Ἔπραθεν, ἐπόρθησεν.
Ἐπρήνωσε, κατέβαλεν. ¶ Ἔπρασεν, ἐπραγματεύ-
ετο. ¶ Ἐπρέσβευε, πρεσβύτερος ἦν. ¶ Ἔπρεξεν,
ἔπεσεν, ἐκρύβη. ¶ Ἔπρηξας, ἐτέλεσας, ἐπλήρω-
σας, ἐφύσησας, ἐκύρτωσας. ¶ Ἔπραρ, ἠγόραζεν.
Ἔπρησεν, ἔκαυσεν. ¶ Ἐπροτένθευεν. διώκει.
Ἔπρωσεν, ἐμοίρασεν. ¶ Ἑπταβόειον, ἑπτάβυρσον.
Ἑπταγράμματον τὸ ὄργιλον ἢ σκληρὸν τοῦ στέρατιν.
Ἑπτάγυρον, ἑπτάρυγα. ¶ Ἑπτάενον, ἑπταετῆ.
Ἐπτηκότα, πεσόντα. ¶ Ἐπτωκώς, σφαλεὶς ἢ πεπτω-
κώς. ¶ Ἐπτακέναι, κεκρυφέναι. ¶ Ἑπταπόδην,
τηλικοῦτον τῷ μεγέθει. ἑπτὰ ποδῶν, ἔχον.
Ἑπτάπορος, ποταμὸς ἐν Τροίᾳ. ¶ Ἑπτάπους. σκιά,
τοῖς ποσὶ κατεμέτρουν τὰς σκιάς, ἐξ ὧν τὰς ὥρας ἐ-
γίνωσκον. ¶ Ἑπτάστομον, ἑπτάπυλον. ¶ Ἔπταρ,
διεφορήθη, ἠφανίσθη. ¶ Ἑπτάτονος, ἑπτάχορδος.
Ἑπτάχα, εἰς ἑπτὰ μέρη. ¶ Ἑπτάχορδα, παλαιὰ μέ-
λη διὰ ἑπτὰ χορδῶν ᾀδόμενα. ¶ Ἑπταπήκτις, ἡ βα

φῆς τοῦ στόματος οἷον ἐπεστραμμένως καὶ ἐναργῶς.
Ἐπιστρέφομαι, πλανῶμαι, φροντίδα ποιοῦμαι.
Ἐπίστροφος, ἐπιστροφὴν ποιούμενος καὶ φροντίζων, ὁ εἰς ἑαυτὸν ἐπιστρέφων τοὺς ἀνθρώπους, ἢ ἐπιμελητής. ¶ Ἐπιστροφή, διατριβαὶ διά του αἰσχύλος φρυξίν. ¶ Ἐπιστροφάς, τείχους συνεστραμμέναι ἢ ὅταν ἡ ὀσφὺς ἢ στρεβλή. ¶ Ἐπιστύξη, ἐπαφῆ.
Ἐπιστυνιεὶς, ἐπισυνιεὶς ἢ ἐπιμελητής. ¶ Ἐπιστυρόμενοι, προκυλινδούμενοι. ¶ Ἐπισύστητε, συνάχθητε.
Ἐπιστώθη, ἐπείσθη, ἐπληροφορήθη. ¶ Ἐπισφαλής, βλαβερός, ἐπικίνδυνος. ¶ Ἐπίσφαζον, ἐπιμῶμαι τὸν ὁ συνομιλητὸν ὁ περὶ κακῶν ὀνομασμένον.
Ἐπισφελίτης, ὁ θρανίτης, σφέλας γὰρ τὸ ταπεινὸν διφρίον τὸ ὑποπόδιον. οὕτως δὲ καὶ ὁ θράνος, ἔχει δὲ τὴν ἄνω ἕδραν. ¶ Ἐπισφοραί. δῶρα ξένια, καταδίκαι. ¶ Ἐπισφύρια, τὰ καλύπτοντα τὰ σφυρά.
Ἐπισφραγίζω, σφραγίζω. ¶ Ἐπεισφρήσας, ἐπεισενεγκών. ¶ Ἐπισχεῖν, κρατεῖν ἢ κωλύειν.
Ἐπίσχεο, ἐπέχου. ¶ Ἐπίσχες, ἄγχου. ¶ Ἐπισχεδόν, σύνεγγυς. ¶ Ἐπισχερώ, ἐφεξῆς κατὰ τὸ ἑξῆς.
Ἐπισχεσίη, πρόφασις. ¶ Ἐπισχοίος, ἐπιβάλλοις.
Ἐπισχόμενον, καταχολαζόμενον. ¶ Ἐπισχύροις, ἐπικούροις. ¶ Ἐπισχών, προσέχων. ¶ Ἐπίσωτρα, ἡ ἔξω τοῦ τροχοῦ ἐπιφάνεια. ¶ Ἔπειτα, εἶθ' οὕτως ὁ μετὰ ταῦτα. ¶ Ἐπιτάδιος, ὁ ἐραστής. ¶ Ἐπὶ * τὰ κανὰ τοῖς ἐπιτηδείοις. ¶ Ἐπίταλον, πολυχρόνιον.
Ἐπιταλαιπωρεῖν, ἐπικαταπονεῖν ὁ ἐπιπονεῖν. ¶ Ἐπὶ τὰ μανδραβούλου. παροιμία ἐπὶ τῶν ἀεὶ περὶ τὸ χεῖρον προκοπτόντων ἀπὸ μανδραβούλου τινός. ¶ Ἐπιταξίδια, σιδηρᾶ τινὰ ὡς ὄγκινοι. ¶ Ἐπιτάρροθος, ἰσχυρός. βοηθός. σύμμαχος. ¶ Ἐπὶ τὰ πρόσω, περὶ τὰ ἔμπροσθεν. ¶ Ἐπίταρχον, ἐπιτάφιον, ἐντάφιον.
Ἐπίταυρον, ἰσχυρόν. ¶ Ἐπὶ τὰ χείρονα, ἤγουν τὰ κακά.
Ἐπιτελής, ὡραία γαμεῖσθαι. ¶ Ἐπιτεῖλαι, ἐντείλασθαι. ¶ Ἐπίτειλον, ἔντειλον, ἐπίταξον, πρόσταξον. ¶ Ἐπιτεθυμένων, ἐκκεκαυμένων. ¶ Ἐπιτιμήτωρ, ἔκδικος τιμωρός. ¶ Ἐπιτεῖναι μεγαλῦναι, μακρῦναι. ¶ Ἐπιτείνεται, περὶ τοῦ ὄντι πλεονάζει, ἢ αὔξει, ἢ εἰς ἐπίδοσιν ἄγεται. ¶ Ἐπιτειχίζουσιν, ἐποικοδομοῦσιν. ¶ Ἐπιτεχναντῆρες, οἱ παρασκευασταί. ¶ Ἐπιτέλλειν, ἐντέλλεται, ἐπέρχεται.
Ἐπιτέλλειν, ἐντέλλεσθαι. ¶ Ἐπιτέλλεο, ἐντέλλου.
Ἐπιτελέωμα, τὸ περὶ θυσίας γινόμενον. ¶ Ἐπιτελέωσαι. ὅπερ νῦν ἀφοσιῶσαι λέγομεν. ¶ Ἐπιτελείωσις, αὔξησις. ¶ Ἐπίτριβα, ἐκπιάσματα ἐλαιῶν.
Ἐπιτέρεναι, εἶδος ἄρτων. ¶ Ἐπιτέρμιον, ἀπὸ τοῦ τέρματος, οἷον περὶ τοῦ τέλους. ¶ Ἐπιτέρμιος, ἔρημος.
Ἐπιτετανύσθαι, ἡπλῶσθαι. ¶ Ἐπιτέτραπται, ἐπ' ἐξουσίας ἐστίν. ¶ Ἐπιτετράφαται, ἐπιτετραμμένοι εἰσίν. ¶ Ἐπιτέταται, αὔξει. ¶ Ἐπιτέταρ, αὐξάνειν, ἀκμάζειν. ¶ Ἐπιτέτροφεν, ἐπιπέπηγεν.
Ἐπιτετυφωμένον, ἐπικεκαυμένον. ¶ Ἐπίτευγμα, ἐπιτυχία. ¶ Ἐπιτέτευκται, ἐν ἐπιτυχίᾳ ἐστίν.
Ἐπιτεχνήσεως, μηχανῆς. ¶ Ἐπίτηδες, ἑκούσιον ἐπιμελές. ὀξυτόνως δὲ καὶ ἐπιτηδείους. ¶ Ἐπιτήδειον, ἔτοιμον, ὠφέλιμον. ¶ Ἐπιτήδειος, ὁ φίλος, ἀνεπιτήδειος ὁ ἐχθρός. ¶ Ἐπιτηδείως, ἐπιμελῶς ἁρμοδίως. ¶ Ἐπιτήδευμα, ἐπίνοια, ἔργον, ἐπίνημα.
Ἐπὶ τῇ ἐμῇ αἰτίᾳ, ὃ νῦν περὶ ἐμῷ κινδύνῳ. ¶ Ἐπιτιμᾶ, τιμωρεῖται ἢ τὴν τιμὴν αὔξει. ¶ Ἐπιτιμήτορα, βοηθόν, τιμωρόν. ¶ Ἐπίτειλον, παράγγειλον.
Ἐπιτίμιον, πρόστιμον τιμωρία.
Ἐπίτιμον, πλούσιον, τιμωρόν, τιμητόν. ¶ Ἐπιτμήγειν, ἐπιτέμνεσθαι σκύλλειν. ¶ Ἐπίτονος, δέρμα ᾧ κατησφάλισται τὸν ἱστὸν τῆς νεώς. ¶ Ἐπὶ τὸ αὐτό, ὁμοῦ εἰς τὸν αὐτὸν τόπον. ¶ Ἐπιτωθάζει, κολακεύει, χλευάζει, ἐπιγελᾷ. ¶ Ἐπιτολὴ ἀναπλὴ ἀστέρος ἢ φανέρωσις. ¶ Ἐπὶ τῶν ἑστώτων, περὶ τῶν παρόντων ἢ τῶν ἐνισταμένων. ¶ Ἐπὶ τούτοις, πρὸς τούτοις.
Ἐπιτραπεζώματα. τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα. ¶ Ἐπιτραπεζίδιος, ὁ παράσιτος.
Ἐπιτραφερήν, περὶ τὴν ξηρὰν γῆν. ¶ Ἐπιτρέχων συντόμως. ¶ Ἐπιτρέψαι, ἐπιτρέπειν δοῦναι ἢ ἀπολέσαι.
Ἐπιτρίβεται, ἐπιφέρεται. ¶ Ἐπιτριβόμενοι, ἐπαρόμενοι. ¶ Ἐπιτρίμματα, κοιλίσματα.
Ἐπίτριμοι, ἀλλεπάλληλοι. ¶ Ἐπιτρίψεις, συντρίψεις, συντελέσεις. ¶ Ἐπιτροπάδην ἐπιθέτως, οὐκ ἐκ ψυχῆς ἐπιτετευγμένως. ¶ Ἐπιτροπή, ἔφοδος.
Ἐπίτροπος, ὁ προστάτης τῶν χωρίων καὶ ὅλης τῆς οὐσίας καὶ ὀρφανῶν. ¶ Ἐπιτροχάδην, ταχέως. ¶ Ἐπίτροχαλον, πυκνῶς καὶ ταχέως ἐπίτροχον. ῥᾴδιον. ἕτοιμον. γοργόν. ¶ Ἐπιτρύζουσιν, ἐπιγογγύζουσιν, ἐπιλέγουσιν. ¶ Ἐπίτρυσον. ἐπίμεινον λάκωνες.
Ἐπιτυφῇ, ἐπικαῇ, ἐπιπυρωθῇ. ¶ Ἐπιτυφῶ, ἐπακλύω συρακούσιοι. ¶ Ἐπιτυφῶσαι, ἐπιπνευσάσαι. ¶ Ἐπιτυχόντων, εὐτελῶν. ¶ Ἐπὶ τοῦ δήμου, περὶ τοῦ τοῦ δήμου καταλύσει. ¶ Ἐπιτωθάζοντες, χλευάζοντες, ἐπιγελῶντες ἢ ὑβρίζοντες. ¶ Ἐπὶ φαλινίου, τὸν ἀλκιβιάδην φησὶν ὁ ἀρίσταρχος περὶ φαλινίου γεγενῆσθαι. σκώπτων παρὰ τὸν φάλητα, ἐπαναχωτία γὰρ ὁ φάλης. ¶ Ἐποφάμεναι, συγκατατίθεσθαι. ¶ Ἐπίφαλος, ὁ πρὸς εὐμορφίαν φαινόμενος ἐπιθέτης. ¶ Ἐπιφάτνιος, ὁ ἑωσφόρος ἀστήρ.
Ἐπιφαύσκοντα, ἀνατέλλοντα, φαίνοντα. ¶ Ἐπιφημισμοῖς, ὀδυρμοῖς. ¶ Ἐπιφθονουμένοις, ὡρμηκόσι.
Ἐπιφέρει, προσήκει. ¶ Ἐπιφέρεται, ἀλαζονεύει.
Ἐπιφημητῆρες, οἱ εὐφημοῦντες ἢ ἐπιφωνοῦντες ἢ συγκατατιθέμενοι. ¶ Ἐπιφημίζουσα, εὐφημουμένη, ἐπιφημιζομένη. ¶ Ἐπιφημίσμασιν, οἰωνίσμασιν.
Ἐπ' ἰφθίμῳ, περὶ τῇ ἰσχυρᾷ. ¶ Ἐπιφλέγει, ἐπικαίει.
Ἐπιφοιτᾷ, παραγίνεται. ¶ Ἐπιφοιτήσεως, ἐπελεύσεως, παρουσίας. ¶ Ἐπιφοράς, καταδίκας.
Ἐπιφορήματα, τραγήματα μετὰ τὸ δεῖπνον.
Ἐπὶ φορίναν, περὶ δέρμα. ¶ Ἐπίφορον, τὴν φέρουσαν σύγγονον λάκωνες, καὶ ἀμπέλου ὄνομα.
Ἐπίφορος, τοῦ τεκεῖν ἐγγὺς οὖσα. ¶ Ἐπιφράγματα, τὰ ὑπὸ τὸ στόμα. ¶ Ἐπιφραδέστερον, συντομώτερον, συνετώτερον. ¶ Ἐπιφρασόμεθα, σκεψόμεθα.
Ἐπιφράσασθαι, ὑπονοῆσαι ἢ ἐπινοῆσαι. ¶ Ἐπιφράδμων, ψευδολόγος. ¶ Ἐπίφρενα, ὑποχόνδρια. ¶ Ἐπὶ φρεσί, ἐν ταῖς διανοίαις. ¶ Ἐπίφρονα, φρόνιμον, συνετόν. ¶ Ἐπιφρονεύουσιν, ἐπα-

Ἐ πιῤῥοὴν, ἐπίῤῥοιαν ὑδάτων. ¶ Ἐπιῤῥοιζεῖν, ἐπιπαί-
ζειν, ἐπισείειν, ἐπεγκελεύειν. ¶ Ἐπιῤῥοθοῦσιν, ἐπαι-
χοῦσιν, ἐπιβοῶσιν. ¶ Ἐπιῤῥόθοιο, ἐπίψογα.
Ἐ πίῤῥοθος, ἰσχυρός. ¶ Ἐπίκουρος, βοηθός.
Ἐ πιῤῥέπανον, ἀπόμακρον. ¶ Ἐπιῤῥεπὴς, ἐπὶ μικροῦ.
Ἐ πιῤῥύσασα, ἐπιθεμένη, ἐπισκήψασα. ¶ Ἐπιῤῥωγο-
λογοῦσι, καλαμῶνται τὸν ἀμπελῶνα. ¶ Ἐπιῤῥῶν-
νύς. ἐπιχύων ἐκ τῆς ῥώσεως ἢ ῥώμης. ¶ Ἐπιῤῥών-
νυσιν, ἰσχυροποιεῖ. ¶ Ἐπίῤῥωσις, βεβαίωσις, διόρθω-
σις, ὑγεία. ¶ Ἐπιῤῥυθμίζει, διατυποῖ, ἐπανορθοῦ-
ται. ¶ Ἐπιῤῥύσμιον, ἐπίῤῥεον. ¶ Ἐπιῤῥύζειν, κύ-
νας ἐπαφιέναι καὶ παρορμᾶν. ¶ Ἐπιῤῥωπᾶ, ἐπι-
τελεῖ. ¶ Ἐπιῤῥωσθῆναι, ἐπιθέσθαι, ἐπιστῆναι,
ἐπείγεσθαι. ¶ Ἐπείσακτον, ἀλλότριον.
Ἐ πισαλουμένη, ἐπικινουμένη. ¶ Ἐπίσαμον, λευ-
κόν. ¶ Ἐπισαχθεὶς, χρεωφειλέτης. ¶ Ἐπισεί-
ειν. ἐκφοβεῖν, ἀνατείνεσθαι. ¶ Ἐπισειούσας, ἐπικε-
λευομένης ἀπὸ τῶν τὰς ἡνίας ἐπισειόντων σοφο-
κλῆς ἀχαιῶν συλλόγῳ. ¶ Ἐπίσειον, ἐφήβαιον. καὶ
τὸ αἰδοῖον ἀνδρός τε καὶ γυναικός. ¶ Ἐπίσειστος,
εἶδος κουρᾶς. ¶ Ἐπισέπυλον, ἐπίταξον.
Ἐ πισέληνα, πόπανα μηνοειδῆ. ¶ Ἐπίσημα, τὰ
ἐπὶ προσώπῳ σημεῖα ἢ εὔφωνα, ἢ εὔμορφα.
Ἐ πίσημος, ἐπιφανὴς ἔνδοξος προφανέστερος.
Ἐ πίσθιον, σκέπασμα, περὶ τὸν τράχηλον. ¶ Ἐπίσι-
γμα, ἐπεγκέλευμα κυσίν. ¶ Ἐπισίδιον, ἐπισιτιζό-
μενον. ¶ Ἔπεισιν, ἐπέρχεται, ἐπιτρέχει, ἐπινικᾷ.
Ἐ πισινές, βλαβερόν. ¶ Ἐπισινὴς, ἀσθενής.
Ἐ πισίνιος, ἐπίβουλος. ¶ Ἐπισῖξαι, ἐφορμῆσαι.
Ἐ πισίξας, ἐπαφεὶς ἐπὶ ὁρμὴν ἢ ἐπισκήξας.
Ἐ πισίτιος, ὁ τροφῆς χάριν ἐργαζόμενος. ¶ Ἐπισιτι-
σμὸν, ἐφοδιασμόν. ¶ Ἐπισίττειν, κυνηγετικῶς πα-
ρορμᾶν. ¶ Ἐπισίφλιον, αἰσχρὸν μωμητόν.
Ἐ πισκαλμίς, τὸ ὑπὸ τοῦ σκαλμοῦ σανίδιον.
Ἐ πισκαφεύς, ὁ μετὰ τὸν ἀροτῆρα ἐπισκάπτων.
Ἐ πισκαφία, ἑορτὴ παρὰ ῥοδίοις. ¶ Ἐπισκέλος,
εἰς τὰ ὀπίσω. ¶ Ἐπισκέπτει, ἐπιβλέπει, ἐφορᾷ.
Ἐ πισκευασάμενοι, διεπιθέντες. ¶ Ἐπισκήνια,
ἑορτὴ ἐν λακεδαιμονίοις. ¶ Ἐπισκήνιον, τὸ ἐπὶ τῆς
σκηνῆς κατάγαιον. ¶ Ἐπισκήπτει, σημειοῦται,
μέμφεται, προνοεῖται, ἐντέλλεται. ἐπιτιμᾷ.
Ἐ πισκηπτέτω, ἐπιμεμφέσθω. ¶ Ἐπισκήπτω, ἐπα-
ρῶμαι. καὶ ἐνδείδω τὴν γνώμην ἐπισκήπτω.
Ἐ πισκήψασθαι, ἐπιβαρῆσαι. ¶ Ἐπισκεψάμενον:
ἐπισημηνάμενον. ¶ Ἐπισκιασμὸν, κάλυμμα.
Ἐ πίσκοος, ἐπίσκοπος. ¶ Ἐπίσκοπα, τυγχάνοντα
τοῦ σκοποῦ. ¶ Ἐπισκοπή, ἐκδίκησις. ¶ Ἐπίσκο-
πος. βασιλεύς. ἐπήκοος, φύλαξ, ἐπόπτης κατάσκο-
πος. ¶ Ἐπισκύζονται, ὀργίζονται. ¶ Ἐπισκυ-
κλεῖν, εἰσφέρειν, συνάπτειν. ¶ Ἐπισκυκλήσας,
συνάξας. ¶ Ἐπισκύνιον, τὸ ἐπάνω τῶν ὀφθαλμῶν
ὀφρύδιον, ἢ τὸ μεσόφρυον. ¶ Ἐπίσκυρος, ὁ μετὰ
πολλῶν σκαρισμός. ἢ ἄρχων, βραβευτής. βοηθός.
ἐπίσκοπος, ἔφορος, ἐπήκοος. ¶ Ἐπισμυγεῖν, ἐπι-
κόπτειν, ἐπικωλύειν. ¶ Ἐπισμήχει, ἐπιτρίβει ἀπὸ
τοῦ σμήχειν ἢ τρίβειν ἢ πλύνειν. λοιδορεῖ. πλήττει:

σμῶξαι γὰρ τὸ πατάξαι, ἔνθεν σμῶδιξ αἱματόεσσα.
Ἐ πισμυγερῶς, ἐπιπόνως. ¶ Ἐπισμυκτὴρ, ἐπιμυκτη-
ρισμόν. ¶ Ἐπισπαστὸν, αὐθαίρετον, ὅπερ ἑαυτῷ τις
ἐπισπᾶται κακόν. ¶ Ἐπίσσομαι, ἐπελεύσομαι.
Ἐ πὶ σοί, κατὰ σοῦ. ¶ Ἐπισπάσει, ἐπιτεύξεται σοφο-
κλῆς ἄγρει, ἢ μυκύνας ἐπὶ τῶν ταῖς λινοῖς λαμβα-
νόντων. ¶ Ἐπισπάσθω, ἑλκυέτω τὸ δέρμα.
Ἐ πισπᾶται. ¶ Ἔπισσαι, ἐπιπί. ¶ Ἐπίσσακτρον, βρό-
χον. ¶ Ἐπίσσειρον, χοινίον τὸ ἀναγκαιότατον. ἐν
γὰρ χειμῶσι τοῖς χοινίοις ἐπιστεύοντο. διὰ τὸ τοὺς ἀνα-
γκαίους φίλους. ¶ Ἐπισπέρχειν, ἐπισπεύδειν, ἐπεί-
γειν. ¶ Ἐπισπέρχουσι, ἐπισπεύδουσι, ἐπειγόμεναι.
Ἐ πισπερχῶς, μετὰ σπουδῆς. ¶ Ἐπισπέσθαι, ἐπα-
κολουθῆσαι. ¶ Ἐπισπομένη, ἐπακολουθοῦσα.
Ἐ πίσπη, ἐπισπάσηται. πληρώσῃ: καταλάβῃ.
Ἐ πίσπορα, τὰ λάχανα. ¶ Ἐπισπ. ὕστερον γινομένη
νεωτέρα. ¶ Ἐπισπεύσας. ἐφορμήσας.
Ἐ πισπεύουσα, παρακελεύουσα. ¶ Ἐπίσσυτον, τὸ ὕστε-
ρον γενόμενον. ¶ Ἐπίσσυτος, ἐφορμήσας.
Ἐ πίσσυχον, ἀκόλουθον. ¶ Ἐπασσυτέρη, ὁρμητικωτέ-
ρα, ταχεῖα, τιμιωτέρα. ¶ Ἐπίσσωτρα, τὰ ἐπι-
κείμενα τοῖς τροχοῖς σιδήρια ἐπὶ τὴν γῆν σσουμένα.
Ἐ πιστάδον, ἐφεστῶτες ἢ ἐφιστάμενοι ἐμπείρως ἢ κατὰ
τάξιν ἑστῶτες. ¶ Ἐπισταδὸν, ἐφεστηκώς, ἢ προστασία ἢ
κατὰ τὸ ἑξῆς. ¶ Ἐπισταθμία, ὑποδοχὴ ξένων.
Ἐ πίσταμαι. δύναμαι, οἴομαι.
Ἐ πιστάμεθα, δυνάμεθα. ¶ Ἐπισταμένως. ἐμπείρως.
δυνατῶς, ἐπιστημόνως, συνετῶς. ¶ Ἐπιστασίαν. προ-
στασίαν. ἡγεμονίαν. ¶ Ἐπίστασις, γνῶσις ἢ μέρος
τι τῆς νεώς. ¶ Ἐπιστατέον, ἐπανελευστέον, γνωστέ-
ον. ¶ Ἐπιστάτῃ, μετ' αὐτῇ, ἀπὸ τοῦ ἐφίστασθαι τῇ τρα-
πέζῃ. ¶ Ἐπιστατὴρ, τὸ στόμα τῆς νεώς. ¶ Ἐπιστα-
τῆρες, ἀγορανόμοι καὶ οἱ τῶν πλοίων νομεῖς.
Ἐ πιστάτειος, ζεὺς ἐν κρήτῃ. ¶ Ἐπιστάτης, ἐφέτης ἢ
ἐπιστάτης, ἀπὸ τοῦ ἐφίστασθαι, ἢ ἐπίτροπος, ἢ διδάσκα-
λος. καὶ ὁ τακτικὸς καὶ ὁ βραβευτὴς ἢ ἄρχων τῆς ἀ-
θήνησι καὶ ὁ ἐφεστηκώς. ¶ Ἐπιστεῖ, ἐφιστῇ.
Ἐ πιστείβοντες, πατοῦντες. ¶ Ἐπιστείψει. μέμψει
ἢ ἐπιμέμψει. ¶ Ἐπιστέφει, κεραννύει δικολμεῖ.
Ἐ πιστεφέας οἴνοιο, ἐπιστεφανωμένους. ¶ Ἐπιστεφὲς,
πλῆρες κρεμάμενον. ¶ Ἐπίστη, οἶδα. ¶ Ἐπίστηθι,
γνῶθι. ¶ Ἐπίστημα, στήλη. ¶ Ἐπιστήμης, γνώσε-
ως. ¶ Ἐπιστημονικώτερος, ἀκριβής, εἰσηγητής. ὑφη-
γητής. ¶ Ἐπιστήμων, σοφός. ¶ Ἐπιστῆναι, φανῆ-
ναι, ἐπικάλει. ¶ Ἐπίστηται. γινώσκηται. ¶ Ἐπι-
στίγματα, ἐπικελεύματα σοφοκλῆς ἀθάμαντι, ἐπι-
σκαλάματα. ¶ Ἐπιστεῖξαι, ἐφορμῆσαι. ¶ Ἐπὶ
στίχας, κατὰ τάξεις, ἢ κατὰ τὸ ἑξῆς. ¶ Ἐπίστιον,
οἴκημα κατάλυμα. ¶ Ἐπιστόλιον, ἐπίκιον.
Ἐ πιστολαί, ἐντολαί, ἐπιταγαί. αἰσχύλος προμηθεῖ, δια-
γράμματα καὶ ἐπιστάλσεις. ¶ Ἐπιστομίζων, φι-
μονῶν ἐλέγχων. ¶ Ἐπιστιχάεσσιν: παρασημαίνεσθαι
σειρ ἀγμή. ¶ Ἐπίστρατα, ἀποπίπτοντα τοῦ τμήμα-
τος καὶ ἕρματα. ¶ Ἐπιστραβός, ὄχημα, ἀκινδύνως
φέρων. ¶ Ἐπὶ στρατὸν, ἐπὶ στρατιάν.
Ἐ πιστροφάδην, ἐπιστρεφομένως ἰσχυρῶς, ἢ μὲν ἐπιπρο-

Ἐπὶ νῆας, ἐπὶ τὰς ναῦς. ¶ Ἐπὶ νηόν. ἤγουν ναόν.
Ἐπινέοντα, εἰς τριήρεις. ¶ Ἐπινήεται, ἐφέλκεται.
Ἐπίνητρον, ἐφ' ᾧ τὴν κρόκην τρίβουσιν.
Ἐπινίκιον, νικητήριον βασιλέως σύμβολον.
Ἐπίνειον, μικρὸς λιμήν. λίμναι καὶ αἱ περὶ αὐτὰς στοαί. ¶ Ἐπίνοια, ἐπιτήδευμα. ¶ Ἐπινομίς, ἐμρῖς ναυτικοῖς λέγεται. ¶ Ἐπίνομοι, κληρονόμοι.
Ἐπινυκτίς, φυλακὴ δοκοῦντι ἀλκεῖν. ¶ Ἐπινύσκειν, διδάσκειν. ¶ Ἐπίνυσσεν, ἐσωφρόνισεν. ¶ Ἐπιξενοδόκουμαι, ἐπιμαρτυροῦμαι. ¶ Ἐπίξενος, ἐπιχρόνιος. ¶ Ἐπιξενοῦσθαι, μαρτύρεσθαι, πορεύεσθαι φωκλῆς ἀχαιῶν συλλόγῳ, καὶ αἰσχύλος κρήσσαις.
Ἐπίξηνον, ξύλον ἐφ' οὗ τὰ κρέα τιθέντες ἔκοπτον, οἷον τὸ κρεοκόπον ξύλον. ¶ Ἐπὶ ξενία δίκη, ἡ συνήθως εἰκὸ ἐν ᾗ ὁ ἡττηθεὶς ἀπόλλυται. ¶ Ἐπιξόμεθα, ὑπείξομεν. ¶ Ἐπίξυλον, τὸ ἐπὶ τὰ ἀστροφίδι τοῦ ὑφαινομένου ἱματίου, καὶ τὸ παρ' ἐνίοις ἐπίκοπον.
Ἐπιξυνῶ, ἐπικοινῶ. ¶ Ἐπὶ ξυροῦ, ἐπὶ κινδύνου, ἢ τοῦ ὀξυτέρου ἢ ἀκροτάτου. ¶ Ἐπίορα, χωρίον μέρος ἐν σικελίᾳ. ¶ Ἐπιορκευτής, τερπνόν, ἁρπαλέον.
Ἐπιορκία, ψεῦσμα. ¶ Ἐπίορκον, ὅρκον μὴ φροντίζοντα. ¶ Ἐπιορεξάμενος, ἐπιποθῶν.
Ἐπιόσσομαι, ἐφορῶ, προσαγορεύω, ἐπισημαίνομαι.
Ἐπιούρεια, ὄνεια. ¶ Ἐπίουροι, ἐπίσκοποι οἱ ἧλοι ξύλινοι. ¶ Ἐπίουρος, ἡ μὲν προπαροξυνομένως, πλεονάζει ἡ πρόθεσις οὖρος γὰρ ὁ φύλαξ εἰ δὲ προπαροξυτόνως, πάλιν ὁ φύλαξ ἀπὸ ξυλίνου ἐπιούρου.
Ἐπιοῦσα, ἐπερχομένη. ¶ Ἐπιοψάμενος, ἐπιλεξάμενος, ἐπιλέξας. ¶ Ἐπιόψονται, προχειρίσονται προειδόσιν ἐπιλέξονται. ¶ Ἐπίπαγος, τὸ ἐπὶ τῶν ἑψομένων, ἡ γραῦς. ¶ Ἐπιπαιάζειν, τὸ μὴ θύειν, φρατειὰρ λακωνικῶς. ¶ Ἐπίπασμα, ἐπίπλασμα πρόσκομμα. ¶ Ἐπιπαιωνίζουσι, ἀλαλάζουσι.
Ἐπὶ παλλαδίῳ, δικαστήριον ἔνθα ἐδίκαζον οἱ ἐφέται τοῖς ἀκουσίου φόνου δικαζομένοις. ¶ Ἐπιπαματίδα, τὴν ἐπίκληρον. ¶ Ἐπίπαξ, συντόμως. ¶ Ἐπίπαρμος ὁδός, καὶ ὁ ἐπ' εὐθείας ἢ εἰκῆ, ἢ τὰ ἀριστερά.
Ἐπίπαππος, ὁ τοῦ πάππου πατήρ. ¶ Ἐπὶ παρατάξεως, ἐν πολέμῳ. ¶ Ἐπιπάστης, ἐτύρας ἐπάνω μου. ¶ Ἐπίπαστα, τὰ ἐπιπασσόμενα τῶν ἐντιάλφιτα, οὕτως γὰρ τὸ ἔθιον ἀστέ. ¶ Ἐπίπασον, τὸν βρόχον, ὅταν γὰρ ἐπισπασθῇ ἡ χοινίον συνάγεται καὶ ἀποπνίγει. ¶ Ἐπίπεδον, ἐπὶ τὴν γῆν χαμόγαιον ἰσόπεδον. ¶ Ἐπιπείθεται, πείθει.
Ἐπιπεσεῖν, καταλαβεῖν. ¶ Ἐπιπῖρα, ἐπαλαπῖρα, ἢ ἐπηλυσίαι: καὶ πειρατικὴ βλάβη.
Ἐπιπίρει, μοιχεύεται, ἢ μοιχεύει. ¶ Ἐπιπλάνιαι, ὅλαι καὶ πόπανα. ¶ Ἐπιπλοίσαι, ἐπιβραχεῖα.
Ἐπίπτει, φθίνει καὶ συμπίπτει. ¶ Ἐπίπτρον, εἶδος βοτάνης παρὰ θεοφράστῳ. ¶ Ἐπιπυχῇ, τῶν πηχῶν τὰ ἄνω. ¶ Ἐπιπίεσεν, ἐπιπίασεν.
Ἐπιπλίσσασαι, δισκεῦσαι, διατινάξασαι. ¶ Ἔπιπλα, ἱμάτια γυναικεῖα ἢ χρήματα ἢ σκεύη τὰ μὴ ἔγγεια, ἀλλ' ἐπιπόλαια. ¶* Ἐπιπλάσθην, φέρεσθαι.
Ἐπὶ πλακός. ἰσθμικοῦ πάσης. ¶ Ἐπίπλακες, πλακοῦντος εἶδος. ¶* Ἐπιπλέει, ἐπιπλεῖται.

Ἐπιπλεῖ, ἐπιπλέει. ¶ Ἐπίπλευρα, τὰ παρὰ τοῖς μαστοῖς ὑπὸ τὰς μασχάλας. ¶ Ἐπιπλήξειν, ἐπιπλῆθειν, ἐπιτιμῆσαι, ὑβρίσαι. ¶ Ἐπίπλοον, ἐπίπλοον. ὁ πιμελώδης ὑμήν, ὁ περὶ τὰ κοιλίας καὶ τῶν ἐντέρων ἐπίπλους λεγόμενος. ¶ Ἐπιπλομένων, κυκλουμένων, πληρουμένων, ἐπερχομένων. ¶ Ἐπιπλώσας, πλεύσας. ¶ Ἐπιπνείηται, ἐπιθυμεῖ.
Ἐπιπνείουσι, ζῶσι πνέουσιν. ¶ Ἐπιπνεῦσαι, ἐφορᾶν, ἐπισκοπεῖν. ¶ Ἐπιπνεύων, ἐπιβλέπων αἰολικῶς καὶ ἀλκαῖος, ὅπου * συναπενδρεοντασμενῶν σπαδυνομισμένοι πνέοισι. ¶ Ἐπιπνοίας, ἐπιπνεύσεις.
Ἔπιπνοι, οἱ ὑπὸ θεοῦ κατεχόμενοι. ¶ Ἐπιποθῶ, ἐπιθυμῶ. ¶ Ἐπιπολλά, οὕτως ἐν λακεδαίμονι ἡ δημήτηρ ἱδρυμένη τιμᾶται. ¶ Ἐπιπολάζει, ἐπιπλέει. ¶ Ἐπιπολαιοτέρων, τῶν μὴ βαθέων.
Ἐπιπλάσαντες, ἐπάνω τοῦ ὕδατος περιφερόμενοι.
Ἐπιπόλαιον, τὸν ἐπίπλοον ὑμένα. ¶ Ἐπιπλεῖστον, αἰωνιώτατον ἐπάνω ἐπιπλέον. ¶ Ἐπιπλιμῶνος ἁρμῆς ἐν ῥόδῳ ὡς γόργων ἱστορεῖ. ¶ Ἐπιπολιάδες, μὲ πρόθυμαι ἅς αἱ γυναῖκες προθυοῦνται. ¶ Ἐπιπόλαστον, ἐπικαλλωπισμόν. ¶ Ἐπίπονον, καματηρόν, ἢ ζεὺς ἐν μιλήτῳ. ¶ Ἐπιποντία, ἡ ἀφροδίτη.
Ἐπιπόρπαμα, τὸ ἐπάνω τῆς πόρπης καὶ τῶν ἱματίων, αἳ τὰς χλαμύδας συνέχουσι πόρπαι. ἐπειδὴ τὸ πάλαι ὡς. ἐπιπάσιν. ¶ Ἐπὶ πότμῳ, ἐπὶ θανάτῳ.
Ἐπιπρηνές, ἐπικάτω κατεστραμμένον. ¶ Ἐπιπρηνὸς, ἐπὶ στόμα, λοξός. ἐπικλινής. ἐπ' ὄψιν. ¶ Ἐπὶ πρώτην, αἰγὸς ἡλικία. ¶ Ἐπιπρίων, τοὺς ὀδόντας τρίζων. ¶ Ἐπιπροΐαλθεν, διέτεινε προέθηκεν.
Ἐπίπροικος, ἐπὶ προικὶ ἐκδοθεῖσα. ¶ Ἐπίπροικα, τὸ δεύτερον ἐπὶ προικὶ δῶρον. ¶ Ἐπιπακοῦνε, ἐπικαλοῦ. ¶ Ἐπιπροσθεῖ, ἀντιπίπτει. ¶ Ἐπὶ πρύμνησιν, ἐπὶ ἄκρας. ¶ Ἐπιπρώρους, τὰς μὴ κατὰ πρύμναν προσιχικάς. ¶ Ἐπιπτάρνυμαι, μετακαλῶ κατέχω ἐπισχετικὸν γὰρ ὁ πταρμὸς πολλάκις.
Ἐπιπτέσθαι, ἐπιπτῆναι. ¶ Ἐπιπτύξαι, ἐπιπρῆσαι.
Ἐπιπυργίτις, ἡ ἀθηνᾶ οὕτως ἐν ἀβδήροις ἐκαλεῖτο.
Ἐπιπωλεῖται, ἐπιπορεύεται. ¶ Ἐπίρεισμα, ἐπιθυμία. ¶ Ἐπιρέκων, ἐπισκύλλων. ¶ Ἐπίρρεζεσκον. ἐπιτίθεσαν ἔθυον. ¶ Ἐπιρρύτιος, ζεὺς ἐν κρήτῃ.
Ἐπιρρέξαι, ἐπιθῦσαι, ἐπαγαγεῖν.
Ἐπιρρέπει. ἐπιβαρεῖ. ἐπικρατεῖ. ἐπιστὰς ἐπικρέμαται. ¶ Ἐπιρρεπής, ἐμβριθεστέρα. ¶ Ἐπίρρημα, ποιημάτιον τετράμετρον. ¶ Ἐπιρρήματα, οὕτω προσαγορεύεται τὰ μετὰ τὴν παράβασιν τασσόμενα τετράμετρα ὑπὸ τοῦ χοροῦ λεγόμενα. μηδέπω τοῦ ἑξῆς μέλους ἐπεληλυθότος, ἄλλοι δὲ ἐπῳδικὰ μεταξὺ τῶν χορικῶν μελῶν ἰαμβεῖα βραχέως ἐπιλεγόμενα καὶ ἐφύμνια. ¶ Ἐπιρρήξας, ἐπαγαγών.
Ἐπὶ ῥηγμῖνι, ἐπὶ τῷ αἰγιαλῷ. ¶ Ἐπιρρήσσει, ἐπικλείει. ¶ Ἐπιρρήσσεσκον, ἐπασσῶντο, ἐπέβαλλον, ἢ ἐπέκλειον μετ' ὁρμῆς. ¶ Ἐπίρρησις, ψόγος.
Ἐπιρρησίσκον, ἐπῆρον. ἐπέκλειον. ¶ Ἐπίρρυτον, ἐπικάτακτα. ¶ Ἐπιρρῆτον, ἐπίψογον, αἰσχρόν. ¶ Ἐπίρρυπος, ὁ κακῶς λεγόμενος ἐπ' αἰσχρότητι. ¶* Ἐπιρρείσκον, ἐπῆρον. ¶ Ἐπιρροίη, ἐπιρροιαν ὑδάτων.

ἀν ἴζης μέμψαιτο σοφοκλῆς ναυπλίῳ καὶ πλέοντι.
Ἐ πικότως, ἐπιστρεφῶς. ¶ Ἐπίκουρος, βοηθός.
Ἐ πικουρίας, βοηθείας, συμμαχίας. ¶ Ἐπικουρήσοντας, βοηθοῦντας. ¶ Ἐπίκουροι, βοηθοί. συμμαχοί. ἐπίσκοποι. καὶ ἧλοι ξύλινοι. ¶ Ἐπικράδιον, ἐπικάρπιον. ¶ Ἐπίκρανα, προσκεφάλαια, καλύμματα, ἐπιστύλια. ¶ Ἐπικρανεῖς, ἐπιτελεῖς ἐπιμεληθῶσι. ¶ Ἐπικρανής, ἐπιμελητής.
Ἐ πικρᾶναι, τῇ κεφαλῇ ἐπινεῦσαι. τελέσαι.
Ἐ πίκρανος, ἐπιμελητής. ἐπίχειρος. ¶ Ἐπικρατεῖ, ἐξουσιάζει. ¶ Ἐπικρατίδιον, σημονικὸν κάλυμμα χωρὶς τῆς κεφαλῆς. ¶ Ἐπικρατύνειν, ἐπισχύειν. ὀχυροῦν. ¶ Ἐπικρῆναι, ἑορτὴ δήμητρος παρὰ λάκωσιν. ¶ Ἐπίκριον, κεφαλόδεσμον. ¶ Ἐπικρανθέν, ἐπιτελέσαντα. ¶ Ἐπίκειδον, ἐπίλεκτον.
Ἐ πικρίνεσθαι, ἀριθμῆσαι καθ' ἕνα ἕκαστον. ¶ Ἐπίκροκον, ἐπανθηρόν. ¶ Ἐπίκρουμα, ἐπίπλησμα· ὃ ἐπιχάραγμα διὰ τὸ πληρωμάσθαι τοῦ ἐρίου ἐπίκρουμα χθονὸς ἀργίας σοφοκλῆς ἰνάχῳ.
Ἐ πίκτεντα, τὰς ἠλακάτας καὶ τὸ πολὺ τὸ πρὸς τοῖς δακτύλοις μέρος. ¶ Ἐπικτερία, ἐντάφια.
Ἐ πίκτιτον, ἔξωθεν εἰσελθόν. ¶ Ἐπικτύλωμα, ἐπικορύφωμα. ¶ Ἐπικτέριον, τὸ πῶμα τῆς χύτρας.
Ἐ πικυδέστερος, ἐπικρατέστερος. ἐνδοξότερος.
Ἐ πικυκλίδιος ζώς. ¶ Ἐπικύψας, ἐπικύψας.
Ἐ πίκωλος, ὁ ἐν ποδὶ σκάζων. ¶ Ἐπικωμάζω, χλευάζω. μυκτηρίζω. ¶ Ἐπικωμάσας, κρατήσας ταῖς θρίξιν. ¶ Ἐπίκωμος, ὁ ἐπᾴδων τῇ φωνῇ ἢ ἀπὸ οἴνου ᾄδων. ὑβριστής. συγχαίρων. ¶ Ἐπίκωπα, ἐπίμεμπτα. ¶ Ἐπικωπητήρ, ζωστήρ. ¶ Ἐπιλαμφθέντες, φωτισθέντες. ¶ Ἐπὶ λέαν, ἐπὶ λυπίαν.
Ἐ πιλεγόμενος, ἐπιλογιζόμενος. ¶ Ἐπιλειπούσης, καταλειπούσης. περιλειπούσης. ¶ Ἐπιλείψει, καταλείψει. ¶ Ἐπιλεξαμένη, ἐπικαλεσαμένη.
Ἐ πιλεξάμενος, διαλεγείς, ἐνθυμηθείς. ¶ Ἐπιλελησμένη, ἐπιλανθανομένη. ¶ Ἐπιλήϊδος, οὕτω τῶν ἱερείων τινὲς ἐκαλοῦντο. ¶ Ἐπιλήκητος, ὁ τετυφλωμένος. ¶ Ἐπειλημμένος, κατέχων. τετυχηκώς. ¶ Ἐπιληπτικός, παχικός, κατεχόμενος. ἐπίληπτος. καταφανὴς καὶ ὁ τῇ ἱερᾷ νόσῳ συνεχόμενος. ¶ Ἐπιλήπτῳ, ὑπαιτίῳ, δαιμονιζομένῳ. ¶ Ἐπὶ ληναίῳ. ἀγὼν ἦν ἐν τῷ ἄστει ληναίου περίβολον ἔχων μέγαν. ἐν αὐτῷ ληναίου διονύσου ἱερὸν ἐν ᾧ ἐπιτελοῦντο οἱ ἀγῶνες ἀθηναίων πρὶν τὸ θέατρον οἰκοδομηθῆναι.
Ἐ πιλησμονείη, ἐπιλαθείη. ¶ Ἐπιλήσονται, ἐπιλανθάνονται. ¶ Ἐπιλίζουσα, καταμωκωμένη. ¶ Ἐπιλίζουσι, διακενοῦσιν, ἐγκελεύονται. ¶ Ἐπιλίγδην, ἐπιρράνδην, ἀπὸ ἐπιδρομῆς ἐπιψαῦσαι. ἐπιξῦσαι. ἐφάψασθαι ὅσον ἀπὸ ἐπιπολῆς. ¶ Ἐπιγράβδην, ἀπὸ ἐπιγραφῆς.
Ἐ πιλήμνιος, ποσειδῶν. ¶ Ἐπιλίημι, ἐπιζέω.
Ἐ πιλινᾶν, ἐπιπερεύεσθαι τὰ ἔσωθεν λινᾶ καὶ ἐπιβλέπειν. ¶ Ἐπιλιπές, ἐλλιπές. ¶ Ἐπιλίζαις, τὸ μέσον τοῦ ζυγοῦ. ¶ Ἐπιβολίς. μέρος τοῦ ὄπατος.
Ἐ πιλλοί, οἱ πολλοί. ¶ Ἐπίλλος παράστραβος ἢ συχνῇ διάστροφος παρὰ τοὺς ἰλλοὺς οἵ εἰσιν οἱ ὀφθαλμοὶ δι' ἀλλήλων εἰς ἕκαστον. ¶ Ἐπιλύκιον, ἀρχεῖον τοῦ πολεμάρχου ἀθήνησιν. ¶ Ἐπιλύγαιον, ἐπινέφελον, σκοτεινόν. ¶ Ἔπιλυς, ξένος. ¶ Ἐπιλυσαμένη. εἰλειθυῖα καὶ μία τῶν εἰλειθυιῶν καὶ ἐπώνυμον δήμητρος παρὰ ταραντίνοις καὶ συρακουσίοις. ¶ Ἐπὶ λιψυδρίῳ μάχη. οἱ φυγάδες ἀθήνηθεν ὧν οἱ ἀλκμαιωνίδαι ἡγοῦντο, κατιέναι θέλοντες πολλάκις ἐπίθεντο καὶ λειψύδριον τειχίσαντες χωρίον ὑπὲρ τῆς πάρνηθος ἐπολέμουν τοῖς πεισιστρατίδαις. ¶ Ἐπιλόγιον, τὸ μέσον ἄχυρον. ¶ Ἐπιμαίνεσθαι, ἐπιζητεῖν.
Ἐ πιλαμβάνεσθαι, ἐπιψαύειν. ¶ Ἐπιμάλθα, ἀγαθὰ προσηνῆ ἢ μαλακὰ ἢ ἀσθενῆ λίαν. ¶ Ἐπιμάστακα, τὸ στόμα ἐν τῇ ὀδυσσείᾳ. ¶ Ἐπίμαστον, ἐπαίτην, ἐπιζητοῦντα τροφήν. ἀπὸ τοῦ μαστεῦσθαι ἔνδειᾳ τῶν ἀναγκαίων. ¶ Ἐπίμαστον, κακὸν ἐπισπαστόν, ἐφελκυσμένον δεινόν. ¶ Ἐπίμαστος. ἐπίληπτος. ὀχληρός. δραπέτης. πεινός. τροφὴν ἐπιζητῶν ἐνδεής. ¶ Ἐπιμακρὸν ἄυσεν, μεγάλως ἐφώνησεν. ¶ Ἐπιμάρτυρος, μάρτυς ἐπὶ τοῖς γινομένοις. ¶ Ἐπιμαστάμενος, ἐφαψάμενος, ψηλαφήσας. ¶ Ἐπιμάσσεται, ἐπαύξεται ἐπὶ πλέον. ἀπὸ τοῦ μάσσονος ὅ ἐστι μακροτέρου, οἱ δέ, ἐφάψεται ψηλαφήσει, ὅσιον οὐ λιμώσει. ἀλλὰ καὶ προσεπιμάσσεται πλείω σοφοκλῆς αἰχμαλωτίσιν. ¶ Ἐπιμαχία, ἡ τοῖς ἀμυνομένοις βοήθεια.
Ἐ πίμαχοι, ἐπίκουροι, βοηθοί. ¶ Ἐπίμαχον, χωρίον, ᾧ δύναταί τις προσιέναι μαχόμενος. ¶ Ἐπιμέλεια, σπουδή. ¶ Ἐπιμελίξαι, δῦναι. ¶ Ἐπιμελείας οἶκος, ἔνθα τὰ δημόσια ἔγγραφα ἔκειτο. ¶ Ἐπιμελῶς. συνεχῶς, σπουδαίως. ¶ Ἐπιμέμφεται, ἐγκαλεῖ, ἐπιδεῖται, ἐπαιτιᾶται. ¶ Ἐπιμερής. ἀριθμὸς οὕτω λέγεται. ὅταν ὁ μείζων τοῦ ἐλάττονος ὑπερέχῃ μέρει τινί. ¶ Ἐπίμεδρος, μοιχεύεται. ¶ Ἐπίμεστα, πλήρη. ποτέστιν ἐπὶ κεφαλῆς καὶ μὴ ἀποτιμηθῇ φερεκράτης βριθομένων ἀγαθῶν ἐπὶ ζατρίζης.
Ἐ πιμάξας, ἐπισπάσας. ¶ Ἐπιμετρίδα. τὸ ἐπίμεζον ὃ προσάπτεται τῷ χιτῶνι. ¶ Ἐπιμήδεα κεῖρε, τὰ βουλεύματα ἐπικόπτει, ἢ τὰ ἔργα ἐπιτέμνει χειρί.
Ἐ πιμηλίς. πόρτη καὶ ἀπίου γένος. ¶ Ἐπιμήνιοι, οἱ ἱεροποιοί, ἐκαλοῦντο δὲ καὶ θυσία τις. ¶ Ἐπιμηνία, ἡ κατὰ μῆνα τῇ νουμηνίᾳ συντελουμένη. ¶ Ἐπίμηρον. ¶ Ἐπιμείλια τὰ ἐπιθετὰ χρήματα. ¶ Ἐπιμιξ ἀναμεμιγμένος. ¶ Ἐπίμονοι, κάρχοι. ¶ Ἐπὶ μοῖραν, ἐπὶ θάνατον. ¶ Ἐπιμόριος, ἀριθμὸς ὑπερέχων ἑτέρου μέρει. ¶ Ἐπίμορτος, σύμμορος γῆ, ἢ ἐπιμερισθ. λέγεται οὕτω καὶ ὁ μέρει ἐργαζόμενος. μορτὴ γὰρ τὸ μέρος ἐκαλεῖτο, καὶ ἑκτήμοροι οἱ τὸ ἕκτον τελοῦντες.
Ἐ πιμορφάζονται, σχηματίζονται.
Ἐ πίμοχθον, ἐπίπονον. ¶ Ἐπιμοχθῆσαι. ἀντὶ μόχθῳ ἐπιπονῆσαι. ¶ Ἐπιμύλας, ἐπιγαστρίας.
Ἐ πίμυξις, στεναγμός. ¶ Ἐπιμύσας, καμμύσας, κλείσας. ¶ Ἐπινάξαι, ἐπιπακτῶσαι. ¶ Ἐπίνακτιρ, ὁ ἐπιδεδομένον ἐκ ναύτην. ¶ Ἐπινήματο, ἐπανενηνόατο. ¶ Ἐπινείσεται, ἐπελεύσεται. ¶ Ἐπινέμεσις, ἐπιμερισμός. ¶ Ἐπινένικται. τέτρωται, βεβαπτεῖσθαι τὰς φρένας. ¶ Ἐπινενύχθαι, παραφρονεῖν. ¶ Ἐπινενυμένον, τὸ ἐπίτειχισμόν.
Ἐ πινεφέλλον, τὸ ἐπὶ τῶν νεφρῶν λίπος.

χος καὶ τὸ ἱστίον τὸ ἐν τῇ πρύμνῃ κρεμάμενον ὃ καλοῦσι φάρον καὶ ἔλασσον. ¶ Ἐπιδιοχεῖν, ἐπιτωθάζειν.

Ἐπιδώμεθα, ἐπιδῶμεν θεοῖς ἱλῶμεν.

Ἐπιδότας, Ζεὺς ἐν Λακεδαίμονι. ¶ Ἐπιέζεν, ἐπεπίασιν. ¶ Ἐπιεικέα, τὸν ἀστεῖον ἢ τὸν ψευδῆ. ἄλλοι τὸν ἐγχωροῦντα καὶ πρέποντα. ¶ Ἐπιεικές, καθῆκον. πρέπον. προσῆκον. ἱκανόν. ¶ Ἐπιεικὲς, προσηνὲς εὐγνώμον, μέτριον, εὐφυές. σπουδαῖον, πρᾶον, ἀγαθόν.

Ἐπίεικτα, φορητά, ὑποχωρητά.

Ἐπιεικεύσειν, ἠγάσωσιν. ¶ Ἐπιεικῶς, πάνυ λίαν πράως. ¶ Ἐπιειμένε, ἐμφιεσμένε, ἐνδεδυμένε.

Ἐπιείξας. ἐπιδείξαντικῶν, κενοδόξων. ¶ Ἐπιεισάμενοι, ἐφορμήσαντες, ὁμοιωθῆσαι. ¶ Ἐπιείσεται, ἐπελεύσεται. ¶ Ἐπιείστορε ἐπὶ μάρτυρας, δυϊκῶς ἡ λέξις. ¶ Ἐπιερύναι, ἐπιλαθεῖν. ¶ Ἐπὶ ἐπὶ τῶν, ὑπέρθεσις λάκωνες. ¶ Ἐπιέσαν, ἐπήρχησαν.

Ἐπιέπεται, ἀκολουθεῖ. ¶ Ἐπιέσασθαι, γῆν ταφῆναι. ¶ Ἐπιεσσάμενος, λαβόμενος. ¶ Ἐπιέψω, ἐπιτελέσω. ¶ Ἐπίξα, ὄρνεα κύπριοι. ¶ Ἐπιζάξ, ἐπὶ τὰ ἀριστερὰ καὶ ἐπ' εὐθείας καὶ ἐπὶ τὴν σύντομον καὶ ἐπίτηδες ἐκ πλαγίου ἢ συντόμως ἀθηναῖοι.

Ἐπιζαφελὲς, θυμώδης, ὀργίλον, χαλεπόν. ἰσχυρόν. ἐπίσκοπον. ¶ Ἐπιζαφελῶς, αὐξημένως, ἄκρως.

Ἐπιζευτὴρ, σπειρὰ καὶ σειρά. ¶ Ἐπιζύγιον, μέρος τῆς νεώς. ¶ Ἐπιζυγμεῖν. ἐπισκαρδαμύττειν. ἐπιστύφειν. ἐπικατακλᾶν. ¶ Ἐπιζύγμουσα, ἐπικλείουσα, μύουσα. ¶ Ἐπιζητῶν, ἀπολαμβάνων, συνέχων.

Ἐπιζωγρέων, κατὰ ζωγρεῶν. ¶ Ἐπίηλεν, ἐπεξέτεινεν, ἔπεμψεν. ἐπίαχεν, ἐπηύξησεν. ¶ Ἐπιῆρα, τὴν μετ' ἐπικουρίας χάριν μεγάλην, ἢ ἐκ τῆς προθυμίας ὡς αὐτίμαχος. ¶ Ἐπιήρανα, θυμοποδένιτηρα.

Ἐπιήρανα, ἐπικουρητικὰ τῆς ψυχῆς ἢ πολλῶν.

Ἐπίηρος, ἐπίκουρος ἐπιθυμητής. ¶ Ἐπίηρος, βοηθὸς χάριν ἀποδιδούς. ¶ Ἐπιῆρα, ἐπίχειρα.

Ἐπιθιγγάνει, ἐφάπτεται. ¶ Ἐπιθαλαμίτης, ἑρμῆς ἐν εὐβοίᾳ. ¶ Ἐπιθαλάμοντι. ἐπιφλεγμαίνουσιν.

Ἐπιθαλπές, τερπνόν. ¶ Ἐπὶ θάτερα, ἐπὶ τὰ ἕτερα.

Ἐπιθαρσύνων, προτρεπόμενος. ¶ Ἐπίθαρσος. προσδοκώμενος ἀποθανεῖν. ¶ Ἐπιθεάζει, θεοὺς ἐπικαλεῖται. ¶ Ἐπιθέατα. τὰ πάτρια ἱερὰ παρὰ ἀθηναίοις. ¶ Ἐπιθεάσας. κατευξάμενος.

Ἐπίθεος, σημεῖον ἐν θυτικῇ. ¶ Ἐπίθεσις, ὁ τῶν δύο ἀριθμὸς παρὰ τοῖς πυθαγορικοῖς. ¶ Ἐπίθετον, ὁ στιβό. ¶ Ἐπίθεμα, τὸ ἐπιτιθέμενον. ¶ Ἐπιθῖναι, κλῖσαι. ¶ Ἐπιθήτωσαν, αὐτικείσθωσαν. ¶ Ἐπιθήκη, φερνή. μᾶζον δ' ἐπιθήκη. ¶ Ἐπίθημα, πῶμα. ¶ Ἐπιθήσει, ἐπιβαλεῖ. ¶ Ἐπιθήσοντας, ἐπιξύνοντας, ἐπιφέροντας. ¶ Ἐπιθειάζεις, τὸ θεῖον ἐπιδεξάμενος θεοφορηθείς. ¶ Ἐπιθιγγάνει, ἐφάπτεται.

Ἐπιθλάσας, συντόμως εἰπών.

Ἐπιθολοῦσιν, ἐπισκοτοῦσιν. ταράττουσιν. ¶ Ἐπιθράνιμον, ἔρος τι τῆς νεώς. ¶ Ἐπιθρέξαντος, ἐπιδραμόντος. ἐπιξύσαντος. ¶ Ἐπιθορνύμεναι, σπερμαίνουσαι καὶ ζωογονοῦσαι, θόρος γὰρ τὸ σπέρμα.

Ἐπιθράξαι. ἐπιθρύξαι. ἐπινύξαι. ¶ Ἐπιθρελεκία, ἑορτὴ ἀπόλλωνος. ¶ Ἐπιθρώσκει, ἐφάλλεται, ἐπιπηδᾷ.

Ἐπιθρώσκουσιν, ἐπιπηδῶσιν. ¶ Ἐπὶ θρωσμῷ πεδίοιο, ἐν τῷ πεδίνῳ μὲν ἐπιδρόμῳ. ¶ Ἐπιθυμελίας ἀγῶνα τὴν τῶν διαφραγμάτων στάσιν. ¶ Ἐπιθυμίδες, τὰ παντοδαπὰ στεφανώματα. ¶ Ἐπιθυμῶν, ὀρεγόμενος. ¶ Ἐπιθύω, ὥρμημαι. ¶ Ἐπιθύοντες, σπουδάζουσιν, ἐπιτίθενται. ¶ Ἐπιτωθάζοντες, ἐπιχλευάζοντες. ¶ Ἐπιθωΰσσειν, ἐπικελεύεσθαι.

Ἐπιηθέντες, ἐπιχαρέντες. ¶ Ἐπιείκελον, ὅμοιον.

Ἐπίστορα, ἔμπειρον. ¶ Ἐπικαγχάζων, ἐπιγελῶν.

Ἐπὶ κάρ. ἐπὶ κεφαλήν. δι' οὗ δηλοῖ τὸ καταφερὲς τοῦ ῥεύματος, ἐπὶ κάραν. ¶ Ἐπικαταφορά, καταφορά.

Ἐπικάρπιος, Ζεὺς ἐν εὐβοίᾳ. ¶ Ἐπίκαιρος, εὔκαιρος.

Ἐπικάρσιον. [illegible]. ¶ Ἐπικάρσια, ἐπικαρσία δὲ προσηπτοῦμαι. πλάγια οὐ κατ' εὐθεῖαν φερόμενα.

Ἐπικαρυκεύεται, ἀρτύει. ¶ Ἐπικαχλάζεται, διακινεῖται. ¶ Ἐπίκε λάβησιν, ἐπιλάβη.

Ἐπικέλια, ἔσθηγα, ἱμάτια. ¶ Ἐπικατεδαρθεῖν, ἐφυπνῶσαι. ¶ Ἐπικεῖραι, διακόψαι, διαφθεῖραι.

Ἐπικεκλιμένας, ἐπικειμένας, ἐπικεκλεισμένας.

Ἐπικεκόνιμαι, διέφθαρμαι ἀπόλωλα. ¶ Ἐπικέλσαντες, ὁρμήσαντες, ὅ ἐστι ξηρὸν ἀναπόντες τὴν ναῦν.

Ἐπικερτομῶν, ἐπισκώπτων. ¶ Ἐπικεύσω, κρύψω.

Ἐπικεφαλὴν, ταχέως. ¶ Ἐπικεφάλαιον, τὸ ἐπικεφάλιον. ¶ Ἐπικεχήνασι, περιέχουσιν. ¶ Ἐπικήδειον. ἐπιθανάτιον. ¶ Ἐπίκηρα, ἐπίνοσα, μοῖρα ἢ ἐπιθανάσιμα. ¶ Ἐπικηδεύειν, ἐπιδυσμενεύεσθαι.

Ἐπικήραν, ἐπιμοίραν, ἐπιθανατίαν. σαθράν.

Ἐπικηρότεροι, ἐπισαθρότεροι. ¶ Ἐπικηρυκεύεται. προσκηρύσσεται. ¶ Ἐπικίδναται, σκορπίζεται. ἐφημᾶται, ἐφαπλοῦται. ¶ Ἐπικίδνανται, ἐφαπλοῦνται. ¶ Ἐπικιχράδες, ὁ Ζεὺς ἐν χῷ.

Ἐπικλασθῆναι, συμπαθῆσαι. ἐλεῆσαι. ¶ Ἐπικλείδια, ἑορτὴ δήμητρος ἀθήνησι. ¶ Ἐπικλεψάσης, ἀπελθὼν λάθρᾳ. ¶ Ἐπικλέπτοιτο, ἐπιθυμοίη.

Ἐπικλεοσμούδονα, ἐπικληδόνα. ¶ Ἐπίκλην, ἡ ἐπίκλησις παρὰ ἀττικοῖς. ¶ Ἐπίκλην, ἐπωνυμία.

Ἐπίκλημα, μέμψις ἢ ἔγκλημα. ¶ Ἐπίκληρος ἐνούσιος, γυνὴ διαπονα εἰς ὃν κατήντησεν πολλοῖς κλήροις.

Ἐπίκλητος, ἐπίξενος, ἔξωθεν ἐπεισερχόμενος δήμων καὶ οἱ σύμμαχοι. ¶ Ἐπικλινεῖς, ἐπιπίπτων προσρέπων. ¶ Ἐπικλόπιος, Ζεὺς οὕτως καλεῖται.

Ἐπίκλοπος, δόλιος πανοῦργος ἢ ἐπιθυμῶν τοῦ κλέπτειν. ¶ Ἐπίκλυσις. ἐπιρροή. ¶ Ἐπικλωθεῖν, ἐπινείδισον, ἐπίδεξον. ¶ Ἐπικοινοῦς, ἀντὶ τοῦ κοινοῦ.

Ἐπικνάφων. ἕλκων. διαφθείρων. τὸ γὰρ πρότερον οἱ γναφεῖς ἀκανθῶν σωρὸν συνερέψαντες, τὰ ἱμάτια ἐπὶ τοῦ σωροῦ ἐκνάπτον. ὁ δὲ σωρὸς ἐλέγετο γνάφος. ὁ οὖν κροῖσος τὸν ἐχθρὸν διέξανε ταῖς ἀκάνθαις καὶ οὕτως ἔφθειρεν. ¶ Ἐπικοιμωτηριάσασθαι, ὑπηρετικὸν ὄνομα. ¶ Ἐπικοίνιος, Ζεὺς ἐν σαλαμῖνι. ¶ Ἐπικομπῶν, ἐπικαυχώμενος. ¶ Ἐπικόκκουρος, ὁ παρατηρητὴς ἐν σταδίῳ παρὰ λάκωσι. ¶ Ἐπίκοπος, χάραγμα ἐκ δευτέρου πληγῆς. ¶ Ἐπίκορον, ἐπίκοπον. πάχυιοι. ¶ Ἐπικόρρης ἐπὶ κεφαλῆς ἢ γνάθου. ¶ Ἐπίκορρι. ἐπὶ κονδυλίῳ. ¶ Ἐπικορρισόν, κατακονδυλισόν. ¶ Ἐπίκητα. ἐπίμομφα, ἃ πᾶσ

Ἐπιβάθρῳ, ἐπιβάσει. ¶ Ἐπίβαθρον, μισθὸς ἐπιβάσεως εἰς τὴν ναῦν, τουτέστιν ναῦλον. ¶ Ἐπίβδαι, αἱ μεθέορτοι ἡμέραι ἀπὸ τοῦ ἐπιβαίνεσθαι ταῖς ἑορταῖς οὐκ οὔσαις ἐξ αὐτῶν· ὁ ἐπειδὰν κατὰ πρόσθεσιν τοῦ β διὰ τὸ ἐπὶ τῇ δευτέρᾳ καὶ ἑορτῇ ἄγεσθαι αὐτάς.

Ἐπιβαλεῖ, ἐπιρρίψει. ¶ Ἐπίβαλοι, πτέρναι.

Ἐπιβαλλόμενος, ἐπιβολὴν κατὰ πρόσθεσιν ἔχων ἐπιθυμιῶν. ¶ Ἐπίβαλμα, ὑποπέδιον.

Ἐπίβασιν, ἀνάβασιν, βάσιν. ¶ Ἐπιβασκέμεν, φρονεῖν. ἐπιβιβάζειν. ¶ Ἐπιβατεύουσι, ἀμφισβητοῦσι ζητοῦσι. ¶ Ἐπιβάτην, τὴν πτέρναν τοῦ ποδός.

Ἐπιβάτης, ἐπὶ νῶτον βαίνων. ἢ ὁ μὴ κωπηλάτης, ἀλλὰ πλέων μαχητής. ¶ Ἐπιβατόν, ὀδευόμενον.

Ἐπιβήματα, εἶδος χορικῆς ὀρχήσεως. ¶ Ἐπιβήμιος Ζεὺς ἐν σίφνῳ. ¶ Ἐπιβύσει. ἐπιβαρύσει, ἐπιχύσει.

Ἐπιβήσομαι, καταφύγω. ¶ Ἐπιβήσομεν, μεταχειρ ποιήσομεν. ¶ Ἐπιβιβῶ, ἀναφέρω.

Ἐπιβατικά, ἃς ἡμεῖς λέγομεν παρενθήκας ἐπὶ τῶν ἐμπορικῶν πλεόντων. ¶ Ἐπίβλαξ, συννεφὴς νιφετός. ¶ Ἐπίβλημα, πῶμα ὁ ῥάκος. ¶ Ἐπιβλής, μοχλός. ¶ Ἐπιβλότης, δοκὸς μοχλός.

Ἐπίβλυξ, συννεφής. ¶ Ἐπιβοᾶν τὸν μύσιον, ὅταν θρηνῶσιν αἱ μοῦσαι, τὸν μύσιον τὸν ὕλλαν ἀνακαλοῦνται.

Ἐπιβλαί, σφῆνες. ¶ Ἐπιβόλαια, ἐπιβλήματα.

Ἐπιβολεύς, ὁ ἡρακλῆς παρὰ θουρίοις. ¶ Ἐπιβολή, ὁρμή. ἔγγραφος ζημία. ¶ Ἐπιβουλεύει, ὁρμᾷ ζημιοῖ. ¶ Ἐπίβουλος, ἐχθρός. ¶ Ἐπιβράζων, λοίδορος. ¶ Ἐπιβόλως, φρονίμως. ¶ Ἐπιβώτορι. ποιμένι, βοσκοτρῷ ἐνόρχει μὴ ἐκτετμημένῳ ἐπιβαίνοντι. ¶ Ἐπιβοῶνται, ἐπικαλοῦνται.

Ἐπιβρέμοντες, ἐπηχοῦντες. ¶ Ἐπιβρέξαι, ἐπαναχεῖν, βρέξαι. ¶ Ἐπίβρεγμα, ἐπὶ σώμα καὶ κεφαλήν. ¶ Ἐπιβρύσει, ἐπιχύσει, ἐπιβαρύσει.

Ἐπιβρίθων, ἐπιβαρῶν. ¶ Ἐπιβρεμεῖ. ἐπιφωνεῖ.

Ἐπιβρίσαι, ἐπαναχεῖν, ἐπελθεῖν. ¶ Ἐπιστῆξαι, ἐπιβαρεῖν. ἐφορμῆσαι, βιάσασθαι. ¶ Ἐπιβυσήσωσιν. φραξάτωσαν, φιμωσάτωσαν. ¶ Ἐπιβωμίζοντι, θύοντι. ¶ Ἐπιβώσομαι, ἐπικαλέσομαι, ἐπιβοήσομαι. ¶ Ἐπίβωτος, λεῖος, ὁμαλός.

Ἐπιβώτορι μήλων, βοσκῆρι τῶν ποιμνίων ἐπιστάτῃ ὁ ἐφεστάσιος. οἱ γὰρ τῶν βασιλέων υἱοὶ πρῶτον ἐπὶ τῶν κτηνῶν ἱππεύειν ἐμάνθανον. ¶ Ἐπιγαμία, συγγένεια, ἡ διὰ τὸ ἀπ' ἀλλήλων ἄγεσθαι. ¶ Ἐπίγαμος, [illegible]. ¶ Ἐπιγάννυσθαι, χαίρειν. ¶ Ἐπίγουρον, ἰσχυρόν. ¶ Ἐπιγαυρωθείς, ἐπαρθείς.

Ἐπιγεινομένοις, ἐπιγινομένοις. ¶ Ἐπιγελαστήρ, ὁ καταγελῶν. λάκωνες. ¶ Ἐπιγελωσόμεναι. ἐπιλαλοῦσαι. ¶ Ἐπιγλώσσω, ἐπιστομίζου διὰ γλώττης αἰ χεῖλος ἡρακλείδης. ¶ Ἐπιγνάψαι, ἐπικατακλάσαι, συμπιέσαι, συνάψαι. ¶ Ἐπιγνάμψῃ, ἐπικλάσῃ. ¶ Ἐπίγνωθι. μάθε. γνώρισον.

Ἐπιγνώμη, συγγνώμη διάγνωσις. ¶ Ἐπιγνώμονος, συνετοῦ γνώμην ὅρον γνώμην ἔχοντος. ¶ Ἐπιγνώμων, ἐπόπτης. ¶ Ἐπεγομένων, ἐπὶ πάντων ἀπιόντων. ¶ Ἐπιγονή. γέννημα. ¶ Ἐπιγουνίδι. περὶ γόνασιν. ¶ Ἐπιγουνίδα, τὸ ἐπάνω τοῦ γόνατος,

λέγει δὲ τὸν μηρὸν ἀφ' οὗ ἐκδικτέον τὴν τοῦ σώματος δεξίαν. ¶ Ἐπιγράβδην, ἐπ' ἄκρον ξύσαι. ἐπιξεστικῶς. ¶ Ἐπιγράμματα, αἱ ἐπιγραφαί.

Ἐπιγραφεύς, ζωγράφος. ¶ Ἐπιγράψαι, ἐπιπολῆς, ἐπιξύσαι. ¶ Ἐπιγράφεται, ξύεται. χαράσσεται. ὀνομάζεται. ¶ Ἐπιγύιον, τῶν πρυμνησίων κάλων, ἅ τινες πείσματα καλοῦσιν. ¶ Ἐπίδαιτρον, ὄψον. ¶ Ἐπιδαιτρεύσομαι, ἐπιστελῶ διωχθήσομαι.

Ἐπιδεκρυθέντα, ἐπιγραφέντα,

Ἐπίδηλον, λοιμικόν. ¶ Ἐπιδαύρειον, τὸ φοινικόν.

Ἐπιδαύριοι, ἔθνος πελοποννήσου. ¶ Ἐπίδαυρος, πόλις ἐν ἄργει. ¶ Ἐπιδαψιλεύσει, μεγαλοψυχήσει.

Ἐπιδαψιλευόμενος, μεγαλοψυχούμενος. ¶ Ἐπιχορηγῶν, πλουσίως. ¶ Ἐπιδεῖ, ἐνδεῖ, ἐλλείπει.

Ἐπιδείκνυται, φανεροποιεῖ. ¶ Ἐπιδεικτιῶντα, ἐπιδείκνυσθαι μέλλοντα ὃ θέλονται. ¶ Ἐπίδειξις, ἐπιδεικτικός. ¶ Ἐπιδινήσας, συστρέψας, συσείσας. ¶ Ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι. τὴν δὲ κληῖδα περιήγαγε τῷ ἱμάντι. ¶ Ἐπιδεικτικός, ἐπίδεικτος. ¶ Ἐπιδέξιος, καλός. ἀγαθός. εὔμορφος.

Ἐπιδεξιπολίνης, ἐκ τῶν δεξιῶν μερῶν περιστρέψας.

Ἐπίδεσον, ἐπίστρεψον. ¶ Ἐπιδευεῖς, ἐνδεεῖς, χείρονες. ¶ Ἐπιδεύηται. ἐπιδεὴς ὁ ἐλλιπὴς εἴη.

Ἐπιδεύσω, ἐπικρύψω. ¶ Ἐπιδέψονται. ἐπακολουθήσουσιν. ¶ Ἐπιδεῦσαι. ἐπιστρέψαι. ¶ Ἐπίδεκτον, ἐπίσημον, υἱόν. ¶ Ἐπίδεχα. σκύφον τὸ μὴ κενόν. ¶ Ἐπὶ δελφινίῳ, τὸ δικαστήριον, ἐφ' οὗ οἱ ὁμολογοῦντες πεποιηκέναι φόνους ἐκρίνοντο.

Ἐπιδεχόμεθα, προσδοκῶμεν. ¶ Ἐπιδέξπνις, μακεδονικὸς κώθων ἔνδυσμα ἐθισμός. ¶ Ἐπιδημεύει, ἐν τῷ δήμῳ ἀναστρέφει. ¶ Ἐπιδημία, παρουσία.

Ἐπιδήμιον, κοινὸν δημόσιον ἢ ἐμφύλιον. ¶ Ἐπιδημίου, ἐνδήμου, ἐμφυλίου καὶ μὴ πρὸς πολεμίους γινομένου. ¶ Ἐπίδημον. ὡς ἐπιπολὺ ἔστιν, ὑπὸ δήμου τετιμημένον ὅ ἐν τῷ δήμῳ ὄν. ¶ Ἐπὶ δηλίῳ μάχη. δήλιον τὸ ἐν βοιωτίᾳ τοῦ ἀπόλλωνος ἱερόν, ὃ ἐτείχισαν ἀθηναῖοι, καὶ περὶ αὐτοῦ βοιωτοῖς μαχεσθέντες ὅτ' ἡττήθησαν, ἱπποκράτους στρατηγοῦντος.

Ἐπιδικάζεται, ἀντιποιεῖται. ¶ Ἐπίδικος, ὅτις οὐκ ἔστιν ἄνευ δικασίας, πᾶσ' εἰς πλείους συγγενεῖς καὶ οὐσίας ἐπιδικάζονται. ¶ Ἐπὶ δὲ, ἐπιπολύ.

Ἐπιδίφρια, τὰ ἐπὶ τῷ ἁρματίῳ δίφρῳ.

Ἐπιδιφριάδος, ἐκ τῆς περιφερείας τοῦ ἅρματος.

Ἐπίδναι, πελάσαι ἢ πίλαι. ¶ Ἐπιδόκα, προσδοκία,

Ἐπιδοκίας, προσδοκίαι. ¶ Ἐπίδοξα, προσδοκώμενα.

Ἐπίδοξος, προσδόκιμος. ¶ Ἐπιδορατίς, ὁ σίδηρος τοῦ ἀκοντίου τὸ ἄνω. ¶ Ἐπιδορπίσασθαι, ἐπιδειπνήσασθαι. ¶ Ἐπιδορπίσματα, τραγήματα ἐπιδείπνια

Ἐπίδοσις. ἡ προὶξ καὶ ἡ αὔξησις.

Ἐπιδόρατον, ἐπιπαραστρέψιον. ¶ Ἐπιδραμέτην, ἐπιδίωκον, ἐπέρχονται. ¶ Ἐπιδράμωμεν, ἐπιδιώξωμεν. ¶ Ἐπιδράττονται, κρατοῦνται.

Ἐπιδρομάδην, περιέργως κατὰ σπουδήν.

Ἐπιδρομή, ἔφοδος ἁρπαγή. ἐπίβασις. ¶ Ἐπίδρομον, καταφανὲς καθ' ὃ δυνατὸν ἐπιδραμεῖν. κατερχόμενον ἐπὶ τοῦ τείχους, ὡς καὶ ἐπίδρομον ἔπλετο τεῖ-

Ἐπίκρανεν, ἐπέκρᾶναν. ¶ Ἐπικέκαρ, ἐπωνείδιστο. Ἐπίκλυεν. ἐπήκουον. ¶ Ἐπικλώσκω, ἐπιτάσσω. Ἐπικλώσαντο, ἐπικατέκλωσαν ἐπιμοιράζειν, ἐκύρωσαν, ἐπεκληρώσαντο. ἐπιμοίρανα. ¶ Ἐπικονίετο, κατεκρύπτετο. ¶ Ἐπέκρανεν, ἐπετέλει. ¶ Ἐπικρήηνεν, ἐπετέλεσεν. ¶ Ἐπικύρωσεν, ἐβεβαίωσεν.

Ἐπικόκλυσεν, ἐπαύξησεν ἀπὸ τῶν βαπτιζόντων οἱ καὶ τελειοῦσι τὸ ποτὸν ἵνα τὸ δοκοῦντι μικρὸν προστίθηται, καὶ ῥυτὸ ὅλον ἐπικοκλύσαι. ¶ Ἐπικώμασεν, ἐπεδήμησεν, ἐπῆλθεν, ἐκ μεταφορᾶς τοῦ κώμου. ὅ ἐστι ἐνθουσιῶντος πλήθους. ¶ Ἐπιλάνθανεν, εἰς λήθην ἦγεν. ¶ Ἐπιλαύνειν, ἐπιπέμπειν.

Ἐπίλαπσις, ἡ ἐπὶ πολὺ πτῶσις. ¶ Ἐπέλαχεν, ἐκληρώσαν. ¶ Ἐπιλέξαν. τὰ γεγραμμένα ἀνέγνωσαν.

Ἐπίλετο, ἐγίνετο. ἐφάνη. ¶ Ἐπιλήκεον, ἐκρότουν ποσί. ¶ Ἐπιλώχαζεν, ἐπηνέβαζεν ἐπιλητεῖν, ἐπιχαίρειν. ¶ Ἔπευ, ἔπου ἀκολούθει. ¶ Ἐπευθόμεθα, ἠκούομεν. ¶ Ἐπευκτά, ἐπιθυμητά. ¶ Ἐπευναταί, οἱ συγκοιμηταί. ¶ Ἐπ' εὐνάων, ἐπὶ τῶν ἀγκυρῶν. ¶ Ἐπεύξαν, ἐκαυχήσαντο. ¶ Ἐπ' εὐρέα, ἐπὶ τὰ πλατέα. ¶ Ἐπ' εὐρυγύῃ ἀγών. μελησαγόρας τὸν ἀνδρόγεων εὐρυγύην εἰρῆσθαι φησὶ τὸν μίνωος ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον ἀθήνησιν ἐν τῷ κεραμεικῷ, καὶ ἡσίοδος, εὐρυγύης δ' ἔτι κοῦρος ἀθηναίων ἱεράων. ¶ Ἐπ' εὐσεβίῃ, ἐπ' εὐσεβείᾳ. ¶ Ἐπεύχεο, καυχοῦ. ¶ Ἐπεύχεται, καυχᾶται. ¶ Ἐπεφάνη, ἐπ' αὐτοφώρῳ ὤφθη. ¶ Ἐπευφήμησεν. ἐν εὐφήμῳ βοῇ εἶπεν. ¶ Ἐπέφησαν, ἔφησαν. ¶ Ἐπέφλυσι. ἐλασθῆναι ἐποίησεν. ¶ Ἐπέφνεν, ἐφόνευσεν, ἀνεῖλεν, ἀπέκτεινεν. ¶ Ἐπέφραδεν, διεσάφησεν, εἶπεν. ¶ Ἐπέφραδον, εἶπον, ἐπέγνωσαν.

Ἐπέφρασαν, διεσήμαναν. εἶπον. ¶ Ἐπεφύοντο, ἐπείχοντο. ¶ Ἐπέχε, ἐπίκεισο, πρόσεχε, κάτεχε, ἐπίμενε. ¶ Ἐπίχειρον, ἀκόλουθον. ¶ Ἐπ' ὄχω, ἐπὶ μέλει. ¶ Ἐπέχεται, κωλύεται. ¶ Ἐπιχείρειν, ἐπετίθεσαν, ἐπεχείρουν. ¶ Ἐπεχθισμένον, βάρος βαστάζοντος. ¶ Ἐπέχοντες, κρατοῦντες. ¶ Ἐπεχορήγησεν, ἐπεδήμει. ¶ Ἐπεχράοντο, ἐπεβάρησαν, ἐπῆλθον. ¶ Ἐπέχραον, ἐπέθεντο, ὥρμησαν, ἀθρόοι ἐπέστησαν. ¶ Ἐπέψεν, ἐπραΰνθη. ¶ Ἐπέων, λέξεων, λόγων. ¶ Ἐπηβαλλομένη, ἐνθαζομένη.

Ἐπηβολή, μέρος ἢ ἐπιβολή. ¶ Ἐπήβολος. ἔμπειρος, ἐπιστάτης, δεσπότης. μέτοχος. ¶ Ἐπιβολὴν ἔχων, δεσπόζων. ¶ Ἐπηβόλοις, ἐπιτευκτικοῖς, ἐπιτηδείοις. οἱ ἐπιτυχεῖν μέλλοντες. βάλλειν γὰρ τὸ ἐπιτυγχάνειν. ¶ Ἐπήγαγεν. ἐπήνεγκεν. ¶ Ἐπήγαγον, ἐπαγομένην εἰς τὸ πεῖσαι. ¶ Ἐπηγανίδες, ἐπιπήγματα. ¶ Ἐπηγγελλόμην, προεκάλουν ἐπέστελλον σοφοκλῆς ὀλέκτρα. ¶ Ἐπήγετο, ἐπεφέρετο.

Ἐπηγκενίδες, τὰ διηνεκῆ ἐπὶ σχεδίας ξύλα, αἱ εἰς μῆκος καθηλούμεναι σανίδες, οἱ δὲ τὰ παραθέματα ἢ πλάγια. ¶ Ἐπηγμένως, κατασπουδαζόντως.

Ἐπηγορίαν, ὀνομασίαν. ¶ Ἐπῄει, ἐπήρχετο.

Ἐπῄεσαν, ἐπήρχοντο. ¶ Ἐπηετανόν. συνεχές. ἀδιάλειπτον, παρατεταμένον διὰ παντὸς τοῦ χρόνου διαρκές. ¶ Ἐπηετανῶν, ἀδιαλείπτων. ¶ Ἐπηθανίσ, λεπτὴν πρόβατον. ¶ Ἐπηΐα, ἐπιπσία. ¶ Ἐπήκοοι, κεῖται. καὶ οἱ μάρτυρες καὶ οἱ δικάζοντες.

Ἐπήκοος, ἀφροδίτη ἐν καρχηδονίοις. ¶ Ἐπικουρία, βοήθεια συμμαχία. ¶ Ἐπήκρισεν, ἐπ' ἄκρον ἤγαγεν, τέλος ἐπέθηκεν. ¶ Ἐπήλεγεν. ἐπῆρεν, ἐκίνησεν. ¶ Ἐπηλάθησεν, ἠλόθευσεν. ¶ Ἐπῆλθε, κατέλαβεν. ¶ Ἐπῆλθέ μοι, ἦλθέ μοι.

Ἐπηλύγασαν, ἐπιφανὲς σκοτεινόν. ¶ Ἐπηλυγάς, ἐπίπροσθεν. ¶ Ἐπήλπιζον, ἐλπιδοποίουν.

Ἐπηλυγίζονται, ἐπισκιάζονται, ἐπικρύπτονται.

Ἐπήλυδες, νεωστὶ ἐλθόντες ἐξ ἑτέρας γῆς. ἐπιλεκτοί, οἱ οὐκ ἰθαγενεῖς. ¶ Ἔπηλυς, ξένος, νεωστὶ ἐλθὼν ἄλλοθεν ἐλθών. ¶ Ἐπηλυσία, ἐπαοιδὴ φαρμακῶν ἡ ἔφοδος τινός. ¶ Ἐπήλυσις, ἔφοδος ἐπαγωγή.

Ἐπήλυθεν, ἐπῆλθεν. ¶ Ἐπήλυτες, ἔποικος, προσήλυτος. ¶ Ἔπηλις, τὸ πῶμα τῆς λάρνακος.

Ἐπ' ἤματος, τὸ ἐμμηνῆ ἡμέρα ποιοῦσί τι.

Ἐπημοιβοί, ἐνηλλαγμένοι. ¶ Ἐπ' ἤματι. ἐν μιᾷ ἡμέρᾳ. ¶ Ἐπημοιβοί. διπλοῖ. παράλληλοι, ἀλλασσόμενοι. ¶ Ἐπημύει, ἐπικατακλᾶ ἐπιστενάζει.

Ἐπηπείλει, ἐμπίπτει. ¶ Ἐπήμυνον, ἐβοήθουν.

Ἐπῆν. ἐπενδέν. ¶ Ἐπῄνεον, ἐπῄνουν. ¶ Ἐπηνθήσεν, ἐβλάστησεν. ¶ Ἐπήνιον, προσοφειλόμενον, τὸ παραθαλάσσιος. ¶ Ἐπήνυσεν, ἐπὰν, ὅταν.

Ἐπήνυσεν, ἐπετέλεσεν. ¶ Ἐπῆξεν, ἔστησεν.

Ἐπίπνοι, ἐπιβόσκων. ¶ Ἐπήρατε, καλέσατε.

Ἐπηρεᾶν, ἐκρέμασεν. ¶ Ἐπήρατον, ἐπέρασαν.

Ἐπηράσται, ἐπαφράσται. ¶ Ἐπηρεάζει, βιάζει.

Ἐπήρεια. βία. ¶ Ἐπῆρεν, ἀνέπεισεν.

Ἐπήρετο. ἐπηρώτα. ¶ Ἐπήρετμοι, ἐπίκωποι.

Ἐπηρείσιον, τὸ προσκεφάλαιον. ¶ Ἐπηρείσατο, διερείσας ἐποίησεν. ¶ Ἐπηρεφέας, ἐπεστεγασμένας.

Ἐπηρεφέος, ἐπεστεγασμένου. ¶ Ἐπήρθη, ὑψώθη.

Ἐπήρκεσεν, ἐβοήθησεν. ¶ Ἐπῆρξε. κατῆρξεν.

Ἐπῆρσεν, ἐφώρμησεν, ἐπέρασεν. ¶ Ἐπηρτημένην, ἐπικειμένην, ἐπικρεμαμένην. ¶ Ἐπήρτυεν, ἐφήρμοζεν. ¶ Ἐπήρωσεν, ἐκάκωσεν. ¶ Ἐπηστίεν, ἐπιχαρεῖεν. ¶ Ἐπησθέντων, νεκρῶν τινός.

Ἐπήσθηρ. ἐπίσκηπτ, ἐπικεκαλλώπισται, κεκόσμηται.

Ἐπιστάν, ἐπιπολὺ ἀναπεπταμένον. ¶ Ἔπιστο, ἐπιλέλεκται ἐπωλή. ¶ Ἐπητέος, εὐλογιστοῦ, εὐγνώμονος, συνετοῦ, πράου. ¶ Ἐπήτεον, αἴσιον.

Ἐπητής. σώφρων, λόγιος. ἀληθός. δίκαιος. φρόνιμος παρὰ τὰ ἔπη. πρᾶος. χρηστός. ¶ Ἐπήτειμα, ἄλλα ἐπ' ἄλλοις πυκνά. ¶ Ἐπήτειος, λόγιος, πανοῦργος. ¶ Ἐπηΰδων, ἐπεφώνουν. ¶ Ἐπηύρων, ἐπέτυχον, παρὰ τὸ ἐπαυρεῖν. ¶ Ἐπιώρα, κρεμάμενα. μετέωρα. ¶ Ἐπηώρησαν. ἐφώρμησαν. ¶ Ἔπι. ἔπεστιν, ἔνεστιν καὶ ἐπὶ τόπου ἡ πρόθεσις. ἐπὶ ἀντὶ τῆς παρὰ κρατὸς λιμένος ῥέει. ¶ Ἐπιαλές. τρόπος.

Ἐπιάλης, ὁ ἐφιάλτης ὃν αἰολεῖς ἐφέλην, ἄλλοι ἐπιάλην καὶ ἐπιφέλην καλοῦσιν. ¶ Ἐπιαλμένων, ἐφαλλομένων. ¶ Ἐπιανδάνει, συναρέσκει.

Ἐπιανέω, ἐπιξέω. ¶ Ἐπιάρτμαγεν. ἐπειδὴ ἐχωρίσθησαν. ¶ Ἐπίασσα, δήμοξος ἐπώνυμον.

Ἐπίασεν, ἐβόησεν. ¶ Ἐπίαχον, ἐπεβόησαν.

Ἐπέραστος. ἐπιθυμητός. ἐράσμιος.

Ἐπερειδόμενος, ἐπιστηριζόμενος. ¶ Ἐπέρεισεν, ἐπεβάρυνεν. ¶ Ἐπέρειψα, ἐπεσκεύασα, ἐπικόσμησα. ἐπεστέγασα. ¶ Ἐπερείσομαι, ἐπικαμφθῶ. ¶ Ἐπερείσασθαι, ἐπιστηρίξασθαι.

Ἐπερείδεται, ἐμπίπτει, εἰσβαίνει. ¶ Ἐπερῆσαι, φιλοτιμῆσαι. ¶ Ἐπέρχομαι, τολμῶ, ἐγχειρῶ. ¶ Ἐπέρρεον, ἐπέπιπτον. ἐκόλλων.

Ἐπέρρισεν, ἐφεστάσατο. ¶ Ἐπερρόθησεν, ἐσείσεν. ἔκραξεν. ὑπήκουσεν, ἐπῄνησεν. ¶ Ἐπερρώοντο. ὅλως καὶ ἐστενοῦντο μετὰ ῥώμης ἐκινοῦντο. καὶ ὅλως καὶ ἐπεκαλοῦντο. ¶ Ἐπερρωσμένον. ἐρρωμένως ἐπεστήθησαν. μετὰ ῥώμης καὶ ἰσχύος ἐπέβαλον, ἢ ἐρρωμένως ὠρχήσαντο. ¶ Ἐπερρώσθην. ὑπηρέτησα.

Ἐπέρσεν, ἔολεν, ἐπόρθησεν, ἔβαπτεν, ἐκόλλησεν.

Ἐπέρτερα, μείζω καὶ ὑψηλότερα. ¶ Ἐπερφρόνησεν, αὔξησεν. ¶ Ἐπεσάχνοντο, ἐγκύπτων. ¶ Ἐπέσαξεν, ἐσεισμένοις. ¶ Ἐπεσβολίαι, λοιδορίαι, ἐπιτήσεις, φλυαρίαι, κακολογίαι. ¶ Ἐπεσβόλος, λοίδορος, προπετής, τὰ ἔπη βάλλων.

Ἐπέσθαι, ἀκολουθεῖν. ¶ Ἐπεσι. λόγοις, λέξεσιν.

Ἐπέσχαζεν, ἐχάλασεν. ¶ Ἐπεσκεμμένως, συνετῶς.

Ἐπεσκέψαντο, ἐπέβλεψαν, ἐφεῖδον. ¶ Ἐπεσιν, ὀκολυθῆσαν. ¶ Ἐπέσπερξα, ἐφώρμησα.

Ἐπεσπεύδοντο, ἐπέσπευσαν, ἐφώρμων. ἐπηκολούθουν μετὰ σπουδῆς. ¶ Ἐπέστησαν, ἐπλέκον, ἐπλέπτωον.

Ἐπέσσον, ἐπέβλιζον, ἐπεκπένιζον.

Ἐπεσσυμένος, ἐπελθὼν ἐπορούσας ἐφορμήσας.

Ἐπεσσύμενον, ἐπεγνόμενον, προθυμούμενον.

Ἐπέσσυται, ἐφορμᾶται. ¶ Ἐπέσσυτο, ὁρμᾷ, ἐπῆλθεν. ¶ Ἐπεστενάχοντο, ἐπέστενον καὶ ἦχουν.

Ἐπεστέψαντο, ἐπεστεφάνωσαν, πλήρεις ἐποίησαν, ἐπλήρωσαν. ¶ Ἐπεσιν. ἐπέτυχεν. ¶ Ἐπεστασάμεθα, ἐσχόμεθα. ¶ Ἐπέσταθμον, ἔποικον κατάλυμα.

Ἐπεστράτευσεν. ἐπολέμησαν. ¶ Ἐπ' ἐσχαρόφιν, ἐπ' ἐσχάρας. ¶ Ἐπακολουθεῖ, συνεπάγεται, πρέπει.

Ἐπέται. ἀκόλουθοι, θεράποντες.

Ἐφέται, οἱ τὰς φονικὰς δίκας δικάζοντες.

Ἐπετέτακτο, ἐν τάξει ὄπισθεν ἠκολούθει. ¶ Ἐπετήσιον. ἐπὶ τοῦ ἔτους. ¶ Ἐπέταξεν, ἐνετείλατο.

Ἐπετέλλετο. ἐνετέλλετο. ¶ Ἐπετέλλετο, παρήγγελλε, παρεπέμπετο. ¶ Ἐπετίμα. παρήγγειλεν, ἐπετίμησεν.

Ἐπετήδευσεν, ἐμηχανήσατο. ἐσπούδασεν.

Ἐπετιμήσατο, τιμωρίαν ἐπέθηκεν.

Ἐπετοξάζοντο, ἐτόξευον, ἐστοχάζοντο, ἐφώρμων, τόξοις καὶ δόρασι βάλλειν ἢ τιτρώσκειν. ¶ Ἐπέτρεψεν, ἐπέτρεπεν, ὑπεχώρει. ¶ Ἐπέτειψαν, ἦραν.

Ἐπέτρον, ἐπίπτον. ¶ Ἐπέβεις, ἐπιβάτας, ἐπιβῆσαν. ¶ Ἐπεβαίνοντο. ἐπήρχοντο. ¶ Ἐπεβίησαντο, ἐπίεσαν. ¶ Ἐπέβησαν, ἐπιβῆναι ἐποίησαν.

Ἐπεδάκρυσαν, ἐπεδάκρυσεν. ¶ Ἐπεγκανάξαι, ἐπιμανῆναι ἢ ἐπιχέαι. ¶ Ἐπεγκλάσας, τοῖς ὄμμασι ταῖς διανύξεσι. ¶ Ἐπέγκαμψαν, ἐπικατέκλασαν. ἐπέγκαμψαν. ¶ Ἐπέγνω, μετενόησεν.

Ἐπέγραψεν, ἐπεχάραξεν. ¶ Ἐπέγλυψεν, ἐπέξυσεν. ¶ Ἐπέγρετο, ἐπηγείρετο. ¶ Ἐπ' ἐλάφοις,

ἐπὶ γῆς. ¶ Ἐπεδίετο, ἐδίωκεν. ἐχώριζεν. ¶ Ἐπέδησαν. κατέσχον, ἐδέσμευσαν. ¶ Ἐπεζάρυνεν, ἐπεβάρυνεν. ¶ Ἐπεζάρει. ἐπιβαρεῖ ἐπίκειται.

Ἐπεκράτει, ἐπεζήτει, ἠνώχλει. ¶ Ἐπεχείρει, ἐπετήρει, ἐπεζήτει τὰ αὐτά. ¶ Ἐπεζύγωσαν, προσέκλεισαν. ¶ Ἐπέκλασεν, κατεδάπανον. ¶ Ἐπεθείαζεν, ἐχόρευεν ἐθαύμαζεν ὡς θεόν. ¶ Ἐπέδωσκον, ἐπίδοω. ¶ Ἐπέθοντο, ἐπέκειντο, αὐτίκειντο.

Ἐπεὶ, λέγει, ὅτι ἢ ἐπειδὴ, ἢ ἐπειδὰν, ὃ ἐπεί τι ὃ εἰ δὲ μή. ¶ Ἐπεί. ἀφ' οὗ χρόνου, ἐπεὶ ξυῖος ἱερὸν πολὺ ὀρονεπορθησεν. ¶ Ἐπεί ἄρ τινα, ἐπάν τινα.

Ἐπεὶ ἄρ τ' ἀγαγεν, ἐπεὶ διεχωρίσθησαν. ¶ Ἐπιβολεύων, λοιδορῶν, ἐφυβρίζων. ¶ Ἐπείγει, παρωθεῖ, σπεύδει. ¶ Ἐπείγει, κατάγει, καθέλκει.

Ἐπείγεται, σπεύδει, σπουδάζει. ¶ Ἐπειγωλὸ καὶ ἔπειξις, ἡ σπουδή. ¶ Ἐπείγω, σπουδάζω.

Ἐπειδ' ἥνεον, ἐπήνουν καὶ συγκατετίθοντο.

Ἐπειδήπερ, ἐπειδή. ¶ Ἐπειδή. ἐξότου.

Ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη, εὐθέως ἀπὸ τῆς γενέσεως ὑπὸ τῶν μοιρῶν κατεκλώσθη. ¶ Ἐπειείξομεν. ὑπείξομεν. ¶ Ἐπεί. ἐπειδή. ¶ Ἐπείθετο, ἐπείσθη. ¶ Ἐπειδὴ πρῶτα, ἐπειδὴ ἅπαξ.

Ἐπεὶ ὃ πολὺ φέρτερος. ἐπειδὴ πολὺ κρείττων.

Ἐπείκειν, ἐπειδὲ μὴν. ¶ Ἐπεί χ' ὥμεθα πολέμοιο, ἐπειδὰν πληρωθῶμεν τοῦ πολέμου. ¶ Ἐπειλημμένη, κρατοῦσα. ¶ Ἐπεὶ μάθον. ἐπεὶ ἔμαθον.

Ἐπεικτὰς, ὑπόσχεσις, σπουδή. ¶ Ἐπεί μ' ἔτεκες, ἐπειδή μ' ἐγέννησας. ¶ Ἐπεὶ κέκληκε. ἐπεὶ ἐκάλεσε. ¶ Ἐπειοί. οἱ ὀλέθριοι καὶ οἱ πλησιόχωροι.

Ἐπειὸς, ὁ ὀλέθριος ἀπὸ πόλεως. ¶ Ἐπεὶ οὐδὲ ἔοικεν, ἐπεὶ οὐδὲ πρέπει. ¶ Ἐπεὶ οὐ ἔθεν, ἐπεὶ οὐκ αὐτοῦ.

Ἐπεὶ οὔποτε, ἐπειδὴ οὔποτε. ¶ Ἐπεὶ οὔτιμοι αἴτιοί εἰσιν. ἐπεὶ οὐκ εἰσίμοι αἴτιοι. ¶ Ἐπεὶ οὔ ῥι, ἐπεὶ οὐ δαιμονῶσι. ¶ Ἐπείπασθαι, ἐξειπεῖν.

Ἐπειὸς, οὕτως ἐκαλεῖτο Κρατῖνος ὁ κωμικὸς ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς οἰνηίδος φυλῆς, καὶ δειλότερος φανῆναι. καὶ γὰρ ὁ Ἐπειὸς δειλὸν σημαίνει.

Ἐπειρᾶ, ἐπειδή. ¶ Ἐπείραν, ἐπήξαν. ¶ Ἐπειράτιζες, ἐπείραζες. ¶ Ἐπειρᾶτο, ἐπείραζεν, ἐδοκίμαζεν. ¶ Ἐπειρεν, ἐπεῖρα. ἐνεῖρεν. ἐκέντησεν.

Ἐπειρηκ, ἐπειρᾶτο. ¶ Ἐπειπών, ἐπιβοήσας.

Ἐπειρώντο, ἐσπούδαζον. ἐβούλοντο. ¶ Ἐπεισάκτου, ἀλλοξίου. ¶ Ἐπεισι λέοντα, γυναικεῖν.

Ἔπεισιν, ἐπελεύσεται, ἐπέρχεται. ¶ Ἐπέρχονται, ἐπικαταλαμβάνουσιν. ¶ Ἐπεισκεινόμενον, ἐπεισερχόμενον. ¶ Ἐπεισιν, ἐπακολουθοῦντα ἔχειν.

Ἐπεισρεύσαντα, ἐπεισελθόντα.

Ἐπεισφρήσαντες, ἐπεισενεγκάντες.

Ἔπειτα, μετὰ ταῦτα. τάχιστα αὐτίκα δή.

Ἐπεὶ φίλον αἰὲν ἦτορ, ἐπεὶ καθύμεθα τῆς ψυχῆς ἀληθείας.

¶ Ἐπεῖχε, προσεδόκα, προσεῖχεν.

Ἐπεὶ χ' ἑώμεθα πολέμοιο, ἐπειδὰν πληρωθῶμεν τοῦ πολέμου, παρὰ δ' ἐξέρομ ἔνη.

Ἐπειχθῶμεν, σπουδάσωμεν. ¶ Ἐπεῖχεν, ἐπέσχετο. ¶ Ἐπεκέλλεν, ἐπώκειλεν.

Ἐπέκεινα, πέρα ἐσωτέρω, ἐξωτέρω.

Ε παλθεῖν, ἀναβῆναι. ¶ Ἐπανελθών, ὑποστρέψας, δεύτερον ἐλθών. ¶ Ἐπανέρεσθαι, ἐπερωτᾶν.
Ε πανίει, ἐπάνω. ¶ Ἐπάνεισιν, ἐπαναστρέφειν, ἀνακάμπτειν. ¶ Ἐπανέρχεται, ἐπαναστρέφει, ἐκ δευτέρου ἔρχεται. ¶ Ἐπανέστησαν μετ' ἀντρὶς ἀνέστησαν. ¶ Ἐπανέχειν, ὑψοῦν.
Ε πάνηκε, ὑπόστρεψον. ¶ Ἐπανόρανον, ἐπανέλαβον. περὶ δ' ἄρχαι. ¶ Ἐπ' ἄνθησιν, ἐπὶ τὰ ἄνθη.
Ε πανθρακίδες, τὰ ἐπ' ἀνθράκων ὀπτώμενα ἰχθύδια.
Ε πανιτέον, ἐπανελευστέον.
Ε πανιών, ἐπαναστρέφων. ¶ Ἐπαντέλλων, ἀναφέρων, ἀνατέλλων. ¶ Ἐπ' αὐτολαῖς, ἐπανατολαῖς.
Ε παοιδία, φαρμακεία. γοητεία. ¶ Ἐπαοιδοί, φαρμακοί. γόητες. ¶ Ἐπάπειρα, δυσνόητα πολλά.
Ε παπήνην, τὴν ἅμαξαν. ¶ Ἐπαποδρόμιον, ἡ ἱέρεια περὶ κρισιν. ¶ Ἐπαπόρησις. ἀπορίαι.
Ε παρας, κουφίσας, ὑψώσας. ¶ Ἐπαρᾶς, καταρᾶς
Ε παράσαι, κουφίσαι, ἐπαράσασθαι.
Ε παράμενοι, οἱ παρὰ μοῖραν ἀπολλύμενοι.
Ε πάρασκος. ἀπέδυσκος, ἐπώλισκος. ¶ Ἐπάραρος, ἐπικατάρατος. ¶ Ἐπάργεμος. ἀποκεκρυμμένος, ἡ νόσος ὀφθαλμῶν. ἐπάργεμα γὰρ λέγεται τὰ ὄμματα ὅταν ᾖ τετυφλωμένα ὑπὸ λευκωμάτων καὶ πάντα δὲ τὰ τυφλὰ καὶ ἀφώτιστα οὕτως λέγονται.
Ε πάργεμα, ὄμματα τετυφλωμένα.
Ε πάργυρον, μισθωτήν. ¶ Ἐπάρη, ἐκεντήθη.
Ε παρήγουσιν, βοηθοῦσιν. ¶ Ἐπαρήξει, βοηθήσει.
Ε παρήρει, ἐφήρμοστο. ¶ Ἐπαρίστερα, κακὰ ἄδηλα.
Ε παρκεῖ, ὑπουργεῖ, χορηγεῖ, βοηθεῖ. ¶ Ἐπαρκές, αὐταρκής. ¶ Ἐπάρκεοι, ἔμπειροι, βοηθοί.
Ε πάρισμα, ἀφανῆ ἄσημα. ¶ Ἐπαρμένοι, οἱ παρὰ μοῖραν ἀπολλύμενοι. ¶ Ἔπαρμον, στόμα κάθυγρον
Ε παρξάμενοι, ἀπείσαντες, ἐπιστάντες.
Ε παρξόμενος, ἐπὶ χεῖρας ληψόμενος. ¶ Ἐπάροιτοι, τάγμα ἀρκαδικὸν μαχιμώτατον. καὶ οἱ παρὰ ἀρκάσι δημόσιοι φύλακες. ¶ Ἔπαρσις, ὑπερηφανία.
Ε παρτέας, ἑτοίμους, ἀπηρτημένους. ¶ Ἐπαρτᾷ, ἐπικρεμάζει. ¶ Ἐπαρτύνη, εὐτρεπίνη. ¶ Ἐπάρουρος, ἐπίγειος ἢ κατὰ πυρὸς ἐπιμίσθιος. ¶ Ἐπαρτεῖαν, παρασκευήν. ¶ Ἐπαρτήσας, κρεμάσας.
Ε παρυστρίδες, ἐλαιοχύται ἢ ἀντλητῆρες.
Ε παρχία, φυλὴ ἢ πατρίς. ¶ Ἐπαρώμενοι, καταρώμενοι. ¶ Ἐπᾶξαι, ἅμα εἰπεῖν. δοτικὸν ἐπαλαλῆσαι. ¶ Ἐπάσαντο, ἐγεύσαντο, ἐκτήσαντο.
Ε πασθμαίνων, πυκνοστῶν. ¶ Ἐπάσιοι, καθήκοντες.
Ε πασκεῖν, σέβεσθαι ἁγνεύειν. ¶ Ἐπασκηταί, ἀθληταί. ¶ Ἐπάσκιον, ὁ χένυ σκελοί. ¶ Ἐπασμα,
Ε π' ἀσπίδα, εἰς εὐώνυμα. ¶ Ἔπασσεν, ἐποίκιλεν, ὕφαινεν. ¶ Ἐπασσύτεροι, ἄλλοι ἐπ' ἄλλοις.
Ε πασσύτερον, ἀλληπάλληλον. ¶ Ἐπ' ἀσφαλοῦς, ἀσφαλεῖς. ¶ Ἐπάσω, ἐκτήσω. αἰχόλας προτεῖ σατυρικῶ. ¶ Ἐπάταξαν, ἔτυψαν, ἐξοπάσαντο, ἐνίκησαν. ¶ Ἐ πάτροθεν. ἐπέκεινα. ¶ Ἐπατία, ἐπιτίμια. ¶ Ἐπαυλία. ἡ δευτέρα τῶν γάμων ἡμέρα οὕτως καλεῖται, ἐν ᾗ κομίζουσι δῶρα οἱ οἰκεῖοι τῷ γεγαμηκότι καὶ τῇ νύμφῃ. ἴσως ἀπὸ τοῦ ἐπαυλίζε-

σθαι τὴν νύμφην. ¶ Ἔπαυλις, μάνδρα βοῶν, ὅ ἐσκημα ἢ αὐλή. ὁ στρατοπεδία. καὶ ἡ ποιμενικὴ αὐλή.
Ε παυλος, ἐπίσκιος, ἔνοικος, χαράδρα. ¶ Ἐπαύλεις, ἐπαύλεις: μάνδρας. ¶ Ἐπαύρασθαι, ἀπολαῦσαι, ἐπιτυχεῖν, ἐπιτελεῖν, ἐπιψαῦσαι.
Ε παυρεθέντα, ἐπιβάλλοντα. ¶ Ἐπαύρῃ. ἐπιτύχῃ, ἐπιψαύσῃ. ¶ Ἐπαυρεῖν, ἀπολαῦσαι.
Ε παυρίσκονται, ἐπιτυγχάνουσιν. ¶ Ἐπαῦροι, ἀπολάβοι, μεταλαμβάνοι. ¶ Ἐπαύροις, τοὺς χειμάρρους ποταμούς. ¶ Ἐπ' αὐταστῶν. παρ' αὐταῖς.
Ε παύρωνται, ἐπαίσθωνται. ¶ Ἐπ' αὐτόπλον, ἐπ' αὐτοφώρῳ, ἐπ' ὄψει. ¶ Ἐπαυροφάδος, ἐπ' αὐτοφώρου. ἐπ' αὐτοφώρῳ δὲ ὁ φανερῶς καταληφθεὶς, ὑπεύθυνος γενόμενος, ἢ ἐπ' αὐτῷ τῷ κλέμματι εὑρεθεὶς, ἔτι κατέχων αὐτό. ¶ Ἐπαυχεῖ, ἐπεύχεται.
Ε παφᾶται, ψηλαφᾷ, ἐπιψαύει. ¶ Ἐπαφῆκεν, ἐπαπέλυσεν, ἐπέδωκεν. ἐξέβλυσεν. ¶ Ἐπαφησαμένη, ἁψαμένη. ¶ Ἐπάφησεν, ἐπαφίσκει.
Ε παφίησιν. ἐπαπολαύει. ¶ Ἐπαφώμενος, ψηλαφῶν. ¶ Ἐπαχθεῖς, ἐπίπονοι ἀληθεῖς. ¶ Ἐπαχνώθη, ἠνιάθη, ἐλυπήθη. ¶ Ἐπάχνωσεν, ἐλύπησεν, ἠνίασεν. ¶ Ἔπεα, λόγοι, ῥήματα. ¶ Ἔπεα πτερόεντα, τὰ ἐπίπτηνα εἶπε, διὰ δὲ τάχεος προσφέρεσθαι τοὺς λόγους, τὰ ἁρμοστά. πτερῶν γὰρ οὐδὲν εὐαρμοστότερον. ¶ Ἐπεανόδε, λόγοις. ¶ Ἐπεβάρος, ἐπανέκαμψεν. ¶ Ἐπέβεις, ἐπιβάται.
Ε πέβησαν. ἐπῆρχοντο. ¶ Ἐπεβόσαντο, ἐπέβη.
Ε πέβησεν, ἐπιβῆναι ἐποίησεν. ¶ Ἐπέβρισεν, ἐπεβάρησεν. ¶ Ἐπελάθην, ἐληθαργήθην. ¶ Ἐπέλειξεν. ἐπέδραμεν. ¶ Ἐπέλυσας, ἐξείλου. ¶ Ἐπελώβευον, ἐπετίμων, διέπαιζον τοῖς λόγοις ἐπέσκωπτον ὕβριζον. ¶ Ἐπεμαίετο, ἐφάπτετο, ἐπέψαυεν· ἐπεθύμει. ¶ Ἐπέμαρψε. κατέλαβεν.
Ε πεμάσαντο, συνετάραξεν, ἐφήψατο, ἐψηλάφησεν.
Ε πεμβάλλεται, ζώνει. ¶ Ἐπεμβεβαώς, ἐπιβεβηκώς. ¶ Ἐπεμβαίνει, ἀναβαίνει. ¶ Ἐπέμενεν, ἐπεκάθισεν. ¶ Ἐπεμήνατο, ἐμάνη, ἐπεμάνη ἠράσθη.
Ε πεμύνειν, ἐπωρίζετο. ¶ Ἐπέμυξαν, ἐπεμυκτήρισαν· ἐπεμύχθισαν. ἐξεφαύλισαν. ¶ Ἐπεμύξατο, ἐπεστέναξεν, ἐπεγόγγυσεν. ¶ Ἐπέναρ. εἰς τετάρτην, λάκωνες. ¶ Ἐπενάσθην, ἐπωκίσθη. ¶ Ἐπ' εὐνάων, ἐπὶ τῶν ἀγκυρῶν. ¶ Ἐπενδέσαν, ἐπεφίεσαν.
Ε πενδόμενοι, ἐπιφειδόμενοι. ¶ Ἐπενείματο, ἐπῆλθεν
Διαπρεπὴς, ἔκδηλος, ἐπίσημος. ¶ Διαπρέψας, λαμπρὸς φανείς. ¶ Διαπρήσσουσι, διατέμνουσι, διασχίζουσι. ¶ Διαπρίζει, διαπρᾶ. ¶ Διαπρίεται, διαγράζει, μαίνεται. ¶ Διαπρίονει, πᾶσαι, ἀπατᾶ, ψεύδεται, διαπρᾶ. ¶ Διαπριόντων, διατέμνοντες καὶ διαπρῶντες. ¶ Διὰ πρὸ δι' ὅλου, διαμπὰξ διηνεκῶς. ¶ Διὰ πρὸ διαμπὰξ, διὲ ἐναντίας. ¶ Διὰ πρὸ δὲ, διαμπὰξ δι' ὅλου.

Διὰ πρὸ δὲ ἐξίσχει καὶ ἐπὶ, διῆλθε δὲ καὶ δι' αὐτῆς.

Διαπρούσιον, διαπορεύσιμον, μακρόν. διὰ πάντων διξιόν. ἐξάκουστον μέγαν διάπυρον. ¶ Διαπτάνης, πταθέντος. ¶ Διαπταῖσαι, σφαλῆναι. ¶ Διαπτοεῖν, ὁρμᾶν. ¶ Διαπτύσαι, διαπτοβρῶσαι, αἰθυρῦναι. διαστῆσαι. ¶ Διαπτύει. διαπτύει. ¶ Διαπυλεῶν, τέλος τι παρ' ἀθηναίοις οὕτως ἐκαλεῖτο. ¶ Διαπυνθάνεται, ἐρωτᾷ. ¶ Διαπυρωθέντα, διοργισθέντα.

Διαπύρσιος, μέγας διαβόητος.

Διάπυρος, θερμός. ¶ Διαρραγοῦν, ὁμολογεῖν.

Διαρθρούμενον, ἀκριβούμενον. ¶ Διαρθροῦν, διασαφοῦν. ¶ Διαριθμουμένην, διαλογιζομένην.

Διαρικνοῦσθαι, ἐπὶ σχήματος ὀρχηστικοῦ τίθεται. ὅτε δὲ ἐπὶ τοῦ συνεστράφθαι. ¶ Διάρινον, τὸ σίνος.

Διαριπίζεσθαι, διακοντίζεσθαι. ¶ Διαρκεῖς, ἀρκέσαι μὴ δυνάμενοι. ¶ Διαρκῆσαι, βοηθῆσαι, διαρκές. ¶ Διαρκῶ, ὀφελοῦσι ἢ ἐξαρκοῦσι.

Διαρκέστατοι, πλήρεις, ἀκινδυνεῖς. ¶ Διαρκῶς, ἀσφαλῶς, δι' ὅλου ἀρκούντως, δαψιλῶς, ἱκανῶς.

Διάρμα, κούφισμα. ¶ Διάρμαρος, τόπος ἐν πάρνηθι τῆς ἀττικῆς. ¶ Διάρρογγες, τὰ μεταξὺ τῶν ἐπιδέσεων διαστήματα. ¶ Διαροθοῦντα, διασοβοῦντα. ¶ Διαρραίσει. διαφθείρει. ¶ Διαρραισθέντες, διαφθαρέντος. ¶ Διαρραῖσαι, διαφθεῖραι.

Διαρραίεσθαι, διεφθάρθαι. ¶ Διαρρέειν, διαπορθεῖν.

Διαρρεῖν. διεχέσθαι. ¶ Διαρρέοντες, χαῦνοι καὶ διαλελυμένοι. ¶ Διαρρέουσα, ξυφιλό. ¶ Διαρραίουσι. διαφθείρουσι. ¶ Διαρρήδην, φανερῶς, σαφῶς. ¶ Διαρρήκτας, ἐπιβούλοις. ¶ Διαρρήξας, συντρίψας, σχίσας. ¶ Διαρρήξωμεν, ἀπορρίψωμεν. ¶ Διαρρυῆναι, διαφθαρῆναι. ¶ Διαρρύποις, διηντλημένοις. ¶ Διαρτᾶν, διασείειν, καὶ ἀπαρτᾶν. ¶ Διαρτᾶ. κρεμνᾶ, διαρχεῖ.

Διαρταμῆσαι, διελεῖν. κατακόψαι. ¶ Διάρτησον, διάστειλον. ¶ Διαρτίζων, ἄρτια καὶ συνετὰ φθεγγόμενος. ¶ Διαρτίσαι, ἀναπλάσαι. ¶ Διαρτωμένων, καταρτιζομένων. ¶ Διαρυττεῖν, ἀναντλεῖν.

Διάρχοι, οἱ ἑλλανοδίκαι. ¶ Διὰ ῥωπήια πυκνά, διὰ χωρίων ἐν οἷς ῥῶπες φύονται πολλοί. οἱ δὲ ῥῶπας εἶδος φυτοῦ ἱμαντώδους διὰ τῶν συμφύτων τόπων.

Διαρωχμίας, διαστάσεις. ¶ Διασακώνισον, ἀντὶ τοῦ διασκελακώνισον, οἷον ξυφρῶς βάδισον, τοὺς γὰρ θρυπτομένους σκλάκωνας ἔλεγον ἴσως ἀπὸ τοῦ σκυλοῦσθαι, ὅπερ ἐστὶν θρύπτεσθαι, σκλάκωνα δέ φασι τὸν σιμὸν διὰ σαινῶντα. ¶ Διασαύτην, διασαλεύειν. λάκωνες.

Διασκλακώνισον. δάνυσον ἀπὸ τοῦ ἐγκεκλεῖσθαι τὸν σκλάκωνα. ¶ Διασερκώνισμα, ἀσελγές τι σχῆμα. ¶ Διασερκωνίσαι, τὸ προσποιητῶς γελάσαι, τὸ δὲ αὐτὸ καὶ σαρκωνίσαι. ¶ Διασαυλούμενον, διακινούμενον καὶ ἐναβρυνόμενον ἢ διασειόμενον.

Διασεφεῖ. διασεφηνίζει. ἀγγέλλει:

Διάσημος, λαμπρότατος. ¶ Διάσια, ἑορτὴ ἀθήνησι καὶ σκυθρωποὺς ἀπὸ τῆς ἑορτῆς ταύτην ἐπετέλουν, μετά τινος στυγνότητος θύοντες.

Διασιλλοῦν, διασύρειν. ¶ Διασιμοῦσι. διακωμῳδοῦνται. ¶ Διὰ σκαιῶν, διὰ τῶν ἀριστερῶν ἢ τῶν πυλῶν τῶν οὕτω καλουμένων. ¶ Διασκανδίκησις. διευριπίδησις. ἡ γὰρ τοῦ εὐριπίδου μήτηρ, σκάνδικας ἐπίπρασκε. σκάνδικες δὲ εἰσὶν εἶδος ἀγρίου λαχάνου. ¶ Διασκαριφῆσαι, ἐπὶ ὀρνέων τῶν ταῖς ὄνυξι σκαλευόντων τὴν γῆν κυρίως λέγεται.

Διασκεδάσαι, διασκορπίσαι. ¶ Διασκελίδα, ταύτας εἶναι ἦν ἔνιοι διασκάλων. ¶ Διασκέπτεται, διαλογίζεται. ¶ Διασκευάζει, κατασκευάζει.

Διάσκεψις, λογισμός. ¶ Διασκηνῆψαι, διαφορεῖν

διάστημα χρόνου. ¶ Διακραδαίνοιεν, κινοῖντο, κρα
δαίνειν γὰρ τὸ κινεῖν. ¶ Διακρεῖς, οὐ μόνον οἱ βοιωτοί
τινες, ἀλλὰ καὶ ἀθῆναι καὶ τόπος τῆς ἀττικῆς, καὶ ἡ
χώρα. ¶ Διακρεία, ὁ ἀπὸ πάρνηθος εἰς βαβυλῶνα.
Δ ιακρειάν. κατὰ τὰς ἀκρωρείας. ¶ Διακριβοῦν,
ἀκριβῶς σαφηνίζειν. ¶ Διακριδόν. ἐν διακρίσει
ἄριστον. ¶ Διακριδὸν, διαστάντος, χωρίσαντος.
Δ ιακριθέντες, χωρισθέντες. ¶ Διακρινθεῖτε, διακρι
θείητε, διαλυθείητε. ¶ Διακριθόμενοι, διακριθῆ
ναι. χωρισθῆναι. ¶ Διακρῖναι, διαχωρίσαι.
Δ ιακρινομένω, διακρινόμενοι δυϊκῶς. ¶ Διακρινο
μένων, μαχομένων. ¶ Διακρίνουσιν, διαχωρίζου
σιν, μεταπείθουσιν. ¶ Διάκρισις, διαίρεσις, φθορὰ, δι
άμιλλα. ¶ Διακρότως, σκληρῶς, ἀποκρότως.
Δ ιακρούεσθαι, ἐξωθεῖν ἢ ὑπερτίθεσθαι καὶ ἄλλο τε
ἄλλως διαναβάλλεσθαι. ¶ Διακρουόμενοι, δια
φεύγοντες. ¶ Διακρούσασθαι, ἀπορρίψαι.
Δ ιακτῆσιν δεξέοντο, τὴν θυσίαν διεμέριζον. ¶ Διά
κτορος, ἄγγελος, ἀπὸ τοῦ διάγειν τὰς ἀγγελίας. ἢ οἱ
ον διακτόρως ἢ σαφῶς διαλεγόμενος ἄγγελος ὁ θε
ὸς γράφεται. ¶ Διακτόρως, εἰρηνικῶς. ¶ Διά
κτορσι, ἡγεμόσι, βασιλεῦσιν. ¶ Διάκτωρ, διάκονος
ὁ ἄγγελος ἀπαγγέλλων. ¶ Διακυδόμεναι, διαχεό
μεναι. ¶ Διακυκῶσι, διαταράττουσιν. ¶ Δια
κυνοφθαλμίζεται, διυποβλέπεται, διανεύει ὁ αὐχε
νίως αὐθίσταται. ¶ Διακυρίττεσθαι, ἀντιμάχεσθαι
κυρίως δὲ κερῶν. ¶ Διακωδωνίσαι, δοκιμάσαι.
Δ ιακωδωνισθέντες ἢ διαφημισθέντες, ὡς ἐπὶ τὸ
πλεῖστον δὲ ἐπὶ τῶν διασυρομένων καὶ χλευαζομέ
νων λαμβάνεται. ¶ Διακωμῳδῶ, διαξαγγελῶ.
Δ ιακωνίσαι, διακλαῦσαι, ἀπὸ τοῦ κονῆσαι ὅπερ ἐστὶν πίσ
σῃ χρίσαι. Διὰλ, τὴν ἔλαφον χαλδαῖοι.
Δ ιαλαβεῖν, παλαιστρικὸν τι. ¶ Διαλαβὼν, διαγι
νώσκων. ¶ Διαλλαγὴ, φιλία. ¶ Διαλαχόντες,
δεξάμενος. ¶ Διαῖς, γαθύς. ἔνδοξος. ¶ Διαλλα
κτής. φιλιωτής. μεσίτης, διελθών. ¶ Διαλάμ
πει, ὁραίζεται. ¶ Δι' ἅλα, διὰ τῆς θαλάσσης.
Δ ι' ἅλα πορφυροῦν, διὰ τῆς μελαίνης θαλάσσης.
Δ ιάλας, τὰς δήλας καὶ φανεράς. ¶ Διάλαυρος;
οἰκία μεγάλη πανταχόθεν λαύραις διειλημμένη ὁ
λεγόμενος περίαμφοδος. ¶ Διαλεγδὸν, διαδρόν
τως. ¶ Διαλέγειν, ἀνακαθαίρειν, οἱ δὲ ὂν ἀπειπεῖν.
ἢ ἐκπλεῖν, ἀπὸ δὲ τῶν ποσῶν ἡ διαφορά. ¶ Δια
λέγεσθαι, ἀντὶ τοῦ συνουσιάζειν. ¶ Διαλεκμᾶσθαι,
διασύρειν, διαμωκᾶσθαι. ¶ Διαλεκτικός. πολύ
λαλος. ¶ Διάλεκτος, ὁμιλία, λαλιά.
Δ ιαλαχόντα, κληρωσάμενα. ¶ Διάλλασσε, διά
λυε. ¶ Διαλελημμένων, διειλημμένων ὃ δια
κρατουμένων ἑκατέρωθεν. ¶ Διαλελοίπασιν, ἐπαύ
σαντο. ¶ Διάληψιν, ἐνθύμησιν ἢ γνῶσιν. ¶ Διά
λειμμα, διάστημα. ¶ Διαλείμματος, διὰ τοῦ χωρι
σμοῦ. ¶ Διαληλιμμένη, ἀλειμμένη. κεχρισμένη.
Δ ιαλέξαι, διορύξαι. ¶ Διαλέξας, διαιρέσεως κλήρου.
Δ ιάλεξις ὁμιλία. ¶ Διαλλαγαὶ, μεταβολαὶ καὶ δια
λέξεις λάκωνες ἀντὶ τοῦ ἔχθρας. ¶ Διαλλάττω διαχω
ρισθῶ. ¶ Δι' ἀλλήλων. ¶ Διάλληλος, ὁ αὐτὶ ἀλ

λου διακονῶν. ¶ Διαλογισμοὶ, ἀδολεσχίαι.
Δ ιάλογος, λόγος, ποίημα. ¶ Διάλων, φανερόν.
Δ ιαλουφῶν, διατίλλων, ὁλούφειν γὰρ οἱ ἀττικοὶ τὸ τίλ
λειν, εἰ δὲ τὸ ἐκλέγειν τῶν σπερμάτων τὴν τίφην.
Δ ιαλύγισμα, διαπλοκή. ¶ Διάλυσις, διάκρισις
φθορὰ διαχωρισμός. ¶ Διαλυτήσαντες, κάμψαν
τες, περικλάσαντες. ¶ Διαλλαγὸς, οἱ μὲν ἐπιμυ
λίδιον δαίμονα, ἄλλοι δὲ συνουσίας εἶδος ἐν ᾗ διαλέγου
σι τὰς ψόφους, βούλεται δὲ λέγειν ὁ κρατῖνος τὸν ἔσχα
τον τῶν πόρνων. ¶ Διαμαρτάνει, διατυγχάνει.
Δ ιαμαρτυρία, δίκη τις ὁμοία τῇ παραγραφῇ. ταύτῃ
δὲ ἐναντία ἡ εὐθυδικία. ¶ Διαμαρτὼν, ἀποτυχὼν,
ἢ διασφαλείς. ¶ Διάμαστος, θεὸς καὶ διάματος.
Δ ιαμάττειν, διαφυρᾶν τὰ ἄλφιτα πρὸς τὸ ποιῆσαι μά
ζας. ¶ Διαμάχη, μάχη. ¶ Διαμαψαμένη, δια
σμοξαμένη, διαψωσαμένη. ¶ Διαμελεοὶ, οἰκέται.
Δ ιαμέλλει, ἀναβολὴ χρῆται. ¶ Διαμεμερισμένην
ἡμέραν, ἀντὶ τοῦ μεγάλων δικῶν τὴν ἡμέραν ἐμέριζον
εἰς διαστήματα. ¶ Διαμέσοι, οὕτως ἐλέγοντο παρὰ
ἀθηναίοις οἱ μέσοι τῶν πλουσίων καὶ πενήτων.
Δ ιαμέσην, ἀλαζῶνα, ἐξαπατητήν. ¶ Διαμέτρος,
ὄργανον γεωμετρικὸν, καὶ τὸ διδόμενον εἰς ἀπουσίας
λόγον τοῖς τοὺς σιτικοὺς καρποὺς μετροῦσιν.
Δ ιαμετρητῶ, διαμεμετρημένω. ¶ Διαμεύσας, ἀλα
ζόνας. ¶ Διαμῆσαι, διαθερίσαι, διακόψαι, δια
τεμεῖν. ¶ Διάμησε, διέκοψε, διέτεμε, διεθέρισε.
Δ ιαμέτρης, ψεύστης ἀπατεών. ¶ Διαμηρίσαι, ἀπὸ
καὶ ἐπὶ παίδων ἀρρένων καὶ θηλειῶν ἐλέγετο.
Δ ιάμοιος, ὁ κατ' ἄλλων διακονῶν. ¶ Διαμοιράσαι,
διαμερίσαι. ¶ Διαμοιρωμένα, διαιροῦσα καὶ δια
μερίζουσα. ¶ Διαμπάξ, διόλου, καθόλου.
Δ ιωνικῶς, ἐξεναντίας. ¶ Διαμπείρας, διακεντή
σας. ¶ Διαμπερὲς, διόλου παγίως σαφῶς τε
λείως, διαμπάξ. ¶ Διαμπερέως, σαφῶς, τελείως.
Δ ιαμύθησις, παραλογισμός. ¶ Διαμυλλαίνειν, χλευ
άζειν, ἀπὸ τοῦ τὰ χείλη διαστρέφειν, διαμωκᾶσθαι.
Δ ιαμπερονήσει, διαξύσει, διατμήσει, διακόψει.
Δ ιακεντήσει, προσηλώσει. ¶ Διαμπερασθεῖεν, διαπερ
θῆσαι. ¶ Διαμφάλιον, ἀλλοῖον. ¶ Διαμφίδιο
ον, μέλος ἀλλοῖον, διαπαντὸς κεχωρισμένον, ἀμφὶς
γὰρ χωρὶς αἰσχύλος προμηθεῖ δεσμώτῃ. ¶ Διαμώμε
νοι, διιστάντες. ¶ Διαμῶσαι, ζητῆσαι. ¶ Δίαν
μεγάλην ἢ ἔνδοξον τὸν οὐρανὸν πέρσαι καὶ τὴν νῦν κα
λουμένην νάξον. ¶ Διάναι, σμῆξαι, πλῦναι.
Δ ιανύκων*, διανάπαυσις οἷον ἡ μεταξὺ χρόνος.
Δ ιάνδιχα, διαφρόντως χωρὶς ἢ διχῶς. ¶ Διανεῦ
σαι. διαπλεῦσαι. ¶ Διανδὴς, πολυχρόνιος κρότες
Δ ιάνεμαι, διαδοῦναι. ¶ Διανεκὲς, διαπαντός.
Δ ιανέμεται, μερίζεται. ¶ Διανεμεθῶ, διαδοθῶ.
Δ ιανεύει, ξέφει, κυκλεῖ. ¶ Διανείμαντε. διανείμαν
τες δυικῶς. ¶ Διανηξάμενοι, διακολυμβήσαντες.
διαπεράσαντες. ¶ Διανίζει, κρουνίζει, διακλύζει,
πλύνει. ¶ Διανίζεται, νίπτεται, καθαίρεται.
Δ ιάνιον, κονία, διανοητικόν. ¶ Διανοηθεὶς, μετα
μεληθεὶς, ἐνθυμηθείς. ¶ Διανοοῦμαι, λογίζομαι.
Δ ιανταθῆναι. πελεκυθῆναι.

ἢ κακῶ. ¶ Διαβολὴ, λοιδορία, ἢ διαβολὴ ὑπόληψις ἢ ὑπόληψις. ¶ Διαβολίαν, διαβολήν.

Δ ιάβουλοι, διπλοῖ, δίβουλοι. ¶ Διαβουλία, ἀμφιβολία. ἐνθυμήματα, διαλογισμοί. ¶ Διαβουλευεῖν, ὁ ἐν τοῖς ἱστοῖς πρόβολος λάκωνες. ¶ Διαβουνῶν*, τὸ ἐν μέσῳ τοῖς φάργμα μεταξὺ ἐσθιόμενον.

Δ ιαβρίθει, βαρύνει. ¶ Διαβριθῶς, ἰσχυρῶς.

Δ ιαβρόχοις, βεβρεγμένοις. ¶ Διαβύσαι, διακαμύσαι. ¶ Διαγεγραπται, διακέκοπται. ¶ Διάγειν, διέλκειν, διαπατεῖν. ¶ Διαγγέλλει, ἀπαγγέλλει, διατρέχει. ¶ Διαγγέλλω, ἀπαγγέλλω, διέξειμι τῷ λόγῳ. ¶ Διάγει, διαζῇ. ¶ Διαγενής, ἐννεός. ¶ Διάγγελον, ἀκέφαλον. ¶ Διαγλαύνειν, διαλυμαίνεσθαι. ¶ Διαγλάψας, διαγλύψας, διασκαλεύσας. ¶ Διάγματα, διασκευάσματα.

Δ ιαγνοὺς, διακρίνας, δίκαιον αἰσθόμενος, ἐπιγνοὺς, συνιεὶς, νοήσας. ¶ Διαγνῶναι, ἐπιγνῶναι.

Δ ιάγνωθι, νόησον διάγνωσις. ¶ Διαγόρας, Διόδωρος, ὁ πρεσβύς, ἀναγινώσκει πολιτῶν διαγορᾶς, διὰ τὸ τοὺς μύστας βακχάζειν, τουτέστιν ᾄδειν τὸν ἴακχον δι᾿ ἀγορῶν βαδίζοντας. ¶ Διαγορεύει, διαπείζει, διαγγέλλει. ¶ Διάγραμμα, διάταγμα, ψήφισμα.

Δ ιαγραμμισμός, παιδιά τις ἐξήκοντα ψήφων λευκῶν καὶ μελαινῶν ἐν χώραις ἑλκομένων, τὸ δὲ αὐτὸ καὶ γραμμὰς ἐκάλουν. ¶ Διάγραπτος, δίκη ἥτις καὶ διαγραφομένη ἐλέγετο. ¶ Διαγραφαὶ, αἱ συνθῆκαι.

Δ ιαγράφειν, διαξύειν, ἀπαλείφειν, ἀκυροῦν.

Δ ιαγραφὴ, ἐπὶ ζωγραφικοῦ πίνακος εἴρηται.

Δ ιαγραφεὺς, ὁ ἀπαιτῶν δημόσια. ¶ Διαγράφω, ἀποδοκιμάζω. ¶ Διαγωγὰν, διαίρεσιν, διανομὴν, διέλευσιν. ¶ Διαγωγή, ἀναστροφή. ¶ Διάδε, δι᾿ ἄπορ διαδέχεται. ¶ Διάδηλοι, φανεροί. ¶ Διάδημα, σύμμα βασιλέως κεφαλῶν κόσμος ἤτοι στέφανος, ἢ βασιλέως σύμβολον. ¶ Διαδιδράσκει, διαφεύγει, διαδιδράσκεται. ¶ Διαδικαιοῦν, φανερῶς ἀποφέρεσθαι. ¶ Διαδικασία, ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν ἢ πρὸς τὰ ἄλλα, ἢ ἀμφισβήτησις κρίσις. ¶ Διάδικος, τὸ εἰς δίκην καλεῖν. ἀττικοί.

Δ ιαδιδικίζειν, ὀρχεῖσθαι ἀσχημόνως διάδοχος.

Δ ιαδοκίς, οἱ μὲν ὑπόθημα τῶν δοκῶν, πλάγιον ὑπόθημα, ἢ τὰς ἄλλας δοκοὺς ἀναδεχομένη, οἱ δὲ, δοκῶν πλάγιον ὑπόθημα. ¶ Διαδέλλειν, διασπᾶν.

Δ ιέδρα, διέφυγε. ¶ Διαδοῦναι δίκας, τὸ τοῖς ἀδικουμένοις ἀποδοῦναι τὸ δίκαιον ὑπὸ τῶν ἀδικησάντων.

Δ ιὰ δουρός, διὰ τοῦ ξύλου καὶ δόρατος. ¶ Διαδράκοι, θεάσοιτο. ¶ Διαδράναι, διαφυγεῖν.

Δ ιὰ δρυμὰ, δι᾿ ὕλης. ¶ Διαδύει, διαφθείρεται.

Δ ιαδύειν, διαφυγεῖν. ¶ Διὰ δώματα, διὰ τὰ οἰκήματα. ¶ Διαείσεται, διαγνώσεται. ¶ Διαζεύγμεν, διαλεχθῆναι. ¶ Διάζευξις, διαχώρησις.

Δ ιαέσαι, διαπνεῖ. ¶ Διαείδεται, φαίνεται.

Δ ιάζεο, διεχάζεο. ¶ Διαθέει, διαφεύγει, διατρέχει.

Δ ιαθέντε, διαθέμενοι δυϊκῶς. ¶ Διάθεσις, σχῆμα ἀγάπη, ἀπόδοσις, προαίρεσις. ¶ Διαθήσειν, διακοσμήσειν. ¶ Διαθέων, αὐτὶ τοῦ διοικητή.

Δ ιαθηλοίμεθα, διαγωνιζοίμεθα, κάμοιμεν, ἐργαζοίμεθα.

ἆθλος ἢ τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον.

Δ ιαθήκη, συνωμοσία, ἑνικῶς οὐ πληθυντικῶς τὰς διαθήκας ἔλεγον, δηλοῖ δὲ καὶ διάστασιν, διαίρεσιν, διάκεισιν, διάθεσιν. ¶ Διαθήσεις. νοήσεις. ¶ Διαθήσει, τιμωρήσεται, κολάσεται, πράσει.

Δ ιαθήσομαι, συντελέσω. ¶ Διαθόντα, διαθρύψαντα, διιδόντα. ¶ Διαθρυλλῶ, διαομιλῶ, διαψιθυρίζω. ¶ Διαθρύψεις, συγκόψεις. ¶ Διαίνεται, βρέχεται, δακρύει. ¶ Διαίνεσθαι, διαιολλᾶν, διαπατᾶν. ποικίλλειν. ¶ Διαιρεῖν, διακρίνειν, διαχειροῦν, διαμερίζειν. ¶ Διαιρῶσι, διαιροῦσι. ¶ Διαίρεσις, τομὴ, μερισμός. ¶ Δίαιτα, θεσμὸς, διαγωγὴ τροφῆς, ἡ καθημερινὴ τροφή. ¶ Δίαιτα, τοῦ οὐρανοῦ, τὸ φαγεῖν τὸ πιεῖν. ¶ Διαιτηταὶ, ἀθήνησιν ἔτεροι τινὲς τῶν δικαστῶν οἷς ἐπέξετον οἱ ἀμφισβητοῦντες τὰ ἐγκλήματα, καὶ αὐτοὶ δίαιτον, εἰ δὲ μὴ ἀνέπεμπον ἐπὶ τοὺς δικαστάς. οἱ δὲ ὑπὲρ ἑξήκοντα ἔτη γεγονότες διαιτῶν. ¶ Διαιτεῖν, διατρέχειν, διανύειν.

Δ ιαιτηθεὶς, κριτὴς, βραβευτής. ¶ Διαιτητὴς, ὁ μὴ κατὰ κλῆρον δικαστής. ¶ Διαιτωμένη, τρεφομένη.

Δ ιαιτὸς, κριτής. ¶ Δίαιθρον, διαφανὲς, καθαρὸν, δίυγρον. ¶ Δίαυγον, διόπτρον, διαφανές. ¶ Διαίνεται, βρέχεται, ὑγραίνεται. ¶ Διαχεῖται, ὑπὸ ὄμβρου βρέχεται. ¶ Διακαλαμάσπερκες. παρὰ ῥοδίοις δελφοὶ οὕτως εἴρηνται. ἐν νόμῳ τινὶ οἱ τὴν καλάμην τῶν σπερμάτων ἐπιβεβοσκημένοι.

Δ ιάκινον, δυσκίνητον κρεῖττος. ¶ Διακαυκανιάσαι, διακληρώσασθαι, καυνὸς γὰρ ὁ κλῆρος. ¶ Διακενῆς, ματαίως. ¶ Διακενόω, κουφῶ. ¶ Διακεκοσμημένων διακειμένων. ¶ Διακεκειμένοι, διακεχωρισμένοι. ¶ Διακεκρίσθω, ἀφοριζέσθω. ¶ Διακέρσαι, διακόψαι, παραβῆναι. ¶ Διακεχειρεῖσθαι, πορθεῖσθαι. ¶ Διακεχλιδὼς, διαρρέων ὑπὸ τρυφῆς. ¶ Διακίγκλισον. διάσεισον. κίγκλος δὲ ὄρνεον ἢ σεισοπυγίς. ¶ Διακλιμακίσας, διαπαλαίσας, κλίμακες γὰρ καὶ κλιμακισμοὶ παλαίσματος εἶδος. ¶ Διακλῶν, θρύπτων. ¶ Διακλονῶν, διασείων, δονῶν. ¶ Διακναιόμενον, διαπονούμενον, φθειρόμενον. ¶ Διακναῖσθαι, διαφθαρεῖν. ¶ Διακοιρανέοντα, βασιλικῶς ἐπερχόμενον, ἢ ὡς κοίρανον διαπορθούμενον, διέποντα. ¶ Διακοσμηθεῖς, διηθῶν, βασταχθείς. ¶ Διακομισθείημεν. ¶ Διακόνοιν*, δυσκινητον κρεῖττον. ¶ Διακονουμένων, ὑπηρετούντων. ἢ ἀποκείσεις τινὰς ἐκπληρούντων. ¶ Διακοπὴ, διαίρεσις, διαχωρισμός. ¶ Διακορῆς, κεκορεσμένοι. ¶ Διακορεύει, τὴν κόρην διαφθείρει.

Δ ιακεκόρεσται, διαπαρθενεύεται. ¶ Διακοινώνησον. διαστείσθητον ἐν τῇ πρείκ. ἔνιοι πένησον. ¶ Διακονῆσαι, κατορθῶσαι, ἀπολέσαι, βλάψαι. ¶ Διακόνιον, μάζα ἢ ζωμὸς καὶ ἡ κρηπὶς τῶν πλακούντων, οἱ δὲ, πέμματα διαπλασσόμενα ἐπ᾿ εἰρεσιώνης. ¶ Διακονὶς, ἐπὶ τοῦ ἱματίου ἀνώμαλα, ἢ φασὶν κονίζειν καὶ ἄνθρωπος ὁ μὴ πυκνός. ¶ Διακονὶς, διακόσμησις.

Δ ιακοσμησάμενοι, διακοσμησάμενοι δυϊκῶς.

Δ ιακορίζεσθαι, βλέπειν, ἀτενίσαι. ¶ Διακεχλιδέναι, θρύπτεσθαι. ¶ Διακόχλω, ὁ μεταξὺ χρόνος καὶ

Δημιάσι, πύλαις κοινῶς, ἐπεὶ προεστήκεσαν ἐν ταῖς πύλαις αἱ πόρναι. ὁ δὲ αὐτὸ πατρὸς τοῦ γυναικείου μόριον δημόσιον ἔφη. οἱ δὲ τὰς κεραμικὰς πύλας· πρὸς γὰρ αὐτὰς φασὶν ἑστάναι τὰς πόρνας. μήποτε δὲ αὐτὸ τοῦ Διομῆσι πύλαις δημιάσιν εἶπεν διὰ τὴν ἐγγύτητα τῶν ὀνομάτων. ¶ Δήμιον, κοινόν, δημόσιον, πολιτικόν. ¶ Δημίην, πόρνην κύπριοι. ¶ Δημιόπρατα. τὰ δημευθέντα κτήματα καὶ ὑπὸ δήμου πιπρασκόμενα. ¶ Δήμιος, ὁ τοὺς κατακριθέντας ἀναιρῶν, ἢ ὁ ὑπηρέτης τῶν βασάνων.

Δημιουργεῖ. τὰ μὴ ὄντα ποιεῖ. ¶ Δημιουργεῖον, χαλκεῖον, ἐργαστήριον. ¶ Δημιουργός, χειροτέχνης, κατασκευαστής. ¶ Δημιουργός, ὁ ἥλιος ὅτι πάντα πέσσει καὶ ἱδρεῖ. ¶ Δημιουργός, κυρίως μὲν τῶν ἀνθρώπων τὸ ἔθνος ἐκλήθη. ὅτι χειροτέχναι ἦσαν καὶ βάναυσοι, καὶ παρὰ τοῖς δωριεῦσιν οἱ ἄρχοντες τὰ δημόσια πράττοντες ὥσπερ ἀθήνησιν οἱ δήμαρχοι λέγονται καὶ οἱ τεχνῖται κατακεχρηστικώτερον. λέγεται δὲ καὶ γυνὴ δημιουργὸς ἡ ἐν τοῖς γάμοις πέμματα πέσσει.

Δημιῶν, τὸν δῆμον διωικῶν: ¶ Δημοαλῆ. πολυβόητον. ¶ Δημοβόρος. ὁ τὰ κοινὰ τοῦ δήμου καταθίων, ἢ ὁ τὰ δημόσια: ¶ Δημογέροντες, οἱ τοῦ δήμου ἐντιμότεροι. ¶ Δημοειδέος, δημώδης, ὁ χλικῶς. ¶ Δημήτρος ἀκτή. τὸ ἀκρότατον καὶ ἐξοχώτατον τῶν δημητριακῶν καρπῶν, τῶν πυρῶν μεταφορικῶς ἀπὸ τῶν ἀκρωτηρίων καὶ τῶν ἐξεχόντων τόπων τῶν παραθαλασσίων, ἢ ἄλευρον. ¶ Δημοθεσ*ση, ἐθεώρει. ¶ Δημοθεὸς, θεωρόν. ¶ Δημοθοινία, ἡ τοῦ δήμου εὐωχία. ¶ Δημόθυσα, ἡ τοῦ δήμου θυσία: ¶ Δημοκάλλικας, τοὺς περὶ τὰ δημόσια ἀναστρέφοντας. ¶ Δημόκοινον. δημόσιον.

Δημόκοινος. δημόσιος βασανιστής, πόρνος, καὶ δήμιος.

Δημοκόμπος, δημηγόρος, δήμῳ ἐπαιρόμενος.

Δημὸν. λεῖπος ἢ ὄχλον. ¶ Δημοκόπτοτος, ἀθρήνητος ἀνελεήμων. ¶ Δημονέστερον, ἀσχημονέστερον διὰ τὸ ἐν ὄψει πάντων γινόμενον. ¶ Δημὸς, ὁ ἐπίπλους τοῦ ἱερείου, ἀπὸ τοῦ εὔκρατον εἶναι, δημός τις ὠνομασμένος. ἢ διὰ λῖπος προσπεπιεσμένος. δέ τι πολιτικὸν σύστημα. ¶ Δημὸν ἐόντα, ὀξυτόνως δημότην καὶ ἕνα τῶν πολλῶν. ¶ Δῆμον ἐρεχθέως, τὰς ἀθήνας περιφραστικῶς. ¶ Δημοκλεῖδαι, οἱ ξένοι καὶ μοιχοὶ ἀπὸ δημοκλείδου τοιούτου ὄντος καθάπερ καὶ τοὺς ἡταιρηκότας τιμάρχους ἔλεγον, τοὺς δὲ πονηροὺς εὐρυβάτους, κιλλικῶνας δὲ τοὺς προδότας.

Δημοννήσιος χαλκός, δύο εἰσὶ πρὸς τῷ βυζαντίῳ νῆσοι: κοινῇ μὲν δημόννησοι λεγόμεναι. ἰδίᾳ δὲ διαλλάττουσαι, ἡ μὲν γὰρ χαλκῖτις, ἡ δὲ πιτυοῦσα.

Δημόσους, τὸν δῆμον σώζων ἢ ὁ δημολίσσωντας.

Δημοσιεύειν, τὰ δημόσια ὑπηρετεῖν ἄνευ μισθοῦ.

Δημοποίητον. ὁ κατὰ ψήφισμα δήμου γεγονὼς πολίτης ξένος ὢν φύσει. ¶ Δημόσιον. δεσμωτήριον.

Δημοστροφεῖν, ἐν δήμῳ ἀναστρέφειν. ¶ Δῆμος, καλὸς πυριλάμπους υἱὸς ἦν οὗτος. ¶ Δῆμος, ὄνομα κύριον τὴν ὥραν κάλλιστος, ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχοῦ τὰ τῶν παίδων ὀνόματα.

Δημολάλητος, δημοβόητος. ¶ Δημοτελῆ, ἱερὰ, ἐπὶ δημοτελῆ μὲν εἰς ἃ θύματα δίδωσιν ἡ πόλις, δημοτικὰ δὲ εἰς ἃ οἱ δῆμοι. ¶ Δημοτεύεσθαι, τὸ μετέχειν δήμου καὶ πολιτείας κατὰ νόμον. ¶ Δημότης, ὁ ἐκ τοῦ δήμου, δηλοῖ δὲ καὶ ἰδιώτην. ¶ Δημοτικὰ, τὰ τοῖς πολλοῖς ἐμπρέποντα. ¶ Δήμου ἄνδρα: δημότην ἄνδρα. ¶ Δημοῦσθαι εὐφραίνεσθαι, εὐθυμεῖσθαι. δημόσια παίζειν. ¶ Δημοῦται, παίζει, θωπεύει. ¶ Δήμου τ' ἄνδρα. δημότην ἄνθρωπον. ¶ Δήμου, πόλεως.

Δημωαρίστα. δημότας ἀρίστους δωρικῶς.

Δημοφάλιον. ἱερεῖον, ἀλλοῖον. ¶ Δημόφαντον, δημόσιον. ¶ Δημώδης, παιδιώδης.

Δήμω, δημοσίᾳ. ¶ Δημώματα, παίγνια.

Δημωφελῶν, δῆμον ὠφελῶν. ¶ Δὴν, ἀντὶ τοῦ πολὺν χρόνον. ¶ Δηναιόν. πολυχρόνιον, ἀρχαῖον.

Δηνεά, ἀχρεῖα καὶ ἄφορα δένδρα. Δηνάριον, τὸ νόμισμα. ἢ εἶδος ἀργυρίου. ¶ Δηνάτας, διεξελθὼν, διεξῆλθες. ¶ Δὴν δ' ἄνεω, ἀντὶ πολὺ ἀχρεῖς, ἥσυχοι, ἄφωνοι. ¶ Δήνεα, βουλεύματα.

Δῆνος, βούλευμα. ¶ Δὴν ἧστο, ἀντὶ πολὺ ἐκαθέζετο.

Δήξεται, δάκνει. ¶ Δήξομαι, λυπήσομαι, ἀνιάσομαι. ¶ Δῆος, βεβαῖος κρῆτες. ¶ Δῃουμένη, ἀπολλυμένη, ἐρημουμένη, καταστρεφομένη, πορθουμένη.

Δῃουμένων, ἀναιρουμένων. ¶ Δῃοῦν, πορθεῖν.

Δὴ οὖν, χρὴ δή. ἢ χρὴ οὖν. ¶ Δῃοῦντες, διακόπτοντες καίοντες, ἐλαττοῦντες, πολεμοῦντες.

Δῃούντων, ἀναιρούντων. ¶ Δήποθεν, λέξις συναπτικὴ ὡς καὶ τὸ δήπου. ¶ Δήπουθεν, δηλονότι.

Δηπορτάτος, ἐξορισμαῖος. ¶ Δῆρα, ἄρα δὴ, ἤδη:

Δηράδες, βουνοί. ¶ Δηρὰ δὴ, ὡς δή. ¶ Δ' ἠεριγένεια, ἡ δὲ ἡμέρα. ¶ Δῆρις, μάχη. ¶ Δῆρις, ζῆλος. ¶ Δηρίσασθαι, μαχέσασθαι.

Δηρίττειν, ἐρίζειν. ¶ Δηρότης, δηρὸν, ἀντὶ πολὺν καιρόν. ¶ Δηρότη, κακουργία. ¶ Δῆσαι, ῥῖψαι.

Δῆσαι, πρὸς ἄνοδον ἀττικῶς, βασανίσαι ἐν τῷ δεσμωτηρίῳ. ¶ Δησάντων, δησάτωσαν. ¶ Δήσαρτι, ὁμοίως. ¶ Δῆτα, οὕτως ἢ τοίνυν. ¶ Δηὖθ', ὕστερος. ¶ Δητταὶ, αἱ ἐπλισμέναι κριθαί.

Δὴ τότε καὶ τότε, τότε δή. ¶ Δηφεύσας, ἐκδίκως.

Δηὼ, δημήτηρ. ¶ Δῃωθέντων, ἀναιρεθέντων, καυθέντων. ¶ Δῄωσαν, κατέκοψαν, ἔπρησαν, ἠφάνισαν: ¶ Δῃωσάντων. πορθησάντων; πορθησάντων, καταπολεμησάντων. ¶ Δῄωσε, κατέκοψεν, ἐφόνευσε. ¶ Δῃώσωσι, κατακόψωσι. φονεύσωσι. καταπολεμήσωσιν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ι.

Λ Διὰ, δία, ἡ σύζευξις, καὶ πρόθεσις, ἐνδοξοτάτη καὶ ἀγαθή. ¶ Διαβάθρα, εἶδος ὑποδήματος γυναικείου. ¶ Διαβάλλει, καταγινώσκει ὑβρίζει, παραπτᾶ, παραλυπίζεται. ¶ Διάβασις, πορεία, πέραμα. ¶ Διαβάτης, ὀργανόν τι τεκτονικόν.

Διαβατικὸς, διαβάτην. ¶ Διαβαίνει, διαπερᾷ. ¶ Διαβεβαιοῦται οὐ δῶ, ἀντὶ τοῦ ἀσύμφωνον. ¶ Διαβήματα, πρεσβείας, περιπατήματα. ¶ Διὰ βίου, διὰ παντὸς, ἀεί.

Διαβιῶσαι, ζῆσαι. ¶ Διαβόητος, ὁ καλὴν φήμην ἔχων

Δ εὐζὸς, μάγειρος δέ τις παλάνθη. ¶ Δευτοί, λαμπάδες καὶ αἱ πίλαι, καὶ τὰ δράγματα παρὰ τὸ συνδεῖν.
Δ εὖον, δέρμα τοῦ ὀπτωμένου διάπυρον. διαφανές.
Δ ευάδαι, οἱ σάτυροι παρὰ ἠλειοῖς.
Δ εύας, τοῖς ἀκάκοις θεοῖς μάτοι. ¶ Δεύασθαι, γεύεσθαι. ¶ Δεύειν, μαλάττειν, τύπτειν. ¶ Δεύει, μίσγει. βρέχει. φύρει. ἐνδεῖ. ¶ Δεύεσθαι, βρέχεσθαι. ἐπιδεῖσθαι. ¶ Δεύεται. βρέχεται.
Δ ευθέντα, βραχέντα. ¶ Δευκαλίδαι, οἱ σάτυροι.
Δ εύκει. φροντίζει. ¶ Δευκές, λαμπρόν, ὅμοιον.
Δ ευλόν, πονηρόν, ἀχρεῖον. ¶ Δευοίατο. ἐπιδέοιντο.
Δ ευοίατο, ἐπιδεεῖς γίνοιντο. ¶ Δευόμενα, δεόμενα.
Δ ευομένη, δεομένη. ¶ Δευόμενος, δεόμενος. βρεχόμενος, χρήζων. ¶ Δεύοντο, ἐδέοντο, ἔχρῃζον, ἔβρεχον. ¶ Δεῦρο ἐνθάδε ἐλθέ. εἰς τοῦτον τὸν τόπον, ἢ ἀντὶ τοῦ πρότερον ἢ νῦν, ἢ παρακελευστικῶς, δεῦρ' ἢ νῦν τείρεσθαι πολεμίζομεν. ¶ Δεύρω, δεῦρο.
Δ εύς, ζεύς. ¶ Δεῦσαι, βρέξαι, βάψαι, μαλάξαι.
Δ ευσοποιόν, τὸ ἔμμονον καὶ μὴ ἐκπλυνόμενον βάμμα. οἱ δὲ τὸ γνησίως βεβαμμένον ὅτοι πορφύρα ἢ ἄλλό τι.
Δ εύσω. βρέξω. ¶ Δευσοποιός, βαφεύς.
Δ εῦτ' ἄγετε, δεῦτε φέρετε. ¶ Δεύτατος, ὕστατος. ἔσχατος, μεθ' ὃν οὐκ ἔστιν ἕτερος. ¶ Δευτέρα ἄλφιτα, τὰ δευτερεῖα καὶ εὐτελῆ. ¶ Δευτεραγωνιστής, δεύτερος ἀγωνιζόμενος. ¶ Δευτέρα φθίνοντος, ἡ πρὸ τῆς τριακάδος. ¶ Δευτερεῖα κάλλιστος οἶνος εὐτελός. ¶ Δευτερίνας, ὁ μετὰ τὸ ὕδωρ ἐπιχεῖσθαι εἰς τὰ στέμφυλα οἶνος. ¶ Δευρόλαος ὁ τῆς ἐφήβων ἀθηναίων. ¶ Δευτερόποτμος, ὁ ὑστερόποτμος, οὕτω δὲ ἐλέγετο ὁπόταν τινὶ ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγένετο, καὶ ὕστερον ἀνεφάνη ζῶν. οἱ δὲ πολεμίοις καὶ ἀπειρῆσθαι τοῖς τοιούτοις εἰσιέναι εἰς τὸ ἱερὸν τῶν σεμνῶν φασὶ θεῶν, ἢ ὁ φημισθεὶς ἀντὶ ξένης τετελευτηκώς, ἔπειτα ἐπανελθών, ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διελθὼν ὡς ἔθος ἦν παρὰ ἀθηναίοις ἐκ δευτέρου γεννᾶσθαι. ¶ Δευτέρων ἀμεινόνων. παροιμία ἀντὶ τῶν θυομένων ἐκ δευτέρου ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλὰ ὀφθῇ, καὶ ἀντὶ δεύτερα θύωσι, λέγοντες δευτέρων ἀμεινόνων. μνημονεύει πλάτων. ¶ Δέχεσθαι. λαμβάνειν. ἀσπάζεσθαι. ¶ Δέγμα, νόμιμον. ¶ Δέχθαι, λαβεῖν.
Δ έχμενος, προσδεδεχόμενος. ¶ Δέχομαι, ὁμολογῶ. ¶ Δεψήσας, μαλάξας.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Η.

Δ ηϊουν, συνδηλημος. ¶ Δηγῆ καὶ σιωπᾷ.
Δ ¶ Δηιατάγα, καὶ φθορὰ δενδρέων. ¶ Δηίβοιλοι. κιθαρῳδοί. ¶ Δὴ γάρ. ὅδη γάρ.
Δ ηγόρες, στρουθοί. ¶ Δηγοῖ. πληροῖ. ¶ Δῆγμα, παράδειγμα ἢ σπάραγμα ὀδόντων. ¶ Δήεται, εὑρήσεται. ¶ Δηεῖν, πολεμεῖν, φονεύειν. ¶ Δήεις, εὑρήσεις, ὄψε, μαθήσῃ. ¶ Δηθά, πολὺν χρόνον, συνεχῶς. ¶ Δηθαιέρην, ἐπὶ πολὺ λέγουσιν.
Δ ηθαιῶνας, μακραιῶνας. μακροβίους. ¶ Δηθάκις, πυκνῶς. πολλάκις. ¶ Δηθὰ ματεύσομεν, ἐπὶ πολὺ ζητήσομεν. ¶ Δηθάτε καὶ δόλιχον, ἐπὶ πολύ. καὶ μακρὸν χρόνον. ¶ Δῆθεν, ὡς δή. ἢ φησὶν ἢ ἐντεῦθεν.
Δ ῆθεν, ὡς μάλιστα, ὡς δῆλον ἐξεπίτηδες.
Δ ηθύνειν, ἐγχρονίζειν. ¶ Δηθύνοντα, χρονίζοντα, βραδύνοντα. ¶ Δηθυρεῖν, χολάζειν, διατρίβειν.
Δ ηϊάλωτοι. αἰχμάλωτοι. ¶ Δήιοι, πολέμιοι.
Δ ηΐοιο, καυστικοῦ, πολεμικοῦ, φθαρτικοῦ.
Δ ηϊοτής, πολεμικὴ διάθεσις. μάχη παρὰ τὸ δηΐουν.
Δ ηϊοτῆτας, μάχας. ¶ Δηΐοισι, τοῖς πολεμίοισι.
Δ ηΐοων, ἐμάχοντο, ἐπορθοῦντο.
Δ ηιοῦσι, πολεμοῦσιν. ¶ Δοίεσθαι, δοξάσθαι.
Δ ηιωθέντων, αἰκισθέντων. ¶ Δηίων, δακέτων.
Δ ηιώσας. κατακόψας. ¶ Δηλαδή, φανερὸν δὴ ἢ δηλονότι. ¶ Δηλαίνοιο, παίσοιο. ¶ Δηλαινομένη, βλαπτομένη. ¶ Δηλαιστή. ἐλεεινή. ¶ Δηλάτωρ, κατήγορος. ¶ Δηλαυγῶς, ἄγαν φανερῶς.
Δ ήλεσθαι, θέλειν, βούλεσθαι. ¶ Δηλή, βουλή.
Δ ηλητηρίων, ἀφανίζων. ¶ Δηλεθήσονται. θεωρηθήσονται. ¶ Δηλήματα, βλαπτικά. ¶ Δηλήμονας, βλαπτικούς, κλέπτας. κακούργους. λυμεῶνας.
Δ ηλήμων, κακοῦργος, λυμαντήρ, λυμεών, κακῶς διαπραττόμενος. ¶ Δηλήσας, καμών, διαπραξάμενος. ¶ Δηλήσασθαι, βλάψαι, διακόψαι, φθεῖραι.
Δ ηλήσατο, ἔβλαψεν, ἐφθείρετο, ἐκακοποίησε.
Δ ηλήσεις, στάσεις. ¶ Δηλήσονται, βλάψει, φθείρει.
Δ ήλησις, ὀργή. λώβησις, κακουργία, φθορά. ¶ Δηλήσονται. ψεύσονται. βλάψουσι. ¶ Δηλητήριον, φάρμακον, βοτάνη θανάσιμος. ¶ Δηλιασταί, οἱ εἰς δῆλον πεμπόμενοι θεωροί. ¶ Δήλιοι, οἱ ἀδελφὰς γεγαμηκότες. ¶ Δῆλον, φανερόν, ὁρατόν. καὶ τὸ τοῦ ἀπόλλωνος ἱερόν. ¶ Δηλονότι, φανερὸν ὅτι.
Δ ήλονται, θέλουσι. ¶ Δήλων, ὁράσεων ἐνυπνίων.
Δ ήλως, ἀποκαλύπτως. ¶ Δηλῶσαι. φράσαι, δεῖξαι, σημᾶναι. ¶ Δήλου κακὸς βωμός, τὸ περιτρέχειν κύκλῳ τὸν ἐν δήλῳ βωμὸν καὶ τύπτεσθαι, ὑπὲρ ἀπορύρου θυσίας εὐχαριστήρια τῆς ἀπὸ τοῦ λαβυρίνθου φυγῆς.
Δ ημαγωγεῖ, στρατηγεῖ. ¶ Δημαγωγίας. ὀχλοκοπίας. ¶ Δημαγωγός, ἄρχων ἐκ τοῦ τὸν δῆμον ἄγειν καὶ διοικεῖν, δημόσιος. ¶ Δημαγωγοῦνται. στρατηγοῦνται. ¶ Δημαρέτιον, νόμισμα ἐν σικελίᾳ ὑπὸ γέλωνος κοπέν, ἐπιδούσης αὐτῷ δημαρέτης τῆς γυναικὸς εἰς αὐτὸ τὸν κόσμον. ¶ Δημαρχία, ὅτε δῆμος ἄρχει. ¶ Δήμαρχοι. οἱ πρότερον καλούμενοι ναύκραροι. ἄρχοντες δὲ ἦσαν καὶ ἐνεχύραζον οὗτοι τοὺς ὀφείλοντας. ¶ Δήμαρχον. τὸν ἐνεχυραστήν.
Δ ημαξεύεσθαι. ἐπὶ πολὺ φορτίζεσθαι.
Δ ημεῖαι. αἱ τῶν δήμων συστάσεις. ¶ Δημελέορος, ἐλεεινός. ¶ Δημεύειν, τὴν οὐσίαν τινὸς δημοσιῶσαι. καὶ τὸ ἐνδημεῖν. ἔνιοι τὸ ἐνδημαγωγεῖν λέγουσι.
Δ ημεύσεις, ἁρπάσεις. ¶ Δημεύσας, δημοσιεύσας.
Δ ημεχθὴς λαός. μισούμενος ὑπὸ τοῦ δήμου. ¶ Δημογεροντες, ἐν δήμῳ λαλοῦσαι. ¶ Δημηγορῶν, εἰς τὸν δῆμον λέγων. ¶ Δήμητρα, τὸν σῖτον. γλαῦκον.
Δ ημητειάς, κεδαὶ διάστιχος. ¶ Δημήτειος, ζαγρέων ὑποκειτής, καὶ ἴσως ὑπεκρίθη τὸν ἀγαμέμνονος θάνατον πλέκη κατὰ πολλοὺς γενόμενον.
Δ ήμια, δημόσια. καὶ δημόπρατα.

Δ ελεαζόμενος, παραλογιζόμενος. ¶ Δέλεαρ, ἀπάτη, δόλος. ¶ Δελεασθεὶς, ἀπατηθείς. ¶ Δελεδώνη, ὁ μυλαῖος ἰχθύς. ¶ Δέλεστρα. βατίδες.

Δ έλετρον, φανός, ὃν οἱ νυκτεύοντες φαίνουσι.

Δ ελέφαντ. ὁ τῆς ἀφροδίτης ἀστὴρ ὑπὸ χαλδαίων.

Δ ελητή, δελέατι. ¶ Δελήτιον, βελόνιον. ¶ Δελία, δάφνη. ¶ Δέλιγχα. τὰ ἡμίχοιρα. ¶ Δέλλει, καλεῖ. ¶ Δέλλιδες, σφῆκες, ὁ ζῶον ὅμοιον μελίσσῃ.

Δ ελλίθια, δειθείνια. οἱ δὲ, κηθία. ¶ Δέλκος, λίμνη ἰχθυοφόρος περὶ τὴν θράκην. ¶ Δελφάκιον, χοιρίδιον. οὕτως ἔλεγον καὶ τὸ γυναικεῖον. ¶ Δελφακοῦσθαι, τελειοῦσθαι τὰς ὗς. ¶ Δελφίνιος, εἶδος βοτάνης. ¶ Δελφικὸν τρίποδα, τὸν τοῦ ἀπόλλωνος ἐν δελφοῖς. ¶ Δελφική, μάχαιρα ἀπὸ κατασκευῆς, λαμβάνουσα ἔμπροσθεν μέρος σιδηροῦν ὡς ἀρίστου τέλους. ¶ Δελφῖνες, πολεμιστήριον μηχάνημα ἐν ναυμαχίαις, ἢ ὁ ἔχουσα αὐτὸ δελφινοφόρος ναῦς. οἱ δὲ, διὰ τὰ κρεμαννύμενα βάρη δελφίνων σχῆμα ἐχόντων, ἃ ταῖς λῃστρικαῖς ναυσὶν ἐμβάλλεται.

Δ ελφὶς, μύζα καὶ ὁ ἐν δελφοῖς δράκων. ¶ Δελφύων, ὑστέρων. ¶ Δέλτος, πινακίδιον, ἢ πλάκιον.

Δ έμας, σχοινίον. ¶ Δέμας, σῶμα, μορφή. ἰδέα. τύπος, σχῆμα. ¶ Δέμας πυρὸς αἰθομένοιο, τύπον πυρὸς καιομένου. ¶ Δεμεῖ, οἰκοδομεῖ. ¶ Δέμει, ὁδός. ¶ Δεμβλεῖς, βδέλλαι. ¶ Δέμνια, στρώματα, κοῖται. ¶ Δεμνίοις, κοίταις, στρωμναῖς.

Δ εμνιοτήρης, ἔγκοιτον τὰ δέμνια τηροῦντα.

Δ εμνιοτήρη, πόνον αἰσχύλος ἀπομέμνονι. καθόσον οἱ νεοσσοὶ ἐπὶ γιούρι εἰσὶν ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν, μηδέ πω πέτεσθαι δυνάμενοι, πόνον δὲ τὰ περὶ τὴν τροφὴν αὐτῶν. ¶ Δεμῶν, χρόνος. ¶ Δενάζων, λοιδορῶν. ¶ Δενδρέῳ, τῷ δένδρῳ. ¶ Δενδαλίδας, οἱ μὲν ἄνθος τι. ἄλλοι τὰς λευκάς, κάχρυ* σι ἢ τὰς* ἐπεστεμένας κριτὰς πρὸ τῆς φρυγάνης. οἱ δὲ τὰς ἐκ κριθῶν μάζας γενομένας. ¶ Δενδίλλει, σκαρδαμύττει, διανεύει, σημαίνει, ἀτιμάζει, σκώπτει.

Δ ενδίλλων, τοῖς ὀφθαλμοῖς διανεύων. ¶ Δενέμορ. γῆ τις περιώδης εὔζυγος περὶ λακωνικήν. ¶ Δεννασὸν, καταγέλαστον, λοιδορούμενον μετὰ καταγέλωτος. ¶ Δενδρίτης, κροκόδειλος. ¶ Δενδριάζειν, τὰ πετεινὰ ὑποδύειν καὶ ὑπὸ τὰς δρῦς παραφεύγειν πρὸς σκέπην. ¶ Δενθεις, οἶνος λακωνικός.

Δ εννὸν, κακολόγον. ¶ Δεντὴ, δέλεαρ. ¶ Δεξαμενὴ, ὑδάτων δοχεῖα, ἢ ἐν τῷ στόματι φλέβες δοχεῖον καὶ ἐπισκίαι. ¶ Δέξασθαι, λαβεῖν παρὰ τοῦ ποιητοῦ. ¶ Δεξιάδην, οἱ μὲν ὄνομα κύριον. οἱ δὲ δεξιοῦ παῖδα. οἱ δὲ ἐπιρρηματικῶς ἐκ δεξιῶν, δεξιῶς. ἐπεὶ ἐκ δεξιῶν θεῶν βροτοὶ ὧδε δεξιμήλου.

Δ εξιὰς, συνθήκας. ¶ Δεξιαὶ, αἱ γινόμεναι κατὰ συνθήκας ἐπαφαὶ τῶν δεξιῶν χειρῶν, εἰς σύμβολον τῆς βέβαια ἔσεσθαι καὶ ἣν* μετὰ τὰς συντιθέμενα.

Δ εξιμήλοις, ἐπηκόοις καὶ ἱλαροῖς ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα καὶ δεξιμῆλοι ἐσχάραι. ¶ Δεξιὸς, συνετός. ἀγαθός. καλός. ἐπιδέξιος, εὐθύς.

Δ εξιοῦται, προσάγεται. ¶ Δεξιοστίχοι, ἐρέται οἱ κατὰ τὸ δεξιὸν μέρος, τίθεται δὲ καὶ ἐπὶ χορευτῶν.

Δ εξιότερον, δεξιόν. ¶ Δεξιὸς, τῶν ἐν τῷ ἥπατι μερῶν παρὰ τοῖς θύταις καλουμένου δοχή. ¶ Δεξιοῦσθαι, ἐγγίζεσθαι γυναικί. ¶ Δεξιὸν, εἶδος* μέρος.

Δ εξὼ, ὁ κρατῖνος ὠνοματοποίησεν. ἀπὸ τοῦ δέχεσθαι δῶρα. ¶ Δεξιωσάμενος, δεξάμενος. ¶ Δέοιμι. δεσμεύοιμι. ¶ Δέομαι, δέω. ¶ Δεόμενοι, χρήζοντες, δεσμοῦντες. ¶ Δαιόμενος, καιόμενος.

Δ εομένων, χρῃζόντων. ¶ Δεόμενος, νόμος, δεσμός.

Δ έονες, δέησις, δέον, οὕτω παλαιά φασι λογιζόμενοι εἰς τὸ δέον προσγράφειν ὃ σημαίνει εἰς προδοσίαν διδόμενον χρῆμα. πρέπον. ἀναγκαῖον. ¶ Δέοντα χρῄζοντα, λείποντα, πρέποντα. ¶ Δέοντο, ἐδεσμεύοντο. ¶ Δεόντων, δεσμευέτωσαν. ¶ Δεόντως, προσηκόντως. ¶ Δέος, φόβος ἢ θεός. ¶ Δέοισθ, δεσμεύοισθ, ἀπέχοισθ. ¶ Δέπας, ποτήριον παρὰ τὸ δέχεσθαι τὸ πόμα. ¶ Δεπάεσσι, ποτηρίοις.

Δ ερα ὑπερβολὸ ὄρεια, οἱ δὲ τὰ σημαῖα τῶν ὀρέων.

Δ ραὶ, αἱ σκιάσκιαι. λάκωνες. ¶ Δέραια, περιδέραια χλίλια, παίγνια, τὸ αὐτὸ καὶ δεραιοί. ¶ Δέρας, δέρμα προβάτου. ¶ Δέρμα, ὀφθαλμός. ὅρασις.

Δ έργματα, ὄμματα. ¶ Δεργμάτων, ὄψεων, ὀμμάτων, καὶ δεργμῶν. ¶ Δέρεθρον, λίμνο ἀποχώρησιν ἔχουσα. ¶ Δέρη, τράχηλος, αὐχήν.

Δ έεις, τράχηλος. ¶ Δερεῖαι, λοιδορεῖαι. ¶ Δερείπιον, φλοιόν. ¶ Δέρκειν, βλέπειν, ὁρᾶν. ¶ Δέρκεσθαι, ὁρᾶσθαι. ¶ Δερκομένου, ὁρῶντος. ¶ Δερκομένῳ. ὁρῶντι, βλέποντι. ¶ Δερκύλλειν, αἱμοπτεῖν. ἄλλοι δερμύλλειν διὰ τοῦ μ. ¶ Δέρκων, βλέποντα. ὁρῶν. ¶ Δέρμα, πήρα, ἢ δέσμη. ¶ Δέρμα, δορά. ¶ Δέρμη, ὁδός. ¶ Δέρμα λιβυκὸν, ὡς κάλλιστον. ¶ Δερμηστὲς, οἱ ἐξ ἐφ'* ἡμῶν περιιστοί.

Δ ερμηστὴς, ὁ σκώληξ. ὅδ* σκνὶψ ὁ τὰ δέρματα ἐσθίων, ἀφίσταρχος ὅφιν. ¶ Δέρξιος, ὀψέως. ¶ Δέρος, δέρμα. ¶ Δερμύλλει, αἱμοπτεῖ. οἱ ἢ, ἐμπαίει.

Δ έρρις, τὸ παχὺ ὕφασμα, ὡς εἰς παραπέτασμα ἐχρῶντο. ἴσως ἢ καὶ δέρματίνοις ἐχρήσαντο περὶ τῶν αὐλαιῶν.

Δ ερριδόνομφοι, πύλαι δέρρεις ἔχουσαι παραπετάσματα.

Δ έρρις, δέρμα, βύρσα, ¶ Δερρίστης, περιδέρραιον ἵππου. ¶ Δερρίστης, κυνάγχης περιαυχένιος.

Δ έρριον, τείχινον σακκίον. ¶ Δέρζα, τύμπανα.

Δ έρτον, δέρμα, ὑμὴν, λαπάρα, ἦτρον. ὑποστέρνιον, ἄμεινον δὲ τὸ περιτόναιον ἀκούειν, ἢ ὑμένα. ἐπίπλουν.

Δ εσαυχένες, ἀσκοὶ διὰ τὸ ἐκ τῶν αὐχένων δεδέσθαι.

Δ εσρωτεῖ, δεῖπνον. ¶ Δεσμὰ, πέδαι. ¶ Δέσματα, ἐπιδέσμια. ¶ Δέσμην. ἀμάλλην. ¶ Δεσμὰς τὰς δεσμὰς τῶν σταχύων. ¶ Δεσμὴ, ὁδός. ¶ Δεσμοὶ, ἧλοι. ¶ Δεσμοὶ τυραννικοὶ, οἷς ἐχρήσαντο ἀθηναῖοι. ¶ Δεσμίνος, μάγιστος ἄξιος τῶν δεσμῶν.

Δ εσμὸν, αὐστηρῶς ἀττικοὶ καὶ σημεῖον παρὰ τοῖς θύταις. ¶ Δεσμὸς, σχῆμα, μορφὴ, ἦλος, εἶδος.

Δ εσποίνας, γυναῖκας θεσσαλοὶ δεσπότην* κρεμμενοι ἔνιοι μὲν ἵππου κουρᾶς εἶδος εἶναι φασίν. ἐκαλεῖτο δὲ ἀπὸ τοῦ κείρειν τοὺς αὐχένας, ἐπειδὰν ὁ δεσπότης τοῦ ἵππου τελευτήσῃ. βέλτιον* δὲ δεσπότην τεθνῶντος, ἐπειδὴ καὶ τὸς ἵππους ἀπεκείρομεν τοῖς θανάτοις τῶν δεσποτῶν.

ἀχρεῖον, δειλὸν, ἄναλκιν. ¶ Δειλάκρα, δειλαία.

Δ ειλακρίων, ἐλεεινὸς, ταλαίπωρος. ¶ Δειλανθὴς, κλεφθεὶς, ἀπατηθείς. ¶ Δειλάσαι, δειλιᾶσαι.

Δ ειλιῶν, φοβούμενος. ¶ Δείλαιοι, φοβοῦ.

Δ ειλήμονες, εὐλήμονες, εὐλαβεῖς ἢ δειλοὶ καὶ ἄτολμοι.

Δ είλη ὀψία, ἡ περὶ δύσιν ἡλίου. ¶ Δειλίην, δειλότητα. ¶ Δείλη, πρωΐα ἡ μετ᾽ ἄριστον ὥρα.

Δ ειλοκοπήσας. ἐξαπατήσας, ἐκφοβήσας.

Δ ειλὸς, δίλαιος. ¶ Δειλὸν, πονηρὸν, ἀνάλγητον, ἀσθενῆ, κακόν. ¶ Δειλῷ. δειλαίοις, ἀθλίοις δυικῶς.

Δ εῖμα, δέος φόβος φόβητρον. ¶ Δεῖμαι, οἰκοδομῆσαι.

Δ ειμάλεια, τὰ λεπτὰ τῶν βοσκημάτων. οἱ δὲ λάκωνες νεκρά. ¶ Δειμαλέον, φοβερόν. ¶ Δειμαίνει, ἐκφοβεῖται. ¶ Δειμαίνων, φοβούμενος. ¶ Δειμαλέος, ὁ εὐλαβής. ¶ Δειμάμενοι, οἱ οἰκοδομοῦντες ἢ οἰκοδομήσαντες. ¶ Δείμασι, φόβοις.

Δ ειμᾶσθαι, φοβεῖσθαι. ¶ Δείματα, φοβήματα.

Δ ειματοῦται, φοβερὰ λέγει ἢ ἀκούει ἢ φοβεῖται.

Δ ειματούτω, φοβείτω, ταραττέτω. ¶ Δειματουμένη, φοβουμένη, εὐλαβουμένη. ¶ Δειματώδει, φοβερῷ.

Δ εῖμος, φόβος. ¶ Δειμάτων, φόβων. ¶ Δειμάμενον, οἰκοδομήσαντα. ¶ Δεῖν, δησμεύειν, καὶ δέον ἐστὶ δέησιν. καὶ τὸ πιεῖν φέρειν ἐνεῖσκειν καὶ στρέφειν κύπριοι. ¶ Δεῖ, χρὴ ἀναγκαῖον πρέπον ἢ προσῆκον.

Δ εινὰ, καταπληκτικὰ φοβερά. ¶ Δεῖναι, ἡ τῶν ὑδάτων συστροφή. ¶ Δείνας. συστροφάς.

Δ είνας, κινήσεις, τὰ κοιλώματα τῶν ὑδάτων.

Δ εινεύει, κυκλεύει. ¶ Δεινεύειν, βουλεύεσθαι κακά.

Δ είνη. συστροφή. ¶ Δεινὰ δὲ, φοβερὰ δέ. ¶ Δεινεύοντα, περιστρεφόμενα, φοβερά. ¶ Δεῖνος τὸ περιστρεφόμενον. ¶ Δείνησιν, κίνησιν, συστροφήν. ¶ Δείνης ἀδος, ὑποδημάτων εἶδος ἀνδρείων. ¶ Δεινοὶ, σπουδαῖοι περὶ τὸ πρᾶγμα. ¶ Δείνοις, κινήσεσι.

Δ εινοπαθεῖ, δεινῶς ἔχει. χαλεπῶς ἔχει ἢ καὶ πάσχει χαλεπῶς. ¶ Δεῖνος, δίνησις εἶδος δίνης, φοβερὰ, καὶ εἶδος ἐκπώματος καὶ ὄρχησις, ἢ δίνης ἄξιος.

Δ εινὸς, κακὸς. φοβερὸς, ἐστρεμμένος. δυνατὸς πανοῦργος, ἱκανὸς, ἀκόλαστος. ¶ Δεινότερος. πάνυ σόφιμος. ¶ Δεινοῦσι, φοβοῦσι. ¶ Δεινοὶ δὲ οἱ, δεινοὶ δὲ αὐτῶν. ¶ Δεινὸν ᾠήθην, ἀναγκαῖον ἐλογισάμην. δέον εἶναι ὑπέλαβον. ¶ Δεινωποί. δεινατώδεις, φοβεροί. ¶ Δεινῶς, πάνυ σκότωσις δεινότης.

Δ είνωσιν, δύναμιν, δεινότητα, συστροφήν. ¶ Δεινωτὸν, πεποικιλμένον ἐν κύκλῳ, ἢ τετορνευμένον ἢ τὸν ἱμᾶσι διειλημμένον. χρῆται γοῦν Ὅμηρος ἐπὶ τῆς κοίτης τηλεμάχου. ¶ Δεινωτοῖς, κυκλωτερέσι πεποικιλμένοις. ¶ Δεῖξαι, δηλῶσαι, φανερῶσαι.

Δ εισομένη, δεισομένη. ¶ Δειπάτορος, θεὸς παρὰ στυμφαίοις. ¶ Δειπνήεντα, δειπνοφόρα, οὐ δυνάμενα φέρειν ἡμᾶς. ¶ Δειπνηστὸν, τὴν τοῦ δείπνου ὥραν.

Δ ειπνολογία, οἱ περὶ δείπνου λόγοι. ¶ Δεῖπνον, τὸ καθ᾽ ἡμᾶς ἄριστον. ἢ τροφὴν ἑσπερινήν. ¶ Δεῖπνον, ἔλουσεν, ἐδείπνισεν. ¶ Δειπνοφόροι, παρὰ ἀθηναίοις καθίστανται ἐν τῇ τῶν ὀσχοφορίων ἑορτῇ οἱ δειπνοφόροι. ¶ Δείρα, δίμοιρα, τράχηλος, διαίρεσις.

Δ ειράδες, ἐξοχὰς, κορυφάς. ¶ Δειράζειν, κλέπτειν.

Δ ειράδες, αὐχένες τραχηλοειδεῖς τῶν ὀρῶν ἢ ἐξέχοντα μέρη ἢ τὰς νάπας ἢ τὰς φάραγγας. ¶ Δειράς, κορυφή. ¶ Δείραντες, ἐκδείραντες. ¶ Δείρειν, ἐκδέρειν. ¶ Δείρη, τράχηλος αὐχήν. ¶ Δειρὴν, αὐχένα, τράχηλον. ¶ Δειριᾶν, λοιδορεῖσθαι λάκωνες. ¶ Δειρεῖοι, λοίδοροι οἱ αὐτοί. ¶ Δειρὸς, λόφος καὶ ἀνάντης τόπος. ¶ Δειροτομῆσαι, διατεμεῖν, διατεμῆσαι. ¶ Δεῖσαι, εὐλαβηθῆναι, δέος ἔχειν ὁ φόβος. ¶ Δειπλὸς, δειλός. ¶ Δεισήλα, τὴν μοῖραν. οἱ δὲ δημοιρίαν. ¶ Δεισιδαίμων, ὁ τὰ εἴδωλα σέβων εἰδωλολάτρος, ὁ εὐσεβὴς καὶ δειλὸς περὶ θεοῖς.

Δ εισιδαιμονία, φοβοθεΐα. ¶ Δεῖται, δέεται, χρήζει.

Δ ειφήσαντες, ψηλαφήσαντες. ¶ Δειφόμενος, ψηλαφῶν. ¶ Δειφῶν, ζητῶν δίκην τοῦ προσήκοντος.

Δ εκάδα, τάξιν τινά. ¶ Δεκαβοίων, ἀριθμὸς ποσὸς καὶ σταθμὸς, ποσὸς ἐφ᾽ ᾧ τετύπωτο βοῦς. ἔνιοι δὲ δειλιόντων βοῦν νόμισμα εἶναι φασί. ¶ Δεκαχάρεδαι, οἱ τῶν δεκάδων ἡγεμόνες. οὓς καὶ δεκαδάρχους ἔλεγον. ὥσπερ τὸν βίον ὑπὸ δεκάρχῳ δώδεκα. ¶ Δεκάδαρχος. οἱ μὲν, ἀπὸ τοῦ δεκαδαρχεῖν. οἱ δὲ, ἀπὸ τοῦ δεκάζειν, ὅπερ ἐστὶ τοὺς δικαστὰς πείθειν δώροις. ἦν δὲ καὶ ὁ νόμος καὶ ὁ τελώνης. ¶ Δεκάδες, οἱ ἐκ τῆς τάξεως τῶν δέκα στρατιωτῶν συνεστῶτες. ¶ Δεκάδρομοι, οἱ δέκα ἐν τοῖς ἀνδράσι ἐσχηκότες ὑποκριτῶν.

Δ εκάζειν, διαφθείρειν χρήμασι ἢ δώροις. ¶ Δεκάζεσθαι, δωροδοκεῖσθαι. ¶ Δεκάζων, ὁ εἰς δέκα ἀριθμὸν ἄγων. ἔλεγον δὲ οὕτω καὶ τὸ κατὰ δέκα διαφθείρειν τὸν δικαστὴν ὁ τοὺς κριτὰς, καὶ ἁπλῶς τὸ διαφθείρειν δικαστήν. ¶ Δεκανᾶται, ἀσπάζεται.

Δ εκαπουστοὶ, χεῖρον οἱ ἀπὸ δείπνου κληθέντες τὰς ὥρας οὕτως ἐξελάμβανον πρὸς τὴν σκιὰν ἀναμετροῦντες.

Δ εκασθεὶς, δωροδοκηθεὶς. ἐπιτιμηθεὶς. ἐνδραπείς.

Δ εκάτα, τάξις, ἄθροισμα, καὶ ἡ τῶν ὀκτὼ ἁρμάτων τάξις. ¶ Δεκατεύειν, τελωνεῖν, δεκάτην εἰσπράττεσθαι. ἔλεγον δὲ καὶ τὸ ἀρχτεύειν, δεκατεύειν, ἐπεὶ ἐπραάσσον αὐτοὶ αἱ παρθένοι περὶ τὸν δεκαετῆ χρόνον οὖσαι. ¶ Δεκατευταὶ, τελῶναι οἱ τὴν δεκάδα ἢ δεκάτην ἐκλέγοντες ὡς τὸ δεκάζειν δεκατεύειν.

Δ εκάτη. τὸ δέκατον μέρος τῆς οὐσίας. ¶ Δεκατηλόγοι, τελῶναι. ¶ Δεκάτην θύομεν, τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐτίθεσαν. ὁ δὲ ἀριστοτέλης τῇ ἑβδόμῃ φησί. ¶ Δεκάτη. προτέρα, ἡ πρὸ εἰκάδος ὡς ὑστέρα ἡ μετ᾽ εἰκάδα. ¶ Δεκάτου βόλου οὐδενὸς ἀξία βέλτιον δὲ, εἰς μικρότητα τίθεσθαι αὐτό. ¶ Δεκαδώρῳ ἁμάξῃ, ἧς ὁ διάμετρος τῶν τροχῶν δεκάδωρος. δῶρον δέ ὡς μέν τινες ἡ παλαιστή. ὡς δὲ ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους συστρέψας ἐπί ρως τὴν αὐτίχειρα ὡς πλούταρχος. ¶ Δεκαφυΐα δεκαπλασία, διφυΐα δὲ, διπλασία. ¶ Δεκάχειλον, πρὸς ἀποδοχὴν ἐπιτήδειον. ¶ Δεκάχειλοι, δεκακισχίλιοι. ¶ Δεκάχοια, δεκαπλαῖ.

Δ εκετὲς, δεκαετές. ¶ Δεκέτης, δεκαετής.

Δ εκτὸ. χλαῖνα, χλανίς. ¶ Δεκτῆρες, ἀποδοχεῖς.

Δ έκτης, πτωχὸς, ἐπαίτης ἀπὸ τοῦ δέχεσθαι.

Δ εκτὸν, εὐπρόσδεκτον. ¶ Δεκτός. ἀρεστός.

Δ εκὼν, ὁ δεκαζόμενος. ¶ Δελεάζει, ἐξαπατᾷ.

Δ ατῶν, ζητεῖν. ¶ Δατευβάλε*. ¶ Δατεῦντο, ἐπορεύοντο, ποσὶ διατεῦντο. ¶ Δάτησις, διαίρεσις, μερισμός. ¶ Δάτις, στρατηγὸς περσῶν. ¶ Δάτος, ὁ ζυγὸς, ἢ πόλεως ὄνομα ὑπὸ λακεδαιμονίων.

Δ ατρύμενοι, μεριζόμενοι. ¶ Δατύλλου ἡμέρα, ὠθὴ πανδιονός φησι. ¶ Δατὶς, κουρὰ λινομ νύμφη λευκόκηρεως. ¶ Δατύσσειν, λαφύσσειν, ἐσθίειν.

Δ ατῶνται, ζειαί. ¶ Δάνακες, θαυμαλῶπες.

Δ άνειν, κοιμᾶσθαι. ¶ Δανάς, μέλαινα καὶ πονηρά.

Δ αῦκος, ὁ θρασὺς, καὶ βοτάνη τις ἰατρική.

Δ αυλίαν, κηρώνην ἀντὶ τοῦ δῶνα, οὕτως δὲ ἀηδὼν ἐλέχθη. ¶ Δαῦλις, ἑορτὴ ἐν ἄργει μίμημα τῆς προίτου πρὸς ἀκρίσιον μάχης. ¶ Δαῦλις, πόλις.

Δ αῦλον, δασύ. ἡμίφλεκτον ξύλον.

Δ αυμάσαι, ἐκκαῦσαι. ¶ Δαῦτα, λάχανα, οἱ δὲ χλωρά. ¶ Δαυχμὸν, εὔκαυστον ξύλον δάφνης.

Δ αὖγος, δασύς. ¶ Δαφνίτης, ἀπόλλων παρὰ συρακουσίοις. ¶ Δαφοινοί. λίαν φοίνιοι.

Δ αφοινόν. μέλαν, δεινὸν, ποικίλον, ἐρυθρὸν, πυρρόν.

Δ αφνοπώλην, τὸν ἀπόλλωνα λέγουσιν ὡς ἀριστοφάνης.

Δ άψαι, σπαράξαι, καταφαγεῖν μετὰ σπαραγμοῦ. τὸ δὲ αὐτὸ καὶ διαδρέψαι καὶ διακόψαι καὶ ῥῆξαι.

Δ αψιλέστερος, πολύς. λέγεται δὲ καὶ ἐπὶ ἐρυμάτων καὶ μεγαλοψυχούντων. ¶ Δαψιλῆ, πολλά.

Δ αψιλῶς, ἀφθόνως. ¶ Δάωμεν, μάθωμεν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ε.

Δ ἑα, ῥέα ὑπὸ πυῤῥωνίων καὶ δείματι φόβοι: ¶ Δέαται, φαίνεται, δοκεῖ. ¶ Δεάμην, ἐδοκίμαζον, ἐδόξαζον. ¶ Δέατος, δίκην σοφοκλῆς κιδαλίω. ¶ Δέγμενος, προσδεχόμενος, προσμένων. ¶ Δεγμὸν, ἰδών. ¶ Δεγμῶν, χρόνος.

Δ έδαεν, ἐδίδαξεν, ἐπίσταται. φαίνεται.

Δ εδάηκας, ἔμαθες, ἔγνως. ¶ Δεδάηκεν. ἔμαθεν, μεμάθηκεν, ἔγνω. ¶ Δέδαλοι, προμαχῶνες.

Δ εδάλας, δεσμός. ¶ Δεδάμωται, ἐπιτετήδευται.

Δ έδαον. ἔλειξαν, ἐδίδαξαν. ¶ Δεδάρδαφε, καταβέβρωκε. ¶ Δέδαεσται, δήρηται, μεμέρισται.

Δ εδέμασται, ὑποτέτακται. ¶ Δεδεκομένον. πεφλεγμένον. ¶ Δὲ δὲ, τί δέ. ¶ Δέδιε, φοβοῦ.

Δ εδιγμένος, δεδεγμένος, ἐπιτηρήσας, ἐκδεχόμενος.

Δ εδίηται, ἐν χρείᾳ καὶ ἐν ἐνδείᾳ γεγένηται. ¶ Δεδίημαι, δέομαι, ἐδεήθην, δεδέξομαι, ἐνεδρεύσω. ¶ Δεδίασι, δεδίασι. ¶ Δεδίσαι, φοβῆσαι. ¶ Δεδίεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι. ¶ Δεδιττόμενος, ἐκφοβῶν.

Δ έδεγα, ἔλειξα. ¶ Δεδίχασι, κατέδακον, ἐλύπησαν. ¶ Δεδιώς, φοβούμενος.

Δ εδιῶς, δείσας. ¶ Δέδεξο, ὑπόμενον. ¶ Δεδέξομαι, δέξομαι. ¶ Δεδήει, ἐφλέγη. ¶ Δέδηεν, ἐκλάμπει. ¶ Δεδήσεται, δεθήσεται.

Δ εδῆσθε, δεδεμένοι ἦτε. ¶ Δεδήει, ἐξεγήγερτο, δεκέκαυτο. ¶ Δεδήωται, πεπόρθωται.

Δ εδνῶσθαι, ἐνεχυράσασθαι, ἐνδύσασθαι, ἐνεχύρησις.

Δ εδμημένος, βεβλημένος τεραντῖνοι. ¶ Δεδόμενατο, δεδαμνασμένοι, κατεσκευασμένοι. ¶ Δεδηκόνηκε, δεδώκακε, δεκένησι. ¶ Δεδαλμένον, κεκοσμημένον, διαπεπαγμένον. ¶ Δεδίκελον, ἀεὶ φοβούμενον, δειλόν. ¶ Δεδίνηται, εἴληται. ¶ Δεδίξασθαι, ἐκφοβῆσαι τὰ παιδία ἀπὸ φρέατος εἰς δέος ἄξειν. διῶξαι. ¶ Δεδίσκεο, δίσσον ἐκφοβεῖν.

Δ εδίσκηπται, ἔρριπται. ¶ Δεδίσσεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι. ¶ Δέδιθι, εὐλαβοῦ, φοβοῦ.

Δ εδμάων, κειὸς ἡγεμών. ¶ Δεδμήαται, κρατοῦνται. ¶ Δεδμήατο, ὑποτεταγμένοι εἰσί.

Δ εδμημένοι, δεδοκιμασμένοι, δεδεσμένοι, ᾠκοδομημένοι. ¶ Δεδμημένοι, δεδμημένοι ἐσμέν.

Δ εδμῆσθαι, κρατεῖν, ᾠκοδομῆσθαι, ὑποτετάχθαι.

Δ έδοικεν, ἐφοβήθη. ¶ Δεδοκημένος ἐπιτηρῶν. ¶ Δέδοκην, ἐπιθυμῶ, προσδοκᾶ, ἐσκόπει. ¶ Δέδοκται, ἐφάνη, ἐψήφισται, δέγνωσται. ¶ Δέδορκε, βλέπει.

Δ εδορκότες, ὁρῶντες, ἰδόντες. ¶ Δεδορκὼς, βλέπων, ὁρῶν. ¶ Δέδουπε. τέθνηκεν, ὡς ἐπὶ τὸ πλεῖστον ἐν πολέμῳ. ¶ Δεδουπότος, τεθνηκότος, πεπτωκότος.

Δ εδύημεν, ῥέξομεν. ¶ Δέδρακας, ἐποίησας.

Δ εδροικὼς, δεδοικώς. ¶ Δεδυκμένη, κεκακωμένη.

Δ έδυκεν, ὑπεισῆλθε. ¶ Δέει, φόβῳ, χρείᾳ.

Δ έη, χρήζεις. ¶ Δέειν, χρείαν ἔχειν. ¶ Δέεις, ἀπέχεις. ¶ Δέελον, δῆλον, φανερόν. ¶ Δέελος, δεσμὸς, ἅμμα. ¶ Δεήλαδες, φύλακες. ¶ Δέημα, ἐρώτημα ἀπὸ τοῦ δεῖσθαι. ¶ Δέημος, νόμος ἢ δεσμός.

Δ έησις, παράκλησις ἢ χρεία. ¶ Δεθέντα, δεσμευθέντα. ¶ Δεῖ. πρέπει. χρὴ, χρεία ἐστὶν, δεσμεύε.

Δ εία, ἔνδεια. ¶ Δίαθεν, ἐδόκουν. ¶ Δεῖγμα, τόπος ἐν ἀθήναις οὕτως καλούμενος. ¶ Δεδέχατο, ἐδεξιοῦντο, ἐφιλοφρονοῦντο. ¶ Δεδεγμένοι, δεξιούμενοι.

Δ είδεκτο, ἐδεξιοῦτο, διὰ φιλίας ἠσπάζετο καὶ λόγων.

Δ ειδέχαται, ἤσπασται, διαδέχεται.

Δ ειδήμονες. φοβεροὶ, αἰσχυντηροὶ, εὐλαβεῖς. δειλοί.

Δ είδια, φοβοῦ, δειλιώνε. ¶ Δέδοικα, φοβοῦμαι.

Δ ειδίζεσθαι, φοβεῖσθαι. ¶ Δείδιθι, εὐλαβοῦ, φοβοῦ.

Δ ειδίσσεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι, φεύγειν.

Δ έδοικα, φοβοῦμαι. ¶ Δείδω, φοβοῦμαι.

Δ ειδίασκο, ἐδεξιοῦτο. ¶ Δειελιήσας, τὴν δειλινὴν ὥραν διατρίψας, ἢ τὸ δειλινὸν ἔκβρωμα λαβὼν, ἤτοι δειπνήσας. ¶ Δειελιῆσαι, πληρωθῆναι τοῦ δειλινοῦ. ¶ Δείελος δὲ δύσομ ὁ ἑσπέριος ἀστὴρ ἀπὸ τοῦ ὑστερεῖν καὶ δεῖσθαι αὐγῆς τοῦ ἡλίου ἀπολειπόμενον ἐν τῇ δύσει, οὕτω γὰρ καὶ ἡ ἑσπέρα δειλινὴ καὶ δείλη ὠνόμασται. ¶ Δείεμα, βρῶμα. ¶ Δείλαιοι, μάταιοι. ἄθλιοι. ¶ Δεικβὼν, ῥύσις ἑρμηνεύεται, ἔστι δὲ τόπος ἔνθα ἵδρυται ἱερὸν μωαβιτῶν.

Δ εικανᾶσθαι, δεξιοῦσθαι. ¶ Δεικεῖν, ἀφεῖναι, ῥῖψαι:

Δ είκελον, φάσμα, ὁμοίωμα. ¶ Δεικὲς, λαμπρὸν, περιφανὲς, καὶ τὰ ποικίλα ὕφασμα καὶ φορβιὰς ἔχοντα καὶ τὰ πρόσωπα. ¶ Δεικανόωντο, ἐδεξιοῦντο. ¶ Δείκελα, εἰκόνες, ὁμοιώματα ἢ κατ' εἶδος ὅμοια τοῖς πράγμασι καὶ προσώποις. ¶ Δεικελισταὶ, μιμηταὶ παρὰ λάκωσι. ¶ Δείκηλα, τὰ ὁμοιώματα. ¶ Δεικνύμενος, δεξιούμενος.

Δ εικνῦσι, δεικνύουσιν, σημαίνουσιν, δεξιοῦνται:

Δ εικνύμενος, φωνῇ ἀσπαζόμενος. ἢ δωρούμενος καὶ ἐπιδεικνύμενος καὶ δεξιούμενος. ¶ Δείλαιον, μάταιον

Δ αμάρης, ὀχετός. ¶ Δάμαρ ἱππείως. εἶδος ἰχθύων ἐν πόλις. ¶ Δαμαρούσιος, ὀχετός. δημόσιος.

Δ ἄμαρτι, γυναικὶ γαμετῇ. ¶ Δάμαρτες, αἱ γαμεταί. ¶ Δάμαστιν, ἀνεῖλεν. ¶ Δαμάστορ, ἰδὲ μασι. ¶ Δαμάσῃ, ἀποκτείνῃ. ¶ Δαμασκόνδυλον, εὔπολις ὡς ἂν τὸν δαμασίστρατον ὄντα χῖον παλαιὸν οὕτως λέγει. ¶ Δαμασκός, ἄμμα σκύκκος.

Δ αμασὸς, οὕτως ὁ προσκρούστης ἐκαλεῖτο.

Δ αματρίζειν, τὸ συνάγειν τὸν δημοσιακὸν καρπὸν κύπριοι. ¶ Δαμάτειον, ἄνθος ὅμοιον ναρκίσσῳ.

Δ άμεια, ἑορτὴ παρὰ ταραντίνοις. ¶ Δαμείς, δαμασθείς, ἐν πολέμῳ ἀναιρεθείς. ¶ Δαμεῖσα, δαμασθεῖσα. ¶ Δαμεῦσαι. αἰσχῦναι. κοινοποιῆσαι.

Δ αμῆναι, δαμασθῆναι ὑπὸ γυναικός. ἀναιρεθῆναι ὑπὸ ἀνδρός. ¶ Δαμιόμεναι, ὑποταχθεῖσαι. ¶ Δημιουργοί. αἱ πόρναι. ¶ Δάμνα, ἐδάμαζε. ¶ Δαμναίμαν, δαμνάζοιμι. ¶ Δανάη. θυγάτηρ ἀκρισίου.

Δ αμνάμενοι, δαμαζόμενοι, βιαζόμενοι. ¶ Δαμναται, ἕλκει, βιάζεται, φθείρει. ¶ Δαμνᾷ, δαμνάζει.

Δ αμνῆσαι. δαμάσαι. ¶ Δάμνηται, δαμάζηται.

Δ αμνάμεναι, δαμαζόμεναι. ¶ Δαμνὸν, δεινόν.

Δ άμνος, ἵππος πυρρῶδοι. ¶ Δαμνῆτις, δαμάζουσα, τιμωρός. ¶ Δάμνια, θύματα σφάγια. ¶ Δαμοσόνιος, εἶδος βοτάνης. ¶ Δαμοῦσαι, οἱ ὑπὸ μελαντίας πεμπόμενοι λάκωνες. ¶ Δαμοῦχοι, οἱ τὸν δῆμον ἔχοντες. ἔστιν δὲ καὶ κατά τινας πόλεις αὐγαὶ ἐπολιτευμέναι δημοῦχοι. ¶ Δαμοφανής, τὸ ἱμάτιον, οἱ λάκωνες. ¶ Δαμπῆν, ὃ πνεῖ ἔφθον λάκωνες κρῆτες. ¶ Δαμώσκρυ, δεδοκιμασμένον λάκωνες. ¶ Δαμώματα, κοινώματα, δημοσιώματα.

Δ αμώμενος, ἀπεχθόμενος, οἱ δὲ παίζων.

Δ αμώσεις. δημόται, οἱ ἐντελεῖς παρὰ λάκωσι.

Δ αμάκρεος, ὁ πολὺν χρόνον ὀλέθοι, καὶ χώρα περὶ δαμασκὸν καὶ σιδῶνα. ¶ Δανά, ξηρά, καύσιμα ξύλα.

Δ ανά, ἢ δὲ ὡς δή. ¶ Δαναοί, οἱ ἕλληνες.

Δ ανάκη, νομισμάτιόν τι βαρβαρικὸν δυνάμενον πλέον ὀβολοῦ ὀλίγῳ τινί. ἐλέγετο δὲ καὶ ὁ τοῖς νεκροῖς διδόμενος ὀβολός. ¶ Δάνακες, μερίδες καρύστοι.

Δ ανδαλίδες, κάχρυες κείδαι ὁ σῖτος πεφρυγμένος.

Δ άνδαλος, ὁ ἐνιαθικὸς τὸ ὄρνεον. ¶ Δανδαείκαι, οἱ βολβοί. ¶ Δανδαίνειν, ἀτενίζειν, φροντίζειν, μεριμνᾶν. ¶ Δανιαέδα, αἱ δοῦλαι ταραντῖνοι.

Δ ανεισὸν, καὶ τὸν δανειζόμενον. ¶ Δανές, ἀληθὲς ἢ δῶρον, ἢ μερίδα, ἢ ἰσχὺν, ἢ γέρας, ἢ δάνειον.

Δ ανόλοβα, μακροβάχηλα, ἐκτεταμένους ἔχοντα τοὺς λόφους, ἢ ὑψηλοβάχηλα, μετεώρους ἔχοντα τοὺς λόφους, ἢ πίονας. ¶ Δανιὴλ, κρίσις θεοῦ, ἑρμηνεύεται δὲ ὁ δαμκρίσις. ¶ Δανίειν. κακουργεῖν, οἱ δὲ, δανείζειν. ¶ Δανείζει, μεταδίδωσι τοῖς ἐνδεοῦσι κιχρᾷ. ¶ Δάνειον, ὄφλημα, χρέος, δῶρον.

Δ άνον, ξηρόν. ¶ Δάντα, ζυγά. ¶ Δάννυντο, δυσχοῦντο. ¶ Δανῶν, κακοποιῶν, κτείνων μακεδόνες

Δ άξα, θάλασσα, ἠπειρῶται. ¶ Δαεῖ νόσῳ, ἐπιλυρατεῖ νόσῳ. ¶ Δάον, πολυχρόνιον. ¶ Δάοχες, μοιχός. ¶ Δάος, φῶς, λαμπὰς πῦρ φλὸξ φέγγος αὐγή, καὶ ὑπὸ φρυγῶν λύκος. ¶ Δάος, ἀγγάρειος δοῦλος ὀνομάζεται καὶ ἐλεύθερος ἢ εἰς κωμῳδίαν εἰσαγόμενος. ¶ Δάρπακες, θαυμαλῶπες. ¶ Δαπανά, ἀναλωτικὰ ἢ τὰ δαπανώμενα. ¶ Δαπάνη. βοφή. ¶ Δαπέδοις, οἴκοις ἐρειπίοις. ¶ Δάπεδον, ἔδαφος, γῆ. ἐριματόψοχος, ὁ οἶκος ἐρείπιος.

Δ άπις, τάπης. ¶ Δάπτειν, ἐσθίειν. ¶ Δάπιδες, ποικίλα ὑφάσματα, τάπητες. ¶ Δάπτος, δεινός.

Δ άπτουσιν, ἐσθίουσιν. ¶ Δάπτομαι, διασπαράσσομαι, κατεσθίομαι, ξύχομαι. ¶ Δάπτων, κατεσθίων.

Δ' ἄρ, δή. ¶ Δ' ἄρα. ὡς δὲ εὐριπίδης ἐνοῖ.

Δ αρδανίη, χώρα. ¶ Δάραι, θυμῷ. ¶ Δάρδα, μέλισσα. ¶ Δάρδανος, ἀνὴρ ὁ πατὴρ τοῦ δαρδάνου.

Δ αρδάνει, μολύνει. ¶ Δαρδάνιαι, πύλαι αἱ τῆς ἰλίου ἔτι ἀπὸ δαρδάνου κληθεῖσαι, διότι ὑπὸ τὸν δαρδανίαν χώραν ἔφερον, τὰς δὲ αὐτὰς καὶ σκαιὰς ὅμηρος καλεῖ. ¶ Δαρδάπτειν, λαύρως ἐσθίειν, σπαράσσειν.

Δ αρδάπτουσιν. ἐσθίουσι, σπαράττουσι, μετὰ ταραγμοῦ κατεσθίουσιν. κυρίως μὲν ἐπὶ θηρίου. λέγει δὲ ὅμηρος καὶ ἐπ' ἄλλων, χρήματα δαρδάπτουσι, διασπῶντες ἀναλίσκουσι. ¶ Δαρδῶσαι, ῥῖψαι, σπαράξαι. ταράξαι. ¶ Δαρεῖος, ὑπὸ περσῶν ὁ φρόνιμος, ὑπὸ δὲ φρυγῶν ἕκτωρ. καὶ ἀστραγάλων δέ τινων βόλος οὕτως καλεῖται. ¶ Δαρεικοί, οἱ χρύσοι στατῆρες, ἐκλήθησαν δὲ ὥς τινές φασιν ἀπὸ δαρείου τοῦ τῶν περσῶν βασιλέως. ¶ Δάρεις, τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρὸν διάστημα.

Δ άριν, σπιθαμὴν ἀρκάδες. ¶ Δάρμες, δέσμαι.

Δ ἀρόν, μακρὸν χρόνον ἢ ἐπιπολύ. καὶ ἑορτή τις ἄρτον τινὲς τὸν ἄζυμον. ¶ Δάροσες, τὸ βουτύπιον

Δ ἄρπη, σαργάνη κόφινος. ¶ Δάρρων μακεδόνιος δαίμων ᾧ ὑπὲρ τῶν νοσούντων εὔχονται. ¶ Δάρτινον, πέπλον λινόν. ¶ Δάρυλλος, ἡ δρῦς ὑπὸ μακεδόνων. ¶ Δαρχμάς, δραχμάς. ¶ Δᾶς, ἐπὶ τοῦ πολλοῦ καὶ μεγάλου, ἢ λαμπάδας ἢ λαμπράς.

Δ άσασθαι, ἐμερίσαντο. ¶ Δάσασθαι, μερίσασθαι.

Δ ασάμενοι, μισθωσάμενοι. ¶ Δασάσκετο, ἐμερίζετο.

Δ ασέως, πυκνῶς. ¶ Δασθῆναι, διαιρεθῆναι, μερισθῆναι. ¶ Δασκάζει, ὑποφεύγει. ¶ Δάσκιον, μεγάλως σκιάζον διὰ τὸ σύνδενδρον καὶ δασύ.

Δ ασκὸν, δασύ. ¶ Δάσματα. διαμερίσματα.

Δ άσμευσις, διαίρεσις. ¶ Δασμολογεῖ, ἐπιμερίζει.

Δ ασμολόγοι, φορολόγοι, μερισταί. ¶ Δασμολογοῦσι, φορολογοῦσι. ¶ Δασμόν, μερισμόν, τέλος.

Δ ασμός, φόρος, μερισμός. ¶ Δασμοὺς, μερισμοὺς, φόρους. ¶ Δάσονται, βρόσονται, μερισοῦνται.

Δ ασοφόροι, μερισταί. ¶ Δάσος, σύνδενδρος τόπος, ὑλώδης, δασύτης. ¶ Δασπέταλον, πολύφυλλον.

Δ ασπλῆτις, μεγάλων κακῶν αἰτία πιμπλαμένη, πολλοῖς πλησιάζουσα. οἱ δὲ ἄπληστος τιμωρητική ἢ χαλεπὴ ὑπὸ τῆς ἐριννύος. ¶ Δάσπλητα, πολυμογῆ καὶ φοβηρόν. ¶ Δασπλῆτις, δυσχερὴς τοῖς προσπελάζουσι, δυσπροσπέλαστος, πολλοὺς μισοῦσα ἢ μετιοῦσα, φοβηρά, θρασεῖα. ¶ Δάσσα, λάγανα. ¶ Δασσάσκετο, διενείματο, ἔζωσεν, ἔφασε. ¶ Δασύ, δασχύ. πυκνὸν συνεχές. ¶ Δασύ, πλάγωγες. ¶ Δασύπους, λαγωός.

Δ ασεῖται, νέμεται, διαιρήσει. ¶ Δατεῖσθαι, μερίζεσθαι.

Δ αίδαλα, κατασκευάσματα ποικίλα. ¶ Δαημόν, ἔμπειρον. ¶ Δαΐα, μεγάλη ἄπειρος σημαίνει φοβερά. ¶ Δαΐαν, τὴν ἀρουμένην, σεμνήν. ¶ Δαιάζω, αἰαβοῶ, στενάζω. ¶ Δαιδαλέην, ποικίλην.

Δ αιδάλεια, ἀριστοφάνης τὸν ἀπὸ δαιδάλου κατασκευασθέντα ἀνδριάντα ὡς διὰ τὸ ἀποδιδράσκειν δεδεμένον. ¶ Δαιδαλέοισιν, πεποικιλμένοις. ¶ Δαιδάλεον, ποικίλον, εὐφυές. ¶ Δαιδάλλων, ποικίλλων. ¶ Δαὶ δαί. τί δέ. ¶ Δαΐδες, λαμπάδες λύχνοι. ¶ Δαΐδων, λαμπάδων. ¶ Δαίδαλον, ποίημα καὶ τὸ κοσμούμενον, ὑποπλάταιον ξύλον.

Δ αιδύσσουσι, βασανίζουσι. ¶ Δαιδύσσεσθαι, ἕλκεσθαι.

Δ αιδῶχος, λυχνία. ¶ Δαῖε, διεμέριζεν, ἔκαιεν.

Δ αίειν, καίειν. φλέγειν. ¶ Δαιεμῶν, δαιμόνων.

Δ αίεοι, διαμερίζοι. ¶ Δαίεται, διαμερίζεται καίεται, αἰσχύνεται, δικάζεται. ¶ Δαιέλιξ, ἡ ῥὶς τοῖς πυρακτωμένοις ξύλοις κατὰ τὸ ἀρχαῖον μετὰ προσβολῆς πυρσῶν παρὰ ἀργείοις. ¶ Δαιζόμενος, κατακοπτόμενος, κατακαιόμενος. ¶ Δαΐζων, κατακόπτων. ¶ Δαιμὸς, διαίρεσις, μερισμός. ¶ Δαῖσαι, διδάξαι. ¶ Δαῖμα, στιθαμὴν, καὶ τὸ ἔγκοιλον τοῦ χοινίου, σήμονα δὲ ταραντῖνοι. ¶ Δαιμονᾶ, ὑπὸ δαίμονος κατέχεται. ¶ Δαιμοὶ, οἱ καταδικασθέντες τὰς οὐσίας εἰς βασιλέως. ¶ Δαιμόνιον, θεῖον μόρσιμον. ¶ Δαίμονες, οἱ θεοὶ, δαήμονές τινες ὄντες, οἷον ἔμπειροι, ἢ ὅτι πάντα μερίζουσιν ἀπὸ τοῦ δαίεσθαι. ¶ Δαιμόνιε, μακάριε, κακόδαιμον.

Δ αιμονίζειν, τὸν δαίμονα ἡγεῖσθαι ἢ ἀποθεοῦσθαι.

Δ αιμονίην, ἄκραν, θειοτάτην. ¶ Δαιμονίη, μακαρία.

Δ αιμοντιᾶ, δαιμονίζει κρυπτόν. ¶ Δαίμων, δαήμων θερμόφρων ἢ θεός. ¶ Δαιμοσία, ἡ τῶν ἀρίστων ἐπιβολή. ¶ Δαίνυ, ἑστίαν, εὐωχίαν παρασκεύαζε.

Δ αί. μάχη ὡς γραῦς γραῖ καὶ δᾷς δαΐ. ¶ Δαΐην, μάχην, νίκην, λαμπάδα. ¶ Δαϊνόν, πυκνόν. καύσιμον. ¶ Δαίνυντο, εὐωχοῦντο. ¶ Δαίνυσθαι, εὐωχεῖσθαι, τρέφεσθαι. ¶ Δαιομένων. μεριζομένων.

Δ αϊζόμενος, μεριζόμενος, τὴν γνώμην διαιρούμενος.

Δ αΐξας, κατακόψας. ¶ Δάϊξε, κατέκοψε.

Δ αΐζομαι, διελεύσομαι. ¶ Δάϊον, τέρας, τὸ πολεμικὸν σημεῖον. ¶ Δαιόμενον, καιόμενον, μεριζόμενον. ¶ Δαίμονα δώσω, λείπει κακὸν ἵνα κακὸν δαίμονα δώσω. ¶ Δαϊκταμένων ἐν πολέμῳ ἀναιρεθέντων. ¶ Δαΐζει, διασπᾷ, τέμνει, σχίζει, θλίβει, πορθεῖ, σκυλεύει. ¶ Δαίελε μῦθον, δίελε σαφήνισον.

Δ αίνυνται, ἑστιῶνται, θερμαίνονται. ¶ Δάϊον, ἰσχυρὸν, ἀπεθόν. ¶ Δαῖρα, ἡ αὐτὴ τῇ δαείρᾳ. ¶ Δαῖραι, θᾶσσοι. ¶ Δαὶ, σύνδεσμος ἴσος δὲ συμπλεκτικῷ παρὰ τῷ ποιητῇ. ¶ Δαὶς, πίκη λαμπὰς εὐωχία ἢ μάχη καὶ σώφρων. ¶ Δαὶς. σοφοκλῆς, ἦλθε δὲ δαὶς θάλεια πρεσβεύτη θεῶν, ἡ δ᾽ ἐράνων εὐωχία, ἔνιοι δὲ τὰς μερίδας τῷ πολέμῳ. ¶ Δαῖτα, εὐωχίαν. ¶ Δαίσιμον, ἐδώδιμον. ¶ Δαιταλεὺς, ὁ ἐσθίων τὰ δεῖπνα περιερχόμενος δαιτυμόνων. ¶ Δαιταί, λαμπάδες. ¶ Δαιτανὸς, δρομεὺς τις ὢν ἐσθίει βραδυτῆτι καὶ πενία κωμῳδούμενος. ¶ Δαίτης, μεριστής. ¶ Δαιτήρων, εὐωχίας. ¶ Δαῖτος, εὐωχία, εὐφρασία. ¶ Δαιτὸς ἐκτάζεσθον, ἐν εὐωχίᾳ τιμῆς ἀξιοῦσθε ἢ οἱ πρῶτοι καλεῖσθε. ¶ Δαιτροί. μερισταί. ¶ Δαιτὸς εἴσης, τῆς δὲ ἴσου μεριζομένης εὐωχίας ἤτοι τροφῆς. ¶ Δαιτρεύειν, διαιρεῖν, διανέμειν.

Δ αιτρὸν, μεμετρημένον πρὸς μέρος μὲν διαιρετὸν, μεριστόν. οἱ δὲ μάγειρον. ¶ Δαιτρὸς, μάγειρος διαιρῶν τὰ κρέα, ἢ ὁ ἐν τραπέζῃ κόπτων τὰ μέρη. δαὶς γὰρ ἡ εὐωχία. ¶ Δαιτροπόνος, σιτοπόνος, σιτοποιός.

Δ αιτυμόνες, σύνδειπνοι, ἀριστηταί. εὐωχούμενοι ἢ μάγειροι. ¶ Δαΐφρονος, συνετοῦ περὶ τὸν πόλεμον.

Δ αΐφρων, συνετός. πολεμικὸς, πολεμικὰ φρονῶν. δαὶς γὰρ μάχη εὐωχία. καὶ σώφρων. ¶ Δαίω, μάχω.

Δ αίων, καίων. ¶ Δαίω, καὶ ὑφάπτω. ¶ Δάκε, ἐλύπησε. ¶ Δακέθυμον, λυποῦντα τὴν ψυχήν.

Δ ακετὸν, θηρίον. ¶ Δάκη, θηρία, καὶ δάκος ἑρπετόν.

Δ άκια, τὰ ἄγρια ὀρνιθεία. ¶ Δάκνει, λυπεῖ.

Δ ακνίς, ὀρνέου εἶδος. ¶ Δακόασαι, πορθοῦσαι.

Δ ακρυόεντα, κλαίοντα. ¶ Δακρυόεσσαν, δακρύειν ποιοῦσαν. ¶ Δακρυοέσσης, δακρύων παραιτίου.

Δ ακρυπλώειν, πλημμυρεῖν τοῖς δάκρυσιν.

Δ ακρυρροῶν, δάκρυα ῥέων. ¶ Δακρυώτατον, ἀποχέστατον. ¶ Δακτύλιοι, οἱ περιειλημμένοι λίθοι δι᾽ ὧν τὰ ἀπόγεια σχοινία διαλάπτεται, ἃ τὰς θύρας τὸ ἐπίστερον. ¶ Δακτύλιος, ἀττικῶς δέστελον, καὶ τὸν μὲν ἁπλοῦν δακτυλίδιον ἐκάλουν, τὸν δὲ γλυφὴν ἔχοντα, σφραγίδιον. καὶ τοῦ ποδαλίου τὸ ἄκρον δάκτυλος. ¶ Δακτύλιος, φαρμακίτης, ὃν οἱ φαρμακοπῶλαι εἰώθασι πιπράσκειν ἀντὶ φαρμάκου.

Δ άκτυλος, οὕτω καλεῖται ῥυθμοῦ εἶδος καὶ κρούματος. χρῶνται δὲ αὐτῷ οἱ μάλιστα ἀθληταί.

Δ ακτυλόδεικτον, δακτυλωτὸν ἔκπωμα, ἔνιοι τὸ κρέας. ἄμεινον δὲ τὸ εὐσεβῶν λεγόμενον, ἢ διὰ τὸ ὦτα ἔχειν ἔξωθεν καὶ δύνασθαι τοῖς δακτύλοις κρατεῖσθαι. οἱ δὲ, ὅτι ἔξωθεν οἱ δάκτυλοι ἐνείροντο. ¶ Δάλα, ἄμπελος. ¶ Δάκος φρένα, λυπήσω τὴν διάνοιαν.

Δ αλάγχαν, θάλασσαν. ¶ Δάλαν, λύμην. ¶ Δάλεμον, κηδεμόνα. ¶ Δάλεστον, ὄνον κρῆτες.

Δ αλῆ, κακουργῆ. ¶ Δαλήσασθαι, λυμήνασθαι, ἀδικῆσαι. ¶ Δαλίδας, τὰς μεμνηστευμένας.

Δ άλιον, δαλόν. ἐν ταῖς ἱεροποιΐαις εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χερνίβα καὶ περιρραίνειν τὸν βωμόν.

Δ αλιοχεῖν τὸ παιδὶ συνεῖναι, ἀμπρακιῶται. τινὲς δὲ τὸ μοιχεύειν. ¶ Δαλιοχὸς, μοιχός. ¶ Δαλὶς, μωρός. ¶ Δάλλει, κακουργεῖ. ¶ Δαλλὼ, ἡ ἀπόπληκτος, οἱ δὲ τὴν ἔξωρον παρθένον ἢ γυναῖκα καὶ πρεσβυτέραν ὅταν συμπαίζῃ ταῖς παρθένοις ὑποβρύλιξ.

Δ αλὸν, ξύλον ἢ λαμπάδα ἢ ξύλον κεκαυμένον. ¶ Δάλιον. ἡμίφλεκτον. ¶ Δαλὸς, μελάνουρος ἰχθὺς ἢ λαμπὰς ἢ ξύλον κεκαυμένον τὸ διημμένον ξύλον, παρὰ τὸ δαίεσθαι ἤγουν καίεσθαι. ¶ Δαλμάναι, εἰκάσαι.

Δ αλοῦν, σύρμον. ¶ Δαλώ, ὑποβρύλιξ. νεώτερος.

Δ άλκιον, πινάκιον, οἷον γραμματίδιον. ¶ Δαμᾷ, δαμάζει. ¶ Δαμᾷ, δαμάζων, δαμάζει, ὑποτάσσει.

Δ αμαλις μόσχος καὶ κατὰ πᾶν τὸ νέον. ¶ Δαμάλην, τὸν ἐρῶντα ἤτοι τὸν δαμάζοντα, ἢ ἀγέρωχον. ¶ Δαμάλλοντες, διαλάπτοντες. ¶ Δάμαρ, γυνὴ ἔχουσα ἄνδρα.

ζον πλέθρου. ¶Γύης, τὸ κατώτατον μέρος τοῦ ἱστοβοέως ἐν τῷ ἀρότρῳ. ἀντίσχιον δὲ τὸ μὲν σύνθετον, ἀλλ᾽ ἐξ ἑνὸς ξύλου, δηλοῖ δὲ καὶ μέτρον τι. λέγουσι καὶ πεντηκοντόγυον καὶ αὐτὸν τὴν γῆν. ἔτι δὲ καὶ ὁ τῶν ἀστραγάλων σύνθεσις. ¶Γύης, διονύσιος αὐτὴν σύντις εἴρηκε. ¶Γυθίασιν, δορύατων. ¶Γυῖα, μέλη, χεῖρές τε καὶ πόδες καὶ τὰ λοιπά. ¶Γυιῶσαι, χωλῶσαι, ἐκλῦσαι, χωλοὺς ποιῆσαι, πηρῶσαι. ¶Γύιος, ὄρυξ, ὀργυιά, χωλὸς, ἀσθενής. ¶Γυιὸς, χωλὸς, νοσώδης, πηρώδης. ¶Γυλλίσκοι, ἰχθύες ποιοί. ¶Γύλλιος, ὁ ἡρακλῆς, καὶ ἀγγεῖον ὅ δὴ πλεκὸν εἰς ἀπόθεσιν τῶν ἀναγκαίων ᾧ ἐχρῶντο οἱ στρατιῶται. ¶Γύλλιον, ἀγγεῖον πλεκτόν. ¶Γυλλὰς εἶδος ποτηρίου παρὰ μακεδόνων. ¶Γύλλινα, ἐρείσματα γείσου.
Γυλλὸς, κύβος, ἢ τετράγωνος λίθος. ¶Γυλλοί, σταλμοί. ¶Γυμνάζεται, ἀσκεῖται. ¶Γυμνασία, ἄσκησις, μελέτη. ¶Γυμνασιάρχης, ἄρχων τοῦ ξυστοῦ, ἢ βόλου ὄνομα. ¶Γυμνάσιον, τόπος ἐν ᾧ ἀγωνίζονται.
Γυμνὴ, ἄνηβος. ¶Γυμνῆλοι, οἱ ἀκτήμονες καὶ πένητες.
Γυμνῆτες, οἱ μὴ ἔχοντες ὅπλα οἱ δὲ τοὺς σφενδονήτας, οἱ δὲ τοὺς γυμνοὺς μαχομένους. ¶Γυμνὸν, αὐτόθεν, ὁ ἀποσκυθισμένον ὡς ἀρχίλοχος. ¶Γυμνοπαιδία: ἔνιοι μὲν ἑορτὴν φασὶ σπαρτιατικὴν ἐν ᾗ τοὺς ἐφήβους κύκλῳ περιθεῖν δεῖν ἐν ἀμυκλαίῳ βωμὸν τύπτοντας ἀπόλλωνος τὰ νῶτα. ταῦτα δὲ ἐστι ψευδῆ, ἐν γὰρ ἀγορᾷ ἑορτάζουσι. πληγαὶ δὲ οὐ γίνονται, ἀλλὰ πρόσοδοι χορῶν γυμνῶν γινομένων. ¶Γυμνότεροι λεβηρίδος, ἀριστοφάνης φησὶ τυφλότερος λεβηρίδος. ἔστι δὲ λεβηρίς, τὸ τοῦ ὄφεως γῆρας διὰ τὸ λεπτὸν εἶναι, κενὸν δὲ τελέως ἐστὶ καὶ τυφλόν, τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν, τάττουσι δὲ τὴν λέξιν ἐπὶ τέττιγος, καὶ συνόλως ἐπὶ τῶν ἀπεκδυομένων τὸ γῆρας. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, καὶ οἱ μὲν τυφλότερος λεβηρίδος· οἱ δὲ κενώτερος, οἱ δὲ γυμνότερος. ¶Γυμνοφυλακεῖν, ἐπιτάττειν παροιμία ἐπὶ τῶν δεομένων προστάξεως διὰ τὸ ἀναγκαίως καὶ χωρὶς ἐπικελεύσεως δεῖν πράττειν, φερεκράτης τυραννίσι. ¶Γυναικεῖα, τὰ ἔμμηνα. καὶ οἱ γυναίκειοι ἵπποι. ¶Γυναικάσκον. παιδίσκιον.
Γυναικωνῖτις, οἶκος γυναικῶν. ¶Γύναιξ, γύναι.
Γύναιον, γυνή. ¶Γυναιμανὴς, γυναικομανής, ἐπὶ γυναιξὶ μεμηνώς, ὁ τὰς γυναῖκας ἐκμαίνων, ὁ ἐπὶ γυναιξὶ μαινόμενος, ὁ γυναῖκας εἰς μανίας ἄγων διὰ τὸ κάλλος. ¶Γυναιῶ γυναικείου. ¶Γυναίων ἕνεκα δώρων, διὰ γυναικῶν δωροδοκίαν. ¶Γυναῖκες, εἰλίποδες. διὰ τὴν δέσιν τῶν σκελῶν καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν. ἢ ἀνακρέων, πλέξαντες μηροῖσι περὶ μηρούς. ¶Γυνὴ, ἡλικία τὶς παρὰ πυθαγόρᾳ, ὁ ἀνθρώπου γύννις, δειλὸς, ἄνανδρος, γυναικώδης. ἀριστοφάνης γύννιδας μαλακούς. ¶Γυναικὸς ἄρ᾽ ἀντετέτυξο, ἀντὶ γυναικὸς ἄρα γεγένησαι. ¶Γῦπες, ὄρνεα σαρκοφάγα καὶ νεκροφάγα. ¶Γύπας, καλύβας καὶ θαλάμας, οἱ δὲ γυπῶν νεοττιάς. ἄλλοι ὁδὰς εἰς ὀδύς. οἱ δὲ τὰς κατὰ γῆν οἰκήσεις. οἱ δὲ σπήλαια καὶ ἐν πέτραις τὰ αὐτά. οἱ δὲ ἀζώστους ἀνασεσυρμένα.
Γύπη, κοίλωμα γῆς. θαλάμη, γωνία. ¶Γυπὴν μακρόν.

Γυπὸς σκιά, παροιμία ἐπὶ τῶν μηδὲν ἄξιον ἀπὸ φθόνου πραττόντων. ¶Γύρας, ὄρος ἐν τήνῳ. ¶Γύργαθον, σκεῦος πλεκτὸν ἐν ᾧ βάλλουσι τὸν ἄρτον οἱ ἀρτοκόποι.
Γυρῆσι πέτρῃσιν, οὕτω καλοῦνται γυραὶ ἐν τῷ ἰκαρίῳ πελάγει, πρὸς μυκόνῃ τῇ νήσῳ. ¶Γυρεία, πάλη καὶ στάλις. ¶Γυρίτας. αὐτοπύροις ἄρτοις.
Γυρὸν, κατακεκλιμένον, κυρτὸν, στρογγύλον κυκλοειδές.
Γύρινον, τὸ ἐκ τοῦ βατράχου παιδίον. ¶Γυρτὸν, σκυφόν. ¶Γύροι, βόθροι. ¶Γυρτεὺς, ἀνακρεωτέφονος. ¶Γυρτώνη. πόλις ἐν θεσσαλίᾳ.
Γυρῶσαι, πληρῶσαι.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ω.

Γῶ, ἑαυτῷ ἰδίῳ καὶ σῷ. ¶Γωγύνη, φάρυγξ. ¶Γωγγάμη, ἐν ᾧ οἱ ἁλιεῖς συνάγουσι τὰ ὄψα εἴρηται καὶ γαγγάμη. ¶Γωλιοί. σπήλαια, καὶ αἱ πρὸς θάλασσαν καταδύσεις. ¶Γωνιασμὸς, τρίχων συμβολή. ἐγγώνιος, οἱ δὲ γεωμετρικὸν θεώρημα, ἀριστοφάνης βατράχοις. ¶Γῶνορ· γωνία λακώνων. ¶Γωνοείσματα, γνοείσματα τοπεθώδια. ¶Γῶνος, γωνὸς εἶδος ἢ παιδιά τις παλαιστρική, οἱ δὲ κώπη. ¶Γώνυμος, φρόνυμος.
Γῶος, μνημεῖον. ¶Γώπας, κολοιοὺς μακεδόνες.
Γωροῦται. σαρκοῖ λάκωνες. ¶Γωρυτὸς, τοξοθήκη, θύλακος. οἱ δὲ, χωρυτός.

ΑΡΧΗ ΤΟΥ Δ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Α.

Δάναι, δέεσθαι ὅσον εἰς τὴν χρείαν τοῦ σώματος μετριαζόμενον καθαίρεσθαι. ¶Δαβεῖ, κάθηται λάκωνες. ¶Δάβελος, δαλὸς λάκωνες.
Δαβουλὴ, ἄρκτος χαλδαῖοι. ¶Δάγμενος, οἰκτρὸς πένης ἐλεεινός. ¶Δάγκολον, δρέπανον. ¶Δαγνόν, πυκνόν. ¶Δαγόμενον, ἐρρωμένον. ¶Δαΐδα, λαμπάδα. ¶Δᾶδας, λαμπάδας. ¶Δᾶδες, λαμπραί. ¶Δαδύνειν, ἀντέχειν, ἀτενίζειν, μεριμνᾶν, φροντίζειν. ἀθηναῖοι. ¶Δαδοῦνται, διαιροῦσιν, δαδουχοῦνται. ¶Δαδουχεῖ, λάμπει, φέγγει, φωτίζει, φαίνει.
Δαδουχίας, λαμπαδηφορίας, λυχναψίας, φωτισμούς.
Δαδοῦχος, λυχνάπτης, λαμπαδηφόρος. ¶Δαδουχοῦνται, φαίνονται. ¶Δαδουχῶν, διαλάμπων, φωτίζων. ¶Δαδύσσεσθαι, ἕλκεσθαι, σπαράσσεσθαι.
Δαεγώ. οἶδα. ἐπίσταμαι. ¶Δαεῖς, μαθών. ¶Δάειν, κακουργεῖν. ¶Δάειρα, δέδρα γὰρ ἐστὶν τοῦ αἰθέρος ἀδελφὸν, δηλοῖ καὶ δαήμων ἔμπειρος. ¶Δαῆται, χορτάσαι σιτίων. ¶Δαὴρ, ἀνδράδελφε. ¶Δαείων, μαθών. ¶Δᾶερ ἐμεῖο κυνός. τοῦ ἀνδρός μου ἀδελφὲ τοῦ ἀναιδοῦς. ¶Δάεινον, κλαύσιμον.
Δάελον, δάδηλον. ¶Δαερὸν, μέλαν καὶ τὸ καιόμενον. ¶Δαέρων, τοῦ ἀνδρὸς ἀδελφῶν. ¶Δάηλος, ἱερεὺς ἀρτέμιδος. ¶Δαόμεναι, ἔμπειροι γυναικῶν.
Δαήμων, ἔμπειρος, τεχνίτης. ¶Δαήμονος, ἐμπείρου τεχνίτου. ¶Δαήμων, εἰδήμων, ἐπιστήμων ἔμπειρος.
Δαῆναι, μαθεῖν. ¶Δαηρόν, θερμὸν, καματηρὸν, λαμπρὸν, προφανές. ¶Δάης, μάχης μεγάλης. ¶Δαῆται, καίεται. ¶Δάθεα, ἄρτοι φρεάτια παραντῖνοι

ρανῶ. ¶ Γουναζέσθαι, ἐλιπάνευον. ¶ Γουνέομαι, ἱκετεύομαι. ¶ Γουνούμενος, ἱκετεύων.
Γουνοῦσθαι, γωνιαῖος τόπος. ¶ Γουνῷ ἀλωῆς, ἐν τῷ γονιμωτέρῳ τῆς ἀλωνίας. ¶ Γουνώντων, γονάτων.
Γουνῷ, γονίμῳ τόπῳ. ¶ Γοῶσα, θρηνοῦσα.
Γοργώ. κατάπληξις, φόβος, πικρία, ἀυστηρία, καὶ γοργὼ δυϊκῶς.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ρ.

Γρὰ, φάγε κύπριοι. ¶ Γραφὰρ, σκαφίον, βόθρον. ¶ Γραῖα, πόλις γῆ καὶ δημήτηρ. ¶ Γραῦ ἀν καρδοπόν. ¶ Γραβία, ὀγκατία πανόγμεις ταραντῖνοι. ¶ Γραικιστὶ, ἑλληνιστί.
Γραικὸς, ἕλλην. ¶ Γραίνειν, ἐσθίειν. ¶ Γραικωπίας, γραῦς ἔμφοβος. ¶ Γραιολέας, πονηρᾶς ἢ ὀλεθρίας, γραίας. ¶ Γράμματα, τὰ γεγραμμένα καὶ συλλαβαὶ, καὶ τὰ ζωγραφήματα, καὶ τὰ ἐν ταῖς δικαστικαῖς ψήφοις καὶ ἀπογραφαί.
Γραμμὴ, ἐν τῇ ὀρχήστρᾳ ἵστατο ὡς τὸν χορὸν ἐν στοίχῳ ἵστασθαι. ¶ Γραμματητὰ, γραμματεῖα.
Γραμματίας, πολλὰ πασμένοις. ¶ Γραμματεύειν, γράφειν, ἀναγινώσκειν. ¶ Γραμματεὺς, ὁ ἀναγνώστης, γράμματα εἰδὼς καλῶς. ¶ Γραμματίδιον, ὅτε μὲν τὸ πινακίδιον, ὅτε ὅμοιον γλωσσοκόμῳ, λέγεται δὲ καὶ ἐπιστόλιον. ¶ Γραμματιστὴς, γραμματοδιδάσκαλος. ¶ Γραμμὴ, ἡ ἀρχὴ τοῦ δρόμου, ὃς ἐπέβαινον οἱ δρομεῖς. ¶ Γραμμὴ μακρὰ, εἰώθει ὁ διδάσκαλος καταδικάζων ἐν τῷ γραμματιδίῳ μακρὰν γραμμὴν ἕλκειν, ὁ δὲ ἀπολύων μικράν. ¶ Γραμμάτια, δραπέτα. ¶ Γραμματικὸς, πεπαιδευμένος καὶ παιδευόμενος. ¶ Γρανθίωνα, γέροντα.
Γράμμα δήμιον, ἡ διαθήκη. ¶ Γραὸς, γραῦς, γυνὴ γεράσασα. ¶ Γραῖαν, γῆρας τέττιγος ἢ ὄφεως καὶ τῶν ἐκδυομένων. καὶ εἶδος ὀρνέου, καὶ ῥυσὸν, ἀπὸ τοῦ γραμμὰς ἔχειν τὰς ῥυτίδας, ὅθεν καὶ ὁ γραῦς ἐτυμολογεῖται παρὰ τὸ εἰς γῆν ῥέειν. ¶ Γραπῖνις, οἶνος τραχύς. ¶ Γραπτύς. τὰς ἀμυχὰς καὶ καταξύσεις τῶν ἀκανθῶν. ¶ Γράσος, δυσοσμία.
Γράστιν, μωρὲ ἀνούστατε. ¶ Γραύκαλος ὄρνις τεφρός. ¶ Γραῦς, τὸ συναπτόμενον καὶ ἐπιπηγνύμενον ἐπάνω, ὅταν γάλα ἑψῆται, ἤ τι τοιοῦτον ὑγρόν, καὶ ὁ ἐν τοῖς χείλεσι τῶν ποταμῶν γραμμὴ, καὶ βόλος τις ἀστραγάλων. ¶ Γραῦς ξεῖφος, ἀπολλόδωρος φησὶ, ὅτι ἐστὶ τίς παροιμιώδης λεγομένη ξιφία γραῦς, ἔστιν δὲ αὐτὸ μόνον γραῦν ξεῖφον τὴν ἐν παροινίᾳ καταγηρακυῖαν, οἱ δὲ, ἀπὸ τῆς ἀκείδος, τὸν τῶν ἀρουραίαν ἀκείδα ὑπό τινων * μάτην λέγομεν.
Γράφεται, ἀντιγράφει ἢ κατηγορεῖ. ¶ Γραφεὺς, ζωγράφος. ¶ Γραφὴ, κατηγορία. ¶ Γραφὴ, ἡ δημοσία δίκη, ὡς ὅταν ἢ ψηφίσματος ἢ νόμου τὶς κατηγορῇ. καὶ ἡ ἰδία δίκης κλῆσις καὶ ὁ παράγραφος γραφὴ καὶ ἐπίκλημα, κατηγορία καὶ ἔγκλημα.
Γράψαι, ξῦσαι, χαράξαι, ἀμύξαι. ¶ Γρηικάμινοι, ἐπεὶ εὔλαλοι αἱ γραῖες διὰ τὸ παντοδαποῖς ἀνδράσιν ὁμιλεῖν. ¶ Γρηΐον, παλαιόν. ¶ Γρήνη, ἄνθη σύμμικτα. ¶ Γρήνικος, ποταμός. ¶ Γρηϋτὶς;

βυρσεύς. ¶ Γρεῖνος, δέρμα. ¶ Γριπίζει, ἁλιεύει.
Γριπεὺς, ὁ ῥάπτων τὰ ἁλιευτικὰ λίνα καὶ ὁ ἁλιεύων.
Γριπωμένα, συνελκόμενα, καὶ στενοπολῶς συμπαθοῦντα. οἱ δὲ ἐγγίζοντα. ¶ Γρισῶν, ὗς, ἀριστοφάνης δὲ ὄνομα δρομέως νενικηκότος ἐν ὀλυμπίᾳ στάδιον.
Γριφᾶσθαι, γράφειν, οἱ δὲ ξύειν, καὶ ἀμύσσειν λάκωνες.
Γριφεύειν, αἰνίττεσθαι. ¶ Γρίφοι, τὰ ἐν τοῖς πότοις βαλλόμενα ζητήματα. ¶ Γριφοειδὲς, δυσάρεστον.
Γρῖφος, τὸ δίκτυον, καὶ συμποτικὸν ζήτησις αἴνιγμα τώδης, καὶ πρόστιμον τῷ μὴ λύσαντι. τὸν γρῖφον ἐκπιεῖν τὸ συγκείμενον ἤτοι ἄκρατον ἢ ὕδωρ, τουτέστι κάδον ὕδατος. ¶ Γρίφοις, ζητήματος.
Γριφόμενα, γραφόμενα ἢ ἐπιποικιλλούμενα.
Γρομφὰς, ὗς, παλαιὰ, σκρόφα, ὁμοίως καὶ ἡ γρομφίς.
Γρόνθων, ἀναφύσησις ἣν πρώτην μανθάνουσιν αὐληταὶ καὶ κιθαρισταί. ¶ Γρονθονεύεται, θυμοῦται.
Γρόσιμον, τέραξον. ¶ Γροῦμος. στρόβιλος.
Γρουσεύεται, μηκύνεται, ἤτοι ἐκτείνεται. ¶ Γραμφεῖς, οἱ ζωγράφοι. ¶ Γρῦ, ὁ ὑπὸ τῷ ὄνυχι ῥύπος. ἤδη δὲ καὶ τὸ ἐλάχιστον, καὶ ἡ γρυτὴ, καὶ τὸ βραχύ.
Γρυβὸς, γρύξ. ¶ Γρύζειν, φθέγγεσθαι, λέγειν.
Γρύλιον, ῥωσμὴν δρυός. ¶ Γρυλλίων, ὁ χοῖρος.
Γρυλλίζοντα, γρύζοντα. ¶ Γρυλλάζειν, γογγύζειν.
Γρυλλὴ, ὑῶν φωνή. ¶ Γρύλλος, χοῖρος.
Γρύμνη, ἄνηκος. ¶ Γρυμναῖα, ἐσθὴς καὶ ἀγγεῖον σκευοθήκη ἐμφερὴς ὁ γρύτη. ἤδη δὲ καὶ τὰ λεπτὰ σκευάρια ἃ καὶ γρύτην λέγομεν. ¶ Γρυμπάνειν, γρυποῦσθαι, συγκάμπτειν. ¶ Γρῦνος, ὁ γρύψ. ¶ Γρύξ, ὁ τόπος τοῦ ὄνυχος. ¶ Γρύψαι, ἠρέμα κράξαι, ἢ ἠρέμα φθέγξασθαι, ὑλακτῆσαι. ¶ Γρυπαὶ, αἱ νεοσσιαὶ τῶν γυπῶν οἱ δὲ γυπαί. ¶ Γρυπάλιον, γερόντιον ἢ γρυπάνιον.
Γρύπος, μέρος τῶν τῆς νεὼς σκευῶν καὶ ἄγκυραι καὶ εἶδος ζώου τετραπόδου ὃ καλοῦσι γύπην * ἐμέσην.
Γρυπὸν, στενόν. κατηφές. ¶ Γρυπὲς, τὰ ἔξω τοῦ στόματος καμπύλα ὄρνις ὁ ἐπικαμπῆ τὴν ῥῖνα ἔχων.
Γρυπὴν, γρύψ, κατηφῆ, στενόν. ¶ Γρύπτειν, γρυποῦσθαι, συγκάπτεσθαι. ¶ Γρῦτη. σκεύη.
Γρυτεύεται, παρασκευάζεται. ¶ Γρωθώνη, σκεπρὰ γραῦς. οἱ δὲ τὴν παλαιὰν ὄνον. ¶ Γρωθύλοι, γωλιοί. σπήλαια. ¶ Γρωνάδες, θήλειαι σύες.
Γρώνους, τοὺς ἀκούοντας καὶ τὸ μὴ λαλοῦντας. ἢ παλαιὸν ἀγγεῖον σκόπινον καὶ τὸ κενὸν τοῦ δίφρου οὗ λόγχαι κεῖνται. ἄλλοι δὲ τὴν ὀπὴν τῆς τάξας δι' ἧς τὰ χοινία πρὸς τὴν τῶν νεῶν στάσιν ἀσφαλίζονται.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Υ.

Γύαι, ὁδοί. πλέθρα. ¶ Γύαια, ἀπόγαια χοινία τὰ πρυμνήσια περίγυα, ποτήρια, πλυνοί. ¶ Γύαλα, θησαυροί. ταμεῖα. κοιλία. ¶ Γυαλὸν κοῖλον, ἄλλοι περίβολον. ἄλλοι τὸ κύτος τοῦ θώρακος, τιθέασι δὲ καὶ ἐπὶ τοῦ κοιλώματος, καὶ δηλοῦται διὰ περιφράσεως ὁ πᾶς θώραξ. ¶ Γυβαὶ, κόλυμβαι. ¶ Γυγᾶ, ἀθηνᾶ ἐγχώριος. ¶ Γυγαὶ, πάπποι. ¶ Γύας, γῆς. ¶ Γυγαίη, λίμνη ἐν λυδίᾳ.
Γυγαίονυξ, ἡ σκοτεινὴ γῆ. ¶ Γυλὸς, μέρος.
Γυέλιον, κόλπον. ¶ Γυήτης, χωλός. ¶ Γυημέ-

μάτι γυμνάσθαι. ¶Γνώποντι, ἀθηνοῦντι.
Γ νωσῶνες, ξυνοί. κατηφεῖς, ἄτολμοι, περιμένοι. ἢ
μαλακοὶ ὑπὸ τοῦ εἰς γόνυ πεπτωκέναι. ¶Γνωφαι, νά
παι. ¶Γνώριμοι, μαθηταί. ¶Γνωρίμῳ, γινω
σκομένῳ δωρικῶς. ¶Γνώριμος, οἰκεῖος, γινωσκό
μενος. ¶Γνωρίσματα, τὰ συνεκτιθέμενα τοῖς
παισὶν ἔξω τῶν περιῤῥαίων. ¶Γνωρίσαι. φανε
ροποιῆσαι. ¶Γνῶθι σαυτὸν, ἀπόφθεγμα χίλωνος
φασί. ¶Γνῶμα τὸν βαλλόμενον ὀδόντα δι' οὗ τὰς
ἡλικίας ἐγνώριζον τῶν τετραπόδων. καὶ ὁ κατὰ ὑπερτυ
χὼς ὑπὸ λιπογνώμων. λέγεται δὲ καὶ γνῶσις.
Γ νῶμαι, τὰ ψηφίσματα. ¶Γνώμη, διάθεσις ποιά
τις καὶ γνώμη καὶ ἐπιστήμη. ¶Γνωμοτυπία, γνω
μολογία ἀκριβὴς, ἀπὸ τοῦ γνώμη, λέγεται καὶ τὰ ἐν τοῖς
ἡλιοτροπίοις κέντρα καὶ τὸ περὶ τοῖς τακτικοῖς.
Γ νώμων, συνετὸς σοφοκλῆς. ¶Γνῶναι, κρῖναι, καὶ
τὸ συνουσιάσαι. ¶Γνωσιμαχῆσαι, τινὲς μὲν τὸ γνῶ
ναι τὴν ἑαυτοῦ ἀσθένειαν, τήν τε τῶν ἐναντίων ἰσχύν.
ἄλλοι τὸ γνόντα ὅτι πρὸς κρείττονα ἔχει αὐτῷ μάχην
ἡσυχάσαι ἢ μετανοῆσαι. ¶Γνῶσις, σύνεσις, εἴδησις.
νόησις. ¶Γνωτὴ, ἀδελφὴ ἡ ἐρωμένη.
Γ νωτοὶ, ἀδελφοὶ, γνωστοί.
Γ νωτὸν, ἐπίγνωστον, ποτὲ δὲ ἀδελφόν.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ο.

ἴνατα, τὸ ὄρειον φοίνικες. ¶Γοβρεῖαι φανοὶ
γ λαμπτῆρες. ¶Γόγγρος, ἰχθύος εἶδος. καὶ ἡ
γρογγώδης ἐπὶ ἐλαίας ἔκφυσις τὸ κάτω πολλὲ
χοις. ¶Γογγύζειν, τὸ θορυβεῖν τὸ τὰς ὗς φωνεῖν,
ὅπερ ἔνιοι γογγυλίζειν, τὸ αὐτὸ καὶ γρυλίζειν λέγεται.
Γ ογγρῦσαι, ὡς χοῖρος φωνῆσαι. ¶Γογγρώνη, ἀπόστημα
ἐν φάρυγγι. ¶Γογγύζειν, φθέγγεσθαι τὸ θορυβεῖν.
Γ ογγύλον, στρογγύλον. σκληρόν. ¶Γογγυλεῖν, συστρέφειν.
Γ ογγυλόσκηνος, στρογγύλον ἔχων τὸν οἶκον ἢ τὸ σῶμα.
Γ ογγυλεύματα. στρογγυλεύματα.
Γ ογγυλωτὰ, στρογγύλα, εὔτονα, γυρά.
Γ όγγων, μωρός. ¶Γόδα, ἔντερα μακεδόνες.
Γ οδᾶν, κλαίειν κύπριοι. ¶Γοίλαρος, θύρα.
Γ οδὸν, γόητα. ¶Γοδρεῖς, θρηνώδεσι, πενθικαῖς.
Γ όης, μάγος κόλαξ πειρᾶς. ¶Γοητεύει, ἀπα
τᾷ, μαγεύει, πείθει, φαρμακεύει, ἐξαιδεῖ.
Γ οηΐνδης, ᾠδὸς ἀπατεών. ¶Γοητικὸν, ἀπατηλὸν
μαγικὸν τὸ δι' ἐπαοιδῶν ἐσκευασμένον. ¶Γοιαυ
τὸς, φάρυξ. ¶Γοῖδα, οὐκ οἶδα. ¶Γοιδνὲς, ῥυτῆ
ρες. ¶Γοίδημι, ἐπίσταμαι. ¶Γοιδῦλης ὁ λαλι
ὰς. οἱ δὲ γοδῦλος. ¶Γοίνακες, βλαστοί. ¶Γοῖνος,
οἶνος. ¶Γοινοχοῦτις, οἰνοχόη. ¶Γοινεὲς, κόρακες.
Γ οῖσος, μέλαν, πλατύ. ¶Γοῖτα, ὄις. ¶Γοιταί. κει
σαὶ γυναῖς. ¶Γοῖρος, ῥύπος, πάθος. ¶Γοιτόσυρον, τὸν
ἀπόλλωνα σκύθαι. ¶Γολοινά, χλωρὰ ἢ γλαυκά.
Γ ολομένη, βοτάνη. ¶Γολύειον. κέλυφος οἰκεῖον τα
ραντίνοις. ¶Γολμοὶ, στολμοί. ¶Γόλμις, ψὰς
τὸ ὄρνεον. ¶Γόλαμος, διωγμός.
Γ όλενα, ἀγκύλη αὐτὴ λαβεύς. ¶Γόλησις, κακοδαι
μονία. ¶Γόλλακα, λάκκον. ¶Γόμος, ζωμός.
Γ όμινη, ὀρίγανον. ¶Γομφία, ἡ γυνὴ γομφοτήσια ξύ
λα εἰς γόμφους. ¶Γομφιασμὸν, συνθλασμὸν ἢ
συντετριμμένον, ἢ μωλασμὸν ὀδόντων. ¶Γόμφοι. μῆ
λοι, σφῆνες, δεσμά. ἄρθρα, σύνδεσμοι, καὶ ὀδόντες
γόμφιοι. ¶Γόμφοις, ταῖς τῶν ξύλων ἁρμονίαις.
Γ όμφιοι, ὀδόντας ἐπὶ τοῖς συνδέσμοις τῶν ξύλων ἢ μυε
λούς. ¶Γομφωτήρια, ἧλοι. ¶Γόμπερα, μέζον
στάσις. ¶Γόμφος, σφήνωμα. ¶Γομφοπα
γῆ, συνηρμοσμένα. ¶Γομφῶσαι, συμπῆξαι.
Γ ονάδες, μητέρες. ¶Γονᾷ, κύει, γεννᾷ, φύει, καὶ γυ
ναικεῖον αἰδοῖον. ¶Γόναρ, μητέρα λάκωνες.
Γ ονάς, τέκνα. ¶Γονοῤῥυὴς, οὗ ἡ γονὴ φέρεται ἀκουσί
ως. ¶Γονοῤῥύα, πάθος περὶ τὴν γονήν. ¶Γόνος,
υἱὸς, γέννημα. φυλὴ, καὶ ὁ ἀπὸ γένος παρ' ὁμήρῳ.
Γ όνοις, τέκνοις. ¶Γόνυ κάμψαι, ἀναπαύεσθαι.
Γ ονὴν, γένεσιν, μητέρα καὶ τὸ σπέρμα. ¶Γονὴς, νάρ
κισσος τὸ φυτόν. ¶Γονίμη, ἡμέρα ἡ περὶ οὗ καὶ μό
ἄρτιος. ¶Γόνιμος, γνήσιος υἱὸς γενικῶς ὁ οὐκ εἰσ
ποιητός. ¶Γόνιμον, εὔκαρπον. ¶Γονίας, εὐχε
ρὴς αἰσχύλος ἀγαμέμνονι. ¶Γονοειδὴς, γόνω εἰκώς.
Γ ονόεσσα, πόλις. ¶Γονιασμῶν, γονοτύλη τὸ τετυλω
μένον ἐπὶ γόνατι, τύλας δὲ λέγουσιν ἃ ἡμεῖς τυλώ
ματα. ¶Γονυκαμπία, σάμψυχος.
Γ ονύκροτοι, ἤτοι βλαισοὶ ὧν τὰ γόνατα συγκρούει
δηλοῖ, ὑπὸ γὰρ δειλίας ἔσθ' ὅτε συγκρούουσι τὰ γόνατα.
Γ ονυπετεῖ, παρακαλεῖ, δέεται. ἱκετεύει. ¶Γονόεσσα,
πόλις πελοποννήσου. ¶Γονύαγρον, τὰ ἄκαρπα καὶ
ξηρὰ πεδία. ἢ ὁ μεταφορὰ ἀπὸ τῶν γερόντων, μηκέτι
σθένει δυναμένων τοῖς γόνασι. ¶Γόνον, μέρον.
Γ οόωσι, θρήνουσι. ¶Γόοιο, θρήνου. ¶Γόον, θρῆνον.
Γ όος, θρῆνος, ὁ θρηνητικός. ¶Γοόωσα, θρηνοῦσα.
Γ οργάδων, ἀλιάδων, δυσδέλφω σοφοκλῆς. ¶Γόργεια,
προσωπεῖα. ¶Γοργίδες, αἱ ὠκεανίδες.
Γ οργόνες, αἴγιδες. οἱ δὲ τὰ ὑπὸ τῶν αἰγίδων πρόσωπα.
Γ οργολόφας, ἀπὸ τοῦ λόφου ἐπὶ περικεφαλαίας. καὶ ἐπὶ
ἀσπίδος. ¶Γοργόνα, ὃν ἐπ' αὐτῆς εἶχεν ὁ λάμα
χος ἵνα τὸν λάμαχον εἴπῃ. ¶Γόργυσσον, τάχυ
νον, σπεῦσον. ¶Γοργὸς, εὐκίνητος, ταχύς. σκλη
ρός. λιπαρός. εὐτραφής. ¶Γοργῶπιν, φοβερόφθαλ
μον. ¶Γοργοπαίνεσθαι, φοβερὰν καὶ καθίσασθαι ὄ
ψιν. ¶Γοργῶπις, κρατῖνος ἐν πυλαίᾳ λίμνη
φασὶν ἐν κορίνθῳ, εἰληφέναι δὲ τοὔνομα διὰ τὸ γορ
γὼ ἐμπεσεῖν εἰς αὐτήν. ¶Γοργοπεῖν. πικρὸν τὴν
βλέψιν, ἀγορδαλίζειν, ἀδολεσχεῖν, αὐστηρόν.
Γ οργὼ, γοργόνες, πέπλασται δὲ ὥσπερ τοῖς ἄλλοις ποιη
ταῖς ὡς ζηλοχρύσω. τὰ δὲ περὶ τὴν δανάην καὶ τὸν
περσέα καὶ τὰς γοργόνας ὅμηρος οὐκ οἶδε.
Γ οργώψατο, πικρὸν ἔβλεψε. ¶Γοργείην, κεφαλὴν
οὐ τὴν γοργόνα ἐκάλεσεν, ἀλλὰ γοργοπρεπῆ τινα καὶ
φοβερόν, ἡσίοδος δὲ πλανηθεὶς ἀνέπλασεν ἐκ τούτων
τὰ περὶ τὸν περσέα ὅτι ἀπέτεμε τὴν κεφαλὴν γοργό
νης. ¶Γοργοτάτω, γοργότατοι δωρικῶς. ¶Γοργύ
ρα, ὑπόνομος δι' οὗ τὰ ὕδατα ὑπεξεῖ. ¶Γορά
πιες, ῥάφανοι. ¶Γορτύνα, πόλις. ¶Γόρτυξ.
ὄρτυξ. ¶Γόρυνος, μῦς βάτραχος. ¶Γοτάν, ὗν
μακεδόνες. ¶Γορός, κυρτός. ¶Γορυτὸς, θήκη
τόξου. ¶Γοῦν, γόνυ. ¶Γοράτου, ἱππικόν. οἱ δὲ

Γ λαφυρός, αἴθηρος, λαμπρός. τερπνός. κοῖλος. ἡδύς. βαθύς. ¶Γλάψαι, κοιλᾶναι, γλύψαι, ἐκξέψαι, σκαλεῦσαι, βαθῦναι. ¶Γλαυκίσας. ὑπὸ γλευκοις γενόμενος ἔκλυτος ἢ πεπληρωμένος ἀπὸ τῶν οἴνων. ¶Γλεῦκος, τὸ ἀπόσταγμα τῆς σταφυλῆς πρὶν πατηθῆ. ¶Γλεῦξις. οἶνος, ἕψημα. ¶Γλέβα, ἀξίωμα συγκλήτου. ¶Γλέφαρα, βλέφαρα, ὀφθαλμοί. ¶Γλένεα, οἱ δὲ ποικίλματα καὶ γλήνεον τὸ ποικίλον καὶ ζῴδια ἀπὲ λμάτα, ἔνιοι κλέεινα πλάσματα ἀξιοθέατα. ¶Γλῆνος, φάος. ¶Γλήνη, κόρη ὀφθαλμοῦ, καὶ παίγνιον. οἱ δὲ τὸ οὐδενὸς ἄξιον, καὶ τὴν πεπλασμένην κόρην, πρόσωπον, καὶ γλήνας τὰ κηρία τῶν μελισσῶν, ὄρη. ¶Γλωσσωτά, πονηρά. ¶Γληχονοειδές, δίκταμον. ¶Γλίον, εὔτονον. ἰσχυρόν. ¶Γλοῖα. κόλλα. ¶Γλοῖος, ῥύπος.

Γ λῖχραι, κνῆμαι. ¶Γλισχρόν, ἐνύλατον.

Γ λίσχρος, φειδωλὸς, σκνιφὸς, λίαν ῥυπαρὸς, ἐνύλαρος, κολλώδης. ¶Γλίσχροος. ὀλισθηρῶς.

Γ λίσσα. πόλις. ¶Γλιᾶται, παίζει, ἀπατᾷ.

Γ λιττὸν, γλοιόν. ¶Γλίχῃ. ἐπιθυμεῖς. ¶Γλίχεται, παίζει, ἐπιθυμεῖ, προθυμεῖται. ¶Γλιχόμενοι, ἐπιθυμοῦντες. ¶Γλιχόμενος, ἐπιθυμῶν.

Γ λιχύτης, ἀποχὴ, ἢ ἐπίπονος, ἢ ἐρωτική. ¶Γλιχὸς, φειδωλὸς καὶ γλίσχρος. οἱ δὲ πολυπράγμων, περίεργος. ¶Γλίδου χοάνου, εἰς ὃ οἱ τύποι κατέρχεται τὸ ἐν τῇ χώνῃ διὰ τῶν κεντημάτων. ὅσπερ δὲ πύλινοι. σοφοκλῆς. ¶Γλοιάς, ἡ κακοήθης ἵππος, καὶ πολυδίκη παρὰ σοφοκλεῖ. καὶ γλοίης τὸ αὐτό.

Γ λοιάζειν, τὸ καταφερόμενον εἰς ὕπνον καὶ ἐπιμύειν τοῖς ὄμμασι καὶ κατεικλωπεῖν. οἱ δὲ διεγγελᾶν.

Γ λοιητά, κακοήθη. ¶Γλοιὸς, νωθρὸς, ἀσθενὴς, ῥυπαρός. ¶Γλοιωδῶς, ναυστικτικῶς. ¶Γλούρεια, χρυσία, φρύγες γλουρὸς, χρυσός. ¶Γλουτοί, τὰ περὶ κοτύλης σφαιρώματα. ¶Γλουτὸν, τὸ περὶ τὰ ἰσχία.

Γ λουτὸς, σφαίρωμα. ¶Γλυκεῖα, ἡ γλυκύῤῥιζος.

Γ λυκίων, ὀδίων. , ¶Γλυκὴ, βοτάνη τὶς ἐδώδιμος.

Γ λυκίννας, διὰ γλυκέος οἴνου πλακοῦς.

Γ λυκερῶ σιδωνίω, δρᾶμα δι' ὅπερ ἐν ᾧ ἐπὶ θυμέλης ἄρχεται οὕτως, σιδώνιον πότ' ἄστυ κάδμος ἐκλιπὼν ἀγήνορος παῖς, δεδεβόηται δὲ τὸ μέρος αὐτοῦ.

Γ λύκιον, ἥδιον. ¶Γλυκὺ, ἡδύ.

Γ λύκκα, ἡ γλυκύτης. ¶Γλυκκὸν, γλυκύ. ¶Γλυκὺν, τὸ γάλα καὶ τὴν χολήν. ¶Γλυκύ, μελιχρόν.

Γ λυκυδερκὲς, ἡδὺ ἐν τῷ ὁρᾶσθαι. ¶Γλυκυθυμία. ἡδονή. ¶Γλυκύθυμος, αἱρεμενος. ἡδύς. ἁπλόψυχος. ἥπιος προσηνής. γλυκύς. ¶Γλυκυσίδη, φυτὸν ποιὸν συντιλοῦν πρὸς ἀπόστημά τε τῶν γυναικείων.

Γ λυκύφαιον, τὸ ἐρυθρόδανον κρῆτες. ¶Γλυκύφρουροι, τὰ ἐν οἴκῳ φρουροῦντες καὶ ἐνδημμέλιρος ὄντες.

Γ λύκων, ὁ θώθης. ¶Γλύξις, ὁ αἰρεμενος οἶνος καὶ ἄτονος, ὃν ἔνιοι μὲν ἁπλόστομον, οἱ δὲ γλεῦξιν.

Γ λυφεῖον, ἄνξον τι καὶ ὄρος. ¶Γλυφίδες, αἱ χεῖλαι τῆς βέλους ἀπὸ τοῦ γεγλύφθαι καὶ κεκοιλάνθαι, εἰς ἃς ἡ νευρὰ ἐντίθεται τοῦ τόξου. ἐνίοτε δὲ καὶ τὰς τῶν ἀκίδων γλωχῖνας λέγει ὅμηρος, καὶ αἱ θαλάμαι.

Γ λύψαι, ξύσαι, χαράξαι. ¶Γλωκὶς ἀγκὼν, παροιμία ἣν φησιν εἰρῆσθαι ἀπὸ τοῦ λεγομένου μακροῦ ἀγκῶνος ἐν τῷ νείλῳ κατ' ἀντίφρασιν, ἐστὶ γὰρ δυσκόμιστον διὰ τὸ ῥεῦμα καὶ ἀηδές, ὅθεν λέγεσθαι τὴν παροιμίαν ἐπὶ τῶν αἰσχρόν τι δοκιμαζόντων, ἐπαινούντων δὲ ὡς καλόν, ἢ τοὐναντίον σπουδαῖον μὲν ἡγουμένων, χλευαζόντων δὲ ὡς φαῦλον. κλέαρχος δέ φησι τοὺς αἰγυπτίους ὑβρίζειν εἰς τὰς τῶν κατα διατριβῶν γυναῖκας καὶ πέτηνοις, καὶ τὸ χωρίον ἐν ᾧ ταῦτα ἔδρων ὀνομάσαι γλυκὺν ἀγκῶνα. ¶Γλῶς, ὄνομα αἰγυπτίου τινός. ¶Γλωσσαλγία, φλυαρία.

Γ λῶσσαι, φωναὶ καὶ σημεῖα ἐπὶ τοῦ ὕδατος παρὰ τοῖς θύταις. ¶Γλώσσας, τὰς γλωσσίδας τῶν αὐλῶν καὶ τῶν ὑποδημάτων, καὶ τὰς λαλιάς.

Γ λωσσαργεῖν, στόμαργον, ταχύγλωσσον. ¶Γλωσσόκομον, θήκη. σορὸς ξυλίνη τῶν λειψάνων.

Γ λωσσοστροφεῖν, περιλαλεῖν καὶ στωμύλλεσθαι.

Γ λώνη, οὐδενὸς ἄξιον. ¶Γλωρεῖν, χρονίζειν.

Γ λωρὸν, νόμον. ¶Γλωττοκόμιον, ἐν ᾧ οἱ αὐληταὶ ἀπετίθεσαν τὰς γλωσσίδας, καὶ τὸ γυναικεῖον αἰδοῖον.

Γ λωττοποιὸς, ὁ τὰς αὐλητικὰς γλωσσίδας ποιῶν.

Γ λωχῖνα, τὴν γωνίαν τοῦ βέλους, καὶ τριγλώχινας οἰστούς. καὶ γλῶσσαν καὶ ἄκρον. κυρίως δὲ γλωχῖνες αἱ τῶν ἀκίδων ἐξοχαὶ καὶ αἱ τοῦ ζυγοῦ γωνίαι.

Γ λώσσας οὐκ ἐμπήξεται. οὐκ ἂν διαφράξοιτο, οὐκ ἂν γεύσοιτο. ¶Γλωσσαστίδες, ταῖς τῇ γλώσσῃ ὅπλῳ χρωμένοις ὥσπερ ἀσπίδι μεταφορικῶς.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ν.

Νάθμοι, γνάθοι, σιαγόνες. ¶Γναθμὸν, τμητικώτατον καὶ αἱρετικώτατον. ¶Γνάθοις, θηλείας ἢ γυναῖκας. ¶Γναθοῦν, τὸ εἰς γνάθους τύπτειν. ¶Γνάθων, πλάστης. ¶Γναμπτὰ, καμπύλα, πηκτά. ὑγρά. ¶Γναμπτῆσιν, ἀνακεκλασμέναις, ἐπικαμπέσι. , ¶Γναμπτὸν, εὔπειστον, ἔνυγρον. εὔγναμπτον. εὐμετάβολον.

Γ ναφέως, καθαίροντος ῥύπον. ¶Γναμπτοὺς, χελωνούς. ¶Γνάμψαι, κάμψαι. κλάσαι, πῖσαι.

Γ νάμψεν. ἔξεσεν. ἤμυξεν. ¶Γναπτὰς, ἕλικας τὰ καμφθέντα ψέλλια. ¶Γνάπτει, κάμπτει.

Γ νάτται, ἀκταί. ¶Γναφάλιον, γναφάλλιον βοτάνη. ¶Γνάφαλλον, τύλη. λέγεται δὲ καὶ διὰ τοῦ κ κνάφαλλον. καὶ ὁ γναφεὺς, κναφεύς.

Γ νάφαλος, πιλός. ¶Γναφεὺς, εἶδος ἰχθύος.

Γ ναφῆναι, κλασθῆναι. καμφθῆναι.

Γ νήσιος, ὁ ἐξισονομούμενος, ἴδιος, οἰκεῖος.

Γ νοῖεν, μάθοιεν. ¶Γνοίης κεν. εἰδείης ἄν.

Γ νοιῆσαι, γνῶναι. ¶Γνόφερον, μέλαν.

Γ νόφος, συννεφεία, δῖνος, ἄνεμος, ἀχλύς: σκοτομηνία. ¶Γνώμη δίδωμι, συμβουλεύομαι.

Γ νάθοι. βόθροι, κοιλώματα. αὔλακα, θαλάμαι, καὶ τὰ ἐν τῷ βαδίζειν προσκόμματα. ἔνιοι γνυθούς.

Γ νύσσων, νωθραίνων. ¶Γνὺξ, ἐπὶ τὰ γόνατα.

Γ νυπετεῖν. ἀσθενεῖν. μαλακίζεσθαι.

Γ νυπετῆσαι. γονυπετῆσαι.

Γ νυπετὸν. ἀργὸν, οἱ δὲ ἔκλυτον. ¶Γνυπετοὶ, ἐκπεπταμένοι, δειλοί. ἄλλοι δὲ κατηφεῖς καὶ κατεγνυπετωμένοι

ἐχηκώς. ¶ Γηγενῶν, τῶν τὰ γῆινα ἐργαζομένων καὶ ἁμαρτανόντων, κατὰ κοινὸν δὲ ἡ πάντες ἄνθρωποι νοοῦνται γηγενεῖς. καθὸ τὴν ὑπόστασιν περὶ γῆς ἔχουσι. ¶ Γηγγύλιξ, γύλιγγος, ὁ ἄγριος μῦς.
Γ ηγεθόσυνοι, οἰκτροί. ¶ Γήθειν, χαίρειν. ¶ Γήθησεν, ἐχάρη. ¶ Γηθῆσαι, εὐφρᾶναι, χαρῆναι. ¶ Γηθῆσαι, χαρῆσαι. ¶ Γηθόσυνοι, χαίροντες.
Γ ηθία, ἤθη. ¶ Γηθόσυνος, χαίρων, περιχαρής.
Γ ηθόσυνον, χαίροντα, ἱλαρὸν, χαροποιόν. ¶ Γηθοσύνη, χαρὰ, τέρψις, ἡδονή. ¶ Γήθοις, χαρᾶς.
Γ ήθυα, ἀμπελόπρασα. οἱ δὲ γητυλλίδας. οἱ δὲ μεγάλα κρόμμυα, ἄλλοι χλωρά. ¶ Γηΐτης, ὁ τὴν γῆν ἐργαζόμενος γεωργός. ¶ Γηλεχέες, χαμαικοῖται.
Γ ηλιᾶσθαι, κατέχεσθαι. ¶ Γηλοσμένοις, συνειλημμένοις. ¶ Γηλιώμενοι, κατεχόμενοι. ¶ Γῆμα, ἱμάτιον. ¶ Γῆμαι, συνοικῆσαι. ¶ Γημαμένη, συνοικήσασα. ¶ Γήμασθαι, γαμηθῆναι. ¶ Γήνεια. ὅσα ἐκ τῆς γῆς ὠφέλιμα. ¶ Γήνεσθαι, κατέχεσθαι. ¶ Γηοῦχος, ὁ τὴν γῆν συνέχων.
Γ ήπεδα, χωρία, κτήσεις.
Γ ηπόνος, γεωργὸς, γεωμόρος.
Γ ήραι, ἐν γήραι. ¶ Γηράλιον, δριμὺ, μέλαν.
Γ ηράλιος, γέρων, γεροντικός. ¶ Γηράμων, γραῖα.
Γ ηρᾶναι, γηρᾶσαι. ¶ Γηράνιον, γῆρας. ¶ Γῆρας, γηράσκει κατὰ συγκοπήν. ¶ Γηράσκει, φθίνει, λήγει.
Γ ηράσκοντα, κομίζοντα, γηροκομοῦντα.
Γ ῆρας, ὄφεως δέρμα. ¶ Γηρεῖν* ποίοις. ¶ Γηροί, γεωλόχοι. ¶ Γήρεια, τὰ τῆς ἀκάνθης ἐξανθήματα ἅπερ ἔνιοι πάππους λέγουσι. ¶ Γηροβοσκῶ, γηροτροφῶ. ¶ Γηροκόμος, γηροτρόφος. ¶ Γηρουχεῖται, ὑπὸ γήρως ὀχεῖται, ἢ γῆρας τῆς ἀρχῆς ἔχει.
Γ ηρύεσθαι, φθέγγεσθαι, λέγειν. ¶ Γηρύοντες, φωνοῦντες, λέγοντες. ¶ Γῆρυν, φωνήν. ¶ Γῆρυς, φωνή. ὅθεν καὶ κήρυξ τὴν πρὸς γ συγγένειαν ἔχοντος.
Γ ηρωτίζεται, γεροντεύεται. ¶ Γῆς ὀμφαλός, ὁ τάφος καὶ δελφοί. ¶ Γήτια, κρόμμυα ἃ καὶ γήθυα καλοῦνται. ¶ Γητικὰ παρὰ ἀλεξάνδρῳ ἐπιστολαὶ ποτήρια οὕτω καλούμενα.
Γ ηφάγοι, πένητες, ἄποροι, ὡς τὰς ἐκ γῆς βοτάνας σιτίζεσθαι τροφῆς ἀμοιροῦντας καλλίμαχος ἐν ἑκάλῃ. ¶ Γήχυτον, τὸ ἁπαλὸν τῆς γῆς.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ι.

Γ ια, ἄνθη. ¶ Γίαι. ὀδύναι. ¶ Γίαρδυ, ἔαρ. ¶ Γιγαλία, ἡ γῆ. ¶ Γίγας, δυνάστης, ἰσχυρός. ¶ Γιγαντία, ἡ λικία τὸ πρότερον, καὶ οἱ κατοικοῦντες, γιγάντων. ¶ Γίγαντος, μεγάλου. ἰσχυροῦ. ὑπερφυοῦς. ¶ Γιγαρτίς, σταφίς. ¶ Γίγαρτον, τῆς σταφυλῆς τὸ ἔνδον. ¶ Γιγγλισμὸς, καρπαλισμὸς ἀπὸ χειρῶν, γέλως. ¶ Γιγγλισμοῖς, κιχλισμοῖς. ¶ Γιγγλίαν, κάλυμμα κεφαλῆς, ἐροῦντες.
Γ ίγγλος, νάνος. ¶ Γιγγλυμὸς ὁ στρεφόμενος γόμφος περὶ τῶν θυρῶν καὶ περὶ τοῦ θώρακος οἱ στροφεῖς. καὶ καλύμματος εἶδος. ¶ Γιγγρασμὸς, ἦχος.
Γ ίγγει, ἐπιφώνημά τι* περὶ κατὰ κῶμον λεγόμενον, καὶ εἶδος αὐλοῦ. ¶ Γιγγεῖαι, αὐλοὶ μικροί, ἐν οἷς προῦον μανθάνουσι. ¶ Γιγγρὸς, αὔλημά τι, ὅπερ ἔνιοι γίγγρον. οἱ δὲ, αὐλοῦ γένος.
Γ ιγνῶν, οἱ δὲ γιγῶν, πεπαικὸς, ἐπιπεπαικὸς, σαπρέζιος. οἱ δὲ, αἰγύπτιον ἡρακλέα. ¶ Γιγνώσκει, γινώσκει. ¶ Γιλὸς, ἑτερόφθαλμος. ¶ Γιμάσαι*, σπανίσαι. ¶ Γιμβάναι, ξεύγνυμι. ¶ Γίν, σοί.
Γ νίς, γερανὸς τυρρηνοί. ¶ Γίννος, ὁ πατὴρ. ἵππος. ἡ δὲ μήτηρ ὄνομα νοθῶν. ¶ Γίξαι, χωρῆσαι.
Γ ιο, αὐτῶ. ¶ Γίπον, εἶπον.
Γ ίς, ἱμὰς καὶ γῆ καὶ ἰσχάς. ¶ Γισάμενοι, εἰδέναι.
Γ ίσας, φθεῖρας. ¶ Γισγὸν, ἴσον.
Γ ίσιον, μικρὸν τεῖχος. ¶ Γισία, ἐσχάτη.
Γ ισίαι, ἱστουργοί. ¶ Γιστῶ, πεύσομαι. ¶ Γισχὺν, ἰσχύν. ¶ Γιτέα, ἰτέα. ¶ Γίγνας τὰ δύο αἰδοῖα.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Λ.

Γ Λαγίας, γαλακτωμένας. ¶ Γλάζει, περιρύσεται. κέκραγε. ¶ Γλάγος, γάλα. ¶ Γλαμὸς, μύξα. ¶ Γλάματα, ἀσχάπελοι.
Γ λαμυρὸν, αἱμακῶδες, ἔνυδρον, ὑπόδακρυ.
Γ λαισμοί, λῦφοι. ¶ Γλαινοί, τὰ λαμπρύσματα τῶν περικεφαλαιῶν οἷον ἀστέρες.
Γ λακκὸν, παλαθηνόν. ¶ Γλακῶντες μεστοὶ γάλακτος. ¶ Γλαμῶντες, λημῶντες. ¶ Γλαμῶν. λημῶν. ¶ Γλαμᾶν, λημῶν. ¶ Γλαμία, πόλις κρήτης. ¶ Γλαμυξίαν, γλάμαν, λήμαν* ...
Γ λανὶς, ἀργὸς καὶ εἶδος ἰχθύος. οἱ δὲ γλανός.
Γ λανοί, ἀχρεῖοι. ¶ Γλαμψοί, χαλινοὶ στόματος.
Γ λάμπτειν, πίνειν. ¶ Γλαεῖς. ὄρος. ¶ Γλαυκὰ, ἰσχυρὰ, φοβερὰ, λευκά. ¶ Γλαυκία, ἡ γλαύκιον, βοτάνη τις. ¶ Γλαυκίζειν, ἀμβλυωπεῖν.
Γ λαυκιόων, καταπληκτικὸν ἔμπυρον καὶ φοβερὸν βλέπων. ¶ Γλαυκὸς, λευκός. ¶ Γλαυκοφόρβιδας, ἵπποις εὐγενεστάτας. ¶ Γλαυκῶπις, φοβερὰ ἐν τῷ ὁρᾶσθαι, λαμπρόφθαλμος, εὐόφθαλμος.
Γ λαὺξ, νυκτόβας. πτεινὸν νυκτερινόν. ¶ Γλαὺξ, νόμισμα ἀθήνησι τετράδραχμον. ἐλέγετο δὲ καὶ ὄρχησίς τις καὶ ὄρνεον καὶ φυτόν. ¶ Γλαυσὸν, λαμπρὸν. θρασύ. ἰταμόν. ¶ Γλαύσσει, λάμπει, φαίνει φάσμα. ¶ Γλαυρὸν, σεμνόν. ¶ Γλαῦκ' ἀθήναζε, παροιμία περὶ τῶν μάτην τι πραττόντων, ὡς περ εἴ τις γλαῦκας ἀθήναζε ἄγοι. πλεονάζουσι γὰρ ἐνταῦθα γλαῦκες. ¶ Γλαῦκες λαυρειωτικαὶ, ἀειστεφάνης ὄρνισιν, οἱ ἀργυροστατῆρες, ἐν λαυρείῳ γὰρ τὰ μέταλλα τὰ ἀργυρεῖα. γλαὺξ δὲ τὸ ἐπιχάραγμα τοῦ στατῆρος.
Γ λαύκου τέχνη. παροιμία περὶ τῶν ῥᾳδίως κατεργαζομένων. διονυσόδωρος δὲ, τὴν περὶ τὸν σίδηρον κόλλησιν. γλαῦκος γὰρ χῖος σιδήρου κόλλησιν εὗρεν.
Γ λαὺξ ἐν πόλει, παροιμία τοῖς ἀληθείαις, ἀνέκειτο γὰρ ὑπὸ φειδίου ἐν τῇ ἀκροπόλει.
Γ λαὺξ ἔπτατο. περὶ τῆς μάχης ἐν σαλαμῖνι γλαῦκά φασι διαπτῆναι τὴν νίκην προσημαίνουσαν.
Γ λάφει, γλύφει. ὀρύσσει. κοιλαίνει.
Γ λάφυ. σπήλαιον, ἄντρον. ¶ Γλαφυραὶ, κοῖλαι, βαθεῖαι. ¶ Γλαφυρᾶς, αἰθερᾶς. ἄλλοι δὲ κοίλης ἢ βαθείας. ¶ Γλαφυρὸν τερπνόν. κοῖλον. ἡδύ. βαθύ.

γυναικεία θεὸς πεποιημένου τοῦ ὀνόματος παρὰ τὰς γενέσεις ἐοικυίας τῇ ἑορτῇ. διὸ καὶ ταύτῃ κύνας προετίθεσαν, ἔστι δὲ ξενικὴ ἡ θεὸς καὶ ἑορτὴ τῶν γυναικῶν.
Γ ενετοῦ, πατρί. ¶Γενετυλλίδες, δαίμονες.
Γ ένη, διάφορα, ἤγουν τὰ βλαστήματα.
Γ ενηΐδα, ἀξίνην. πέλεκυν. ¶Γενιάς, ἔκγονος.
Γ ενικαί, γενεαί. ¶Γενικόν, τὸ καθόλου παραδεκτικόν.
Γ εννάδαι. εὐγενέστεροι· γενναιότεροι.
Γ εννάδας, γενναῖος, αὐθαίρετος, εὐγενής, συγγενὴς μέσος
Γ ενναῖον, τὸ εὐγενὲς καὶ τὸ τῆς γενέσεως ἀρχηγὸν καὶ συγγενικόν. ¶Γενναῖος αὐθαίρετος, εὐγενής. ¶Γεννάς, μικρὸς ἀδελφός. ¶Γέννημα, παιδίον. ¶Γεννῆται, οἱ τοῦ αὐτοῦ γένους μετέχοντες καὶ ἄνωθεν ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά, οἱ δὲ, ὁμογάλακτες καὶ φράτερες συγγενεῖς τοὺς γεννώτας. ¶Γεννησιουργός, δημιουργός. ¶Γεννήτορες, γονεῖς. ¶Γεννητός, γνήσιος υἱός. ¶Γεννήτορε. γονεῖς δυϊκῶς.
Γ έννου, κύπτε καὶ λάβε καὶ κάθιζε. ¶Γενούστης, ὑπὸ τῆς θεοῦ ἐννοίας, ὁ γεννητικός. ¶Γεννοί, οἱ γυμνοσοφισταί. ¶Γεννόν, ἀρχαῖον. ¶Γεννόν. κοῖλον.
Γ εννικῶς, ἰσχυρῶς. γενναίως. ¶Γενοίατο, γένοιντο.
Γ ένυ. σιαγόνα. ¶Γένυς, γένειον, πέλεκυς, μάχαιρα.
Γ ενυσερέτ, πατρὶς ἀρχόντων. ¶Γενύεσσι, ταῖς σιαγόσιν, ἢ γνάθοις ἢ μητέρες. ¶Γενύθλην, γένοιντο δυϊκῶς. ¶Γένυσι, σιαγόσι. ¶Γέντο, ἔλαβεν, ἀνέλαβεν. ¶Γέντα, κρέα. σπλάγχνα. ¶Γεντελισταί, οἱ ἐρπάζοντες ἢ παίζοντες. ¶Γεντιανή, ῥίζα τις οὕτω καλουμένη χρῶνται εἰς τὰς ἀντιδόσεις.
Γ έντινοι, οἰκεῖοι. ¶Γέντινος, ὕπνος.
Γ *έντερον ἡ κοιλία. ¶Γένυξ, πέλεκυς. ¶Γεώων, τῶν παρ' ἡμῶν. ¶Γεοῦχος. ὁ τὴν γῆν ἔχων.
Γ έρα, τὰ τίμια. ¶Γέραα, τιμαί, τίμια, γεραιάς. ἐντίμους γυναῖκας τὰς γέρας τι ἐχούσας. ¶Γεράδος, αἰγιαλός. ¶Γέραι, τιμή. ¶Γεραίρειν, τιμᾶν, σέβειν. ¶Γεραλέον, γέροντα ἢ ἀσθενῆ.
Γ εραρόν, ἔντιμον, ἱλαρόν. μεγαλοπρεπῆ.
Γ εραίροντες, τιμῶντες, εὐφημοῦντες.
Γ εραιός, πρεσβύτης. ¶Γεραιῶν, γερόντων, ἐντίμων. ἢ τιμῶν ἢ σεβῶν. ¶Γεράζεται, τιμᾶται.
Γ εραίρει, τέρπει. τιμᾶ. ¶Γεράνδρυα, αἱ παλαιαὶ δρῦες καὶ τὰ παλαιὰ δένδρα, γεράνδρυα.
Γ ερανεῖδαι, οἱ τὴν φωκικὴν οἰκοῦντες.
Γ εράνιος, βοτάνης εἶδος. ¶Γεραραί, ἱέρειαι κοινῶς. ἰδίως δὲ αἱ τῷ Διονύσῳ τῷ ἐν λίμναις τὰ ἱερὰ ἐπιτελοῦσαι τὸν ἀριθμὸν δεκατέσσαρες.
Γ ερανός, ὀρνεόν τι. καὶ ὄρχησις καὶ ὄργανον ξύλινον ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα.
Γ ερανουλκός, ὁ τοῦ χοροῦ τοῦ ἐν Δήλῳ ἐξάρχων.
Γ εραρώτερος, ἐντιμότερος, πρεσβύτερος.
Γ έρας, τιμή, σέβας, ἆθλον ἀριστεῖον. ἀμοιβή. θέαμα. δωρεά. ¶Γεράσμιον, τίμιον. ¶Γερασφόρος, ὁ τὰς τιμὰς φέρων. ¶Γέραντες. αἰθίοπες.
Γ έργανα, ἐργαλεῖα. ¶Γέργενα, πολλά. ¶Γεργέριμος, ἐλάας εἶδος τὸ ἐπὶ ἐλάας ῥυσόν.
Γ εργέθινος, διάβολος. ¶Γέργερος. βρόγχος.
Γ εργίλος, ζῷον. ¶Γέργηθος, πόλις. ¶Γεργῖνος,

διάφορος, διάβολος. ¶Γέργυπες, νεκροί.
Γ έργυρα, αὐλή. δεσμωτήριον. ¶Γερδιός, ὑφάντης
Γ έρηρα, ἐτίμησα. ¶Γεραιστός, ἀκρωτήριον τῆς Εὐβοίας
Γ έρων, ἔντιμος. οἱ δὲ, πρᾶος. ¶Γεραίνιος, ἔντιμος, γέρων. ¶Γεραιάδες, αἱ τῶν ἀρίστων ἀνδρῶν γυναῖκες. ¶Γερθυρεόν, ἱλαρόν.
Γ ερινθοι, ἐρέβινθοι. ¶Γερητηρία, ἀπώλεια.
Γ εροίταν, πάππον κρότων. ¶Γερμανικός, ἔθνος.
Γ έρων, πρεσβύτερος. ¶Γεροντίας, πάππος.
Γ ερουσία, πρεσβυτέριον, πλῆθος γερόντων.
Γ έροντες, ἔντιμοι. ¶Γερούσιον, τὸ τοῖς ἐντίμοις κατὰ γέρας διδόμενον. ¶Γερῶα, γερόντια. ἤγουν τὸ σύστημα γερόντων. ¶Γέρων, κυρίως μὲν ὁ ἔντιμος, καλοῦσι δὲ γέροντας ἀριστέας. γέρας γὰρ ἡ τιμή. κυρίως δὲ ἐπὶ ἡλικίας, ὁ γέρων. ¶Γεραιά, ἡ γραῖα, ἱμάς. ¶Γέρρα, τὰ σκεπάσματα πάντα ἢ τὰ δερμάτινα σκεπάσματα. ¶Γέρρα, τὰς σκηνάς, καὶ τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα. πέρρας.
Γ ερράδια, στρωτήρια. ¶Γέρρα, τὰ ἀπὸ καλάμων ἢ παπύρων ἐργαστήρια. ¶Γερρῶ, ἀπώλωλα.
Γ έρσιμον, ἄκρον ἁλιευτικοῦ καλάμου. ¶Γέρυς, γέρων. ¶Γερύτας, γέρων. ¶Γεροάκται, οἱ δήμαρχοι παρὰ λάκωσιν. ¶Γερωνία, γεροντία παρὰ λάκωσι καὶ λακεδαιμονίοις καὶ κρησί.
Γ ερώνοιον, κοῖλον, κενόν. ¶Γέρως, τιμήματος, ὁ ἴσον τιμῆς. ¶Γέσμα, γεῦμα. ¶Γέστα, γογγυλίς.
Γ εσία. ἔνδυμα, μέλη, ἱμάτια. ¶Γέστρα. στολή.
Γ έτις, ἐλπίς. ¶Γέτει, ἔτι. ¶Γετός, ἐνιαυτός.
Γ εῦμα, γεῦσις, ἔδεσμα. ¶Γευνῶν, γονάτων.
Γ εῦ, γυναικεῖον τίαρα, ¶Γεύεσθαι, πειρᾶσθαι, ἅπτεσθαι.
Γ εῦσαι, ἀποπειράσαι. ¶Γευστρίνην, σκῦλον.
Γ ευλόφας, ἡ γηλόφος ὄχθος. τινὲς δὲ. ὀρνιθοκόλλα.
Γ ευσόμεθα, ἀλλήλων πεῖραν λάβωμεν.
Γ έφυρα, διάβαθρα ὁδός. πέραμα, διάβασις.
Γ εφύρας. διόδους, τάξεις, ὑποδοχάς, τὰ μέσα τῆς φάλαγγος. ¶Γεφυρίς, πόρνη τις ἐπὶ γεφύρας ὡς ἡρακλέων. ἄλλοι δὲ οὐ γυναῖκα. ἀλλὰ ἄνδρα ἐκεῖ καθεζόμενον τῶν ἐν ἐλευσῖνι μυστηρίων συγκαλυπτόμενον ἐξ ὀνόματος σκώμματα λέγειν εἰς τοὺς ἐνδόξους πολίτας. ¶Γεφυρισταί, οἱ σκῶπται, ἐπεὶ ἐν ἐλευσῖνι ἐπὶ τῆς γεφύρας τοῖς μυστηρίοις καθεζόμενοι ἔσκωπτον τοὺς παριόντας. ¶Γεφύρωσε, διαβατὸν ἐποίησε τὴν ὁδόν. ¶Γεώργης, ὁ ἡρακλῆς.
Γ εώδης, πηλώδης. ¶Γεωμέρης, ὁ ἐπὶ γῆς μερῶν τὰ μόρια. ¶Γεωμόρος, γεωργός. ¶Γεωμόριον, τὸ τῆς γῆς μόριον. ¶Γεώνα. ὑσθόλεια. λάκωνες.
Γ εωνόμαι, οἱ ἐν ταῖς ἀγροικίαις διαιτώμενοι κληροῦχοι καὶ νέμοντες τὴν γῆν. ¶Γεωπεῖναι, οἱ γῆς πεινῶντες καὶ ἀπορούμενοι. ¶Γεωργίτης, γεωργός.
Γ έωρες, γεωφύλακες, μέτοικοι, πάροικοι. ¶Γεωφάνιον, μέταλλον τῆς κεραμίτιδος ἢ ἄλλης ἐργασίας.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Η.

γ Ηγενεῖς, ἄνδρες, γυναῖκες. ¶Γηγενέται. γῆς αἱρεταί. ¶Γηγενέτας, γηγενεῖ. ¶Γηγενής, ὁ ἐκ τῆς γῆς τὴν γένεσιν

ὑπὲρ τὴν χρείαν, ἤγουν περιμάργην. ¶ Γαστρίμαργοι, τῇ κοιλίᾳ μαινόμενοι, ἀκρατεῖς. ἄπληστοι, πολυφάγοι. ¶ Γάστριν, τρίμμα δι' σησαμίδος παρὰ ἀκρισίῳ. ¶ Γάστρις, ὁ πολυφάγος, ἡ ἀκρατὴς περὶ τὴν γαστέρα. ¶ Γαστρίσαι, εἰς τὰ στέρνα πλῆξαι ἢ χορτάσαι. ¶ Γαστροβόλης, προπίστωρ ἢ γαστροποιῶν.
Γ αστρόπτης, σκεῦός τι μαγειρικόν. ¶ Γαστρώια, ἡ γογγυλίς. λάκωνες. ¶ Γατάλαι, αὐλαί. ¶ Γάστρια, τὰ στερηθέντα πρὸς τὸ λιστρευθῆναι, οἱ δὲ κύαμοι οἱ ῥαφανοι, οἷς ἀντὶ κόπρου χρῶνται, ὅταν ἀυξηθέντα λιστρευθῇ. ¶ Γαῦλος, ὁ ἐξ ἀλλοτρίων ζῶν, ἢ κάδος ἐν ᾧ τὰ πλοῖα ἀντλεῖται. ¶ Γαῦλοι, τὰ ποιμενικὰ τοῦ γάλακτος ἀγγεῖα, καὶ τὰ φοινικικὰ πλοῖα. γαῦλοι καλοῦνται καὶ γαυλικὰ χρήματα τὰ ἀπὸ τῶν πλοίων, τινὲς δὲ καὶ τὰς κύρβας γαύλους καλοῦσι.
Γ αύρηξ, ὁ γαυριῶν. ¶ Γαύρης, ὁ σεμνυνόμενος.
Γ αυριᾷ, σεμνύνεται. χαίρει. ¶ Γαυρίαμα, καύχημα. ἔπαρμα, φρύαγμα. ¶ Γαυριῶν, χαίρων, ἀγαλλόμενος, ἐπαιρόμενος, ἀλαζονευόμενος.
Γ αῦρος, αὐθάδης, σεμνός. μεγαλοπρεπὴς ἢ μετέωρος. Εὐριπίδης Φιλοκτήτῃ. ¶ Γαύρῳ, μεγάλῳ ἀκαταλήπτῳ. ¶ Γαυσάδας, ψεδνός.
Γ αυσαλίτης, ὄρνεον παρὰ ἰνδοῖς. ¶ Γαυσόν, σκαμβόν, στρεβλόν. ¶ Γαυσῶσαι, προσπλάσαι, κάμψαι.
Γ αφάτα, σκώληξ, ὃν ἡμεῖς γῆς ἔντερον λέγομεν συρακούσιοι. ¶ Γάφυτον, γεγονός. ¶ Γάφυρον, ἐκ γῆς ῥέον. ¶ Γδούπησιν, ἐψόφησεν.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ε.

Γ έαρ, ἔαρ. ¶ Γέβεις, ζυγά. ¶ Γεάσιαι, κεφάλαιαι. ¶ Γεγάασι. γεγενημένοι εἰσίν. ὑπάρχουσι. ¶ Γέβουτον, ψόφον.
Γ εάκω, γεγενημένος ὤ. ¶ Γεγάλημαι, γεγάληνισμαι, διακέχυμαι. ¶ Γεγανωμένη, λελαμπρυσμένη. ¶ Γεγαυῖα. γεγενημένη. ¶ Γεγαώς, γεγονώς, ὑπάρχων. ¶ Γεγαῶτα, γεγονότα, ὑπάρχοντα. ¶ Γέγγει. βρέχει. ¶ Γέγηθεν, χαίρει, ἥδεται γελᾷ. ¶ Γεγηθότως, χαιρόντως.
Γ εγηθώς, χαίρων. ¶ Γεγηκότας. τεθλακότας, οἱ δὲ ξηράν.
Γ έγλανται, κεκοίλανται. ¶ Γεγλύπτονται, αὐτὰ γεγλείνονται. ¶ Γεγραμμένοι, ἐξωστρακισμένοι ἢ ἐξωγραφημένοι. ¶ Γεγριφώς, ὁ ταῖς χερσὶν ἀλλοιῶν. ¶ Γεγωνισκομένα, πέμματά τινα ὧν γωνὴ ὕψαρ, καλεῖται οὕτω. ¶ Γεγυρανωμένον, κεκαυμένον, ἀποθνηκότα τῷ σώματι. ¶ Γεγωνεῖ, αἱ ὁμιλίαι. ¶ Γεγωνεῖν, μεγαλοφωνεῖν ἤδη δὲ φθέγγεσθαι.
Γ εγωνεκόμη, ἡ μέσα κεκραγυῖα.
Γ εγωνόν, τὸ ἐξάκουστον, μεγαλόφωνον. ¶ Γεγωνός. μεγαλόφωνος. ¶ Γεγωνέειν, ἐξάκουστον βοᾶν.
Γ έγωνεν ἐν καλῷ ἐν καλλίστῳ. ¶ Γεγωνήσω, βοήσω.
Γ εγωνέμεν, ἐξάκουστον φωνεῖν. ¶ Γεγωνίσκει, λέγει.
Γ εγωνώς, κράξας. ¶ Γεγωνῶς, κραυγάζων, βοῶν.
Γ εγώς, γεγονώς, ὑπάρχων. ¶ Γέη, τῇ γῇ. ¶ Γεηπόνος, γεωργός. ¶ Γειτνιᾷ, γειτονεῖ. ¶ Γειναμένη, ἐνεγκαμένη, ἡ μήτηρ ἀφ' ἧς ὑπάρχει. ¶ Γειναμένοις, γονεῦσι. ¶ Γείναο, ἐγέννησε. ¶ Γεινεῖ, γεννᾷ.

νέοσιν. ¶ Γεῖθρον, ἔνδυμα. ¶ Γεῖσα, τὸ ἐν τοῖς οἴκοις ἢ τειχῶν ἐξέχον κυμάτιον, οἱ δὲ πρὸς τῶν θυρῶν στίασμα, καὶ τὰς ὤας τοῦ ἐνδύματος γεῖσα λέγουσιν. ¶ Γεισοκόμον, γεωργόν. ¶ Γεῖσας, ἐξοχὰς τῶν οἰκοδομῶν. ¶ Γεῖσα, ἐκθέματα.
Γ εισηπόδιζειν, τὸ προσβάλλειν τὰ τείχη ἐν τοῖς τοίχοις.
Γ εῖσον, στεφάνωμα οἴκου. ¶ Γείσωσις, τὸ τῆς στέγης ἐξέχον. ¶ Γείτη, σάμματα ἐξ ἐρίων.
Γ ειτνία, πλησιασμός. ¶ Γειτνιῶντες, πλησιόχωροι.
Γ ειτνιῶν, ἐγγίζων. ¶ Γειτνίαι, γειτονίαι.
Γ ειτνιᾶν, γειτονεῖν. ¶ Γεῖτον, ἐγγύς. ἡ γείτων αὐτῷ. ¶ Γειτόνημα, γειτνίαμα. ¶ Γείωρας, γείωρας ἐξ ἄλλου γένους καλουμένους τοῦ ἰσραὴλ προσηλύτους, ἢ οἱ περὶ τὴν γῆν διαπονουμένους.
Γ έκαλον. ἥσυχον. ¶ Γεκαθά, ἑκουσίως. ¶ Γέλαν, αὐγὴν ἡλίου. ¶ Γέλανοι, εἶδος ἵππων δυσγενῶν καὶ εἰς πόλεμον οὐκ εὐθέτων. ¶ Γελαρὶς, σελήνη λάκωνες. ¶ Γέλαρος, ἀδελφοῦ γυνὴ φράτρισι.
Γ ελασμός, ὁ γέλως. ¶ Γέλας, ναύτης. ¶ Γελγεῖ. βαπτίζει, χρωματίζει. ¶ Γέλγη, ὁ ῥῶπος καὶ βάμματα καὶ ἄβακροι καὶ κτένες. ¶ Γελγοπωλεῖν, ῥωποπωλεῖν, παντοπωλεῖν. ¶ Γέλγια, τύλη, σπάθη. κουλάεια. ¶ Γελγίδες, αἱ τῶν σκορόδων κεφαλαί. ¶ Γελγηθύειν, ἀπατηλογεῖν.
Γ έλεα. τέλεα. ¶ Γελεῖν. λάμπειν, ἀνθεῖν. ¶ Γέλενος, ἀσφόδελος, νάρκισσος. ¶ Γέλιν, ὁρμινάν.
Γ ελανδρόν, ψυχρόν. ¶ Γέλινθοι, ἐρέβινθοι.
Γ ελλίζειν, γαργαλίζειν. ¶ Γέλλαι, τῖλαι.
Γ ελίκη, ἕλιξ. ¶ Γελλίξαι, συνειλῆσαι. ¶ Γελλώ. εἴδωλον ἐμπούσης τὸ τῶν δύρεων τῶν πεθνέων.
Γ ελλώ. δαίμων ἣν γυναῖκες τὰ νεογνὰ παιδία φασὶν ἁρπάζειν. ¶ Γελοδυτία, ὁ λιοδυσία*. ¶ Γελοῖον, γέλοιον, γέλωτος ἄξιον. ¶ Γελοῖος, ἱλαρός. γελοιαστὴς, καὶ ὁ καταγέλαστος ἀνὴρ καὶ λοίδορος.
Γ έλων. γέλωτα ἢ γέλαιον. ¶ Γέλυξον, ἔλυξον ἤγουν λέπνον. ¶ Γελσόν, ἀτυχής. ¶ Γελχάνος, ὁ ζεὺς παρὰ κρησί. ¶ Γελωμάξαι, γελοιάσαι. ¶ Γέλως, μασθλικός, ὁ σκωπτικός. ¶ Γελωτῖνος, καταγέλαστος. ¶ Γέμματα, ἱμάτια. ¶ Γεμεῖν, κύειν.
Γ εμπός, κοιλός. ¶ Γέμος, γέμισμα, πλήρωμα.
Γ εμπύλοις, οἱ ἰχθῦς, τὰς πηλαμίδας. ¶ Γενάρχου, πατρός. ¶ Γενέθλιον, γέννημα. ¶ Γενεὰ, φυλὴ ἢ διάστημα χρόνου τῶν μὴ κατ' αὐτὸ βεβιωκότων, τὸ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων. τὴν δὲ γενεὰν ὑφίστανται ἐτῶν, οἱ μὲν, κ. οἱ δὲ, κε, οἱ δὲ λ'
Γ ενεὴ, ἡλικία, εὐγένεια, συγγένεια γενεῇ πρότερος, προγενέστερος. ¶ Γενέθλης, γενεᾶς, γενέσεως.
Γ ενέθλια, τὰ ἔθη τῇ πρώτῃ ἡμέρᾳ δῶρα, καὶ ἡ εὐωχία. ¶ Γενέθλιον, τέκνον. ¶ Γενειάδες, αἱ περὶ τὸ γένειον τρίχες, γενειᾶς ἴουλος. ¶ Γενείτης, πώγωνιας. ¶ Γενεύστερος, νεώτερος. ¶ Γενεός. εἶδος τι πλέκεος, γενεαλογία. ¶ Γενέσια ἑορτὴ πάνδημος ἀθηναίοις. οἱ δὲ τὰ νεκύσια ἃ ἐν τῇ ἡμέρᾳ τῇ γῇ θύουσι. γένεσιν πατέρα. ἡ μητρά. ¶ Γένεσις κύπρου, ἡ ὑπὸ δὲ περὶ κυπρίοις. γενεσιουργία. ¶ Γενέταν πατέρα ἢ γενέτην. ¶ Γενέτας, ἔκγονος. ¶ Γενετυλλίς.

Γαισὸς, ἐμβόλιον ὁλοσίδηρον, καὶ ὄνομα ποταμοῦ. οἱ δὲ μισθὸν, ἢ ὅπλισμα μικρόν. ¶Γαῖται, γεωργοί.

Γαίων, γαυριῶν. ¶Γαιὸς, μακροκέντης, ἢ κονρὶς λαμβάνων. ¶*Γάκα, ἴσως. ¶Γαισὸν, ποταμὸς περὶ ἔλλησι νεῖλος. ¶Γαγγῦσαι, γλυκεῖαι.

Γάκεινα, σεισμὸς γῆς. ¶Γακινίαν, βρυσμόν.

Γάκυ, ἡδύ. γλυκύς. ¶Γακούδια, ἡδύσματα.

Γακοντίανης, ἡδυποτιστής. ¶Γακτὸς, κλάσμα.

Γαλαθηνὸν, ὑποτίτθιον νέον. ¶Γάλα. ἡδύ. ¶Γαλακρκόμος. ποιμήν. ¶Γαλακτώδης, οἶνός τις.

Γαλακτιῶντες. γάλακτος μεστοί. ¶Γαλακτοφάγον, ἀβίων, ἀλλὰ ἐσθιόντων ἢ τόξα μὴ ἐχόντων.

Γαλαξία. ἑορτὴ ἐν ᾗ ἕψονται γαλαξίαν. ἔστι δὲ πλακοῦς κρίθινος ἐν γάλακτι. ¶Γαλαξίας, ἰχθῦς ὁ ὀνικός.

Γάλας, γῆ περὶ ἐκβαλλίτῳ. ¶Γαλάσιον, ἐνηρόσιον.

Γαλαὰδ, παλαιὸν ὄνομα, ὃ μέτοχος. ¶Γαλαλὰ, πόλις ἔθνων. ¶Γαλατμὸν, λάχανον ἄγριον.

Γαλδρὸν, γαληνόν. ἱλαρὸν, εὔδιον. ¶Γαλεοὶ, μάντεις οἱ περὶ κατὰ τὴν σικελίαν ᾤκησαν, καὶ γένος τι ὥς φησι Φανόδημος, ἀρίνθων. παρχντῖνοι. ¶Γαλεώτης, ὁ ἀσκαλαβώτης, ἢ ἰχθῦς, ἢ ζῷον χερσαῖον.

Γάλη, ὀξέδωρος εἶδος καὶ ἐν ᾗ γαλέα τὸ ζῷον.

Γαλήνη, τὸ ἐπιπολάζον ἐν τῇ μεταλλείᾳ τοῦ ἀργύρου χωνευομένου. ¶Γαληνὸν, ἥσυχον, ἱλαρὸν, εὔδιον.

Γαληρὸν, τὸ αὐτὸ καὶ γαλδρόν. ¶Γαλῆ, ταρτησία. ἡ ταρτησσὸς ἔξω τῶν ἡρακλείων στηλῶν ἧς ἀργανθώνιος ἐβασίλευσεν, ἔστι δὲ ἡ πόλις αὕτη πρὸς τῷ ὠκεανῷ μεγάλη λίαν, ὡς τῶν ἐκεῖ μεγάλων γινομένων γαλῶν εἶπε. ¶Γαληψὸς, παίζει ὡς εὔπολις παρὰ τὸ λαμβάνειν. ἔστι δὲ ἡ πόλις, καὶ βοτάνης εἶδος ἁλι, ἱκανόν.

Γαλιαγκὼν, ὁ τὸν βραχίονα ἐλάττονα ἔχων.

Γαλίαι, οἱ ὀνίσκοι. ¶Γαλίνη, ὄνομα κυρίον ἑταίρας.

Γαλησία, κρατῖνος λέγει δὲ ὡς τὸν ψυτελό, ἢ ὡς παλὸν παῦλα γαληνία. ¶Γάλινθοι, ἐρέβινθοι. οἱ δὲ ἄλ
¶Γαλιὸς, περιάλειπτος. ¶Γάλις, γαλεός.

Γαλιώσης, ἀκολασταινούσης. ¶Γάλλαρος, φρυγιακὸν ὄνομα παρὰ λάκωσι. ¶Γάλλια, ἔντερα.

Γάλλοι, ἦλοι. ¶Γαλλιῶται, ἀσκαλαβῶται. λάκωνες.

Γάλλος, ὁ ἀποκοπεὶς ἤτοι ὁ εὐνοῦχος. ¶Γάλως, ἡ τοῦ ἀνδρὸς ἀδελφή. ¶Γαλονὶς, χρῶμα ἵππων τὸ ὀνῶδες. ¶Γαλὶς, ἡ τοῦ ἀνδρὸς ἀδελφὴ καθάπερ κασάνδρα τῇ ἀνδρομάχῃ. ¶Γαμάλη. κάμηλος παρὰ χαλδαίοις. ¶Γάμβελον, βυβλίον. ¶Γαμβρία, δῶρα, ὃ δεῖπνα γαμβροῦ. ¶Γαμβρὸς, ὁ ἀνὴρ ἐπὶ θυγατρός. ¶Γαμήσεται, εἰς γάμον ἄξεται.

Γαμήλια. φρονὴ εἰς γάμον, παρασκευὴν καὶ δεῖπνον ὃ τοῖς φράτερσιν ἐποίει ὁ γαμῶν. ¶Γαμήλιος, ὁ εἰς γάμοις παρατιθέμενος πλακοῦς. ¶Γαμηλιὼν, ὁ τῶν μηνῶν ἐπὶ ἥρας ἱερός. ¶Γαμοστείειν, γαμοτικῶς ἔχειν, καὶ γαμεῖται μὲν ἡ γυνή. γαμεῖ δὲ ὁ ἀνήρ.

Γάμμοροι, ἀμέρχοι, ἐστερημένοι. ¶Γάμοι, ἡ πρώτη ὁμέρα τῶν γάμων. ἡ δὲ δευτέρα παλία. ¶Γαμοτελεῖν, γάμοις ἐπιτελεῖν. ¶Γάμοροι, οἱ περὶ τὴν γῆν πονούμενοι, ὃ μοῖραν εἰληχότες ἐπὶ γῆς, ὃ οἱ ἀπὸ τῶν ἐγγείων τιμημάτων τὰ κοινὰ διέποντες. ¶Γαμφῆλαι. γνάθοι, σιαγόνες. ¶Γαμφαὶ, αἱ γνάμψαι, γνάθοι, ὁμοίως δὲ καὶ ἀλόγων. ¶Γαμφηλῆσι, σιαγόσι.

Γάμψηλοι, πόλις μακεδονίας. ¶Γαμψὸν, ποικίλον, καμπύλον, ἐπικαμπές. ¶Γαμψώλα, κάμπαι δὲ, ἄκρον ἡ περιφέρεια. ¶Γαμψώνυχας, ἐπικαμπεῖς ὄνυχας ἔχοντας. ¶Γάμων ἔθη, τὰ προτέλεια καὶ ἀπαρχαί. καὶ τειχῶν ἀφαιρέσεις τῇ θεῷ περὶ μιᾶς τῶν γάμων ἐπὶ πρεσβύνου. ¶Γάνα, ἀστεῖον σκύφος περὶ ἀπλύσιον. ¶Γάνα. χέρσος. γῆ.

Γάνυαι, περιπτύξαι. ¶Γανάσαι, σμῆξαι, ὁ λύσαι. ¶Γανάσας, καλῶς. ¶Γαναυπίας, τελείοις ἐν ἱερῷ ὀργάνων.

Γανδᾶν ὃ γανᾶν, λάμπειν. ¶Γανδάνειν, ἀρέσκειν.

Γάνδαρος, ὁ ταυροκράτης παρ' ἰνδοῖς. ¶Γάνδιον, χιβώτιον. ¶Γάνδωμα, πυροί. ¶Γανδόμιλω, ἄλευρα. ¶Γάνδης, ὁ παλαιὰ εἰδὼς καὶ πανοῦργος, τινὲς δὲ γάδης. ¶Γάνεα, κόποι. ¶Γανεῖν, λακαίνειν. ¶Γανιταὶ, δέπανοι. ἄσωτοι. ¶Γάνος, περιάλειπτος. χάρμα, φῶς, αὐγή. λευκότης. λαμπηδών. ἡδονὴ, καὶ ἡ ὕαινα ὑπὸ φρυγῶν καὶ βυθηνῶν.

Γανόωντες, λελαμπρυσμένοι, λάμποντες. ¶Γάνυμαι, χαίρω. ¶Γανύμενος, χαίρων. ¶Γανυρὸν, λευκόν. ἡδύ. ἱλαρόν. ¶Γανύσματα, ἀρτύματα.

Γανύσεται, χαρίσεται, διαχυθήσεται, αὐξηθήσεται, εὐφρανθήσεται. ¶Γάνυται, χαίρει, εὐφραίνεται. λαμπρύνεται, καὶ γελᾷ, ἥδεται. ¶Γανυτελεῖν, κενοπρεπεῖν, ἡδύσματα ποιεῖν. ¶Γανωθεὶς, λαμπρυνθείς.

Γανῶσαι, λαμπρῦναι. ¶Γάπεδα, ἄγροικοι, καὶ οἰκεῖαι. ¶Γαπελεῖν, ἀμελεῖν. ¶Γάπος. ὄχημα. τυρρηνοί. ¶Γάραβος, ὀλολυγών. ¶Γάραξ, αὔξερος. ¶Γαργαίρειν, λάμπειν, πληθύνειν, κινεῖσθαι, σπαίρειν. ¶Γάργαλα, πλῆθος. πολλά.

Γαργαλισμὸς, κίνησις σώματος. ¶Γαργαλίζει, ἐρεθίζει. ¶Γαργαρεισμὸς, γαγγαλισμὸς, ὀλυπάθεια τις. τὸ δὲ αὐτὸ καὶ γάργαλος καὶ γαργίλος.

Γαργαρὶς, θόρυβος. ¶Γαργαρέων, κιονὶς, ὁ καὶ σταφυλίς. ¶Γάργαρον, ἀκρωτήριον ὄρους ἴδης, ἢ πόλις τροίας πλησίον ἀντάνδρου. ¶Γάργαρος, γαργαλεῖν, ὑποσκέθμη. ¶Γαργαρτίαι, λίθοι ἀνθρωφυεῖς.

Γάρελον, ἄρος καὶ ἔλαιον. ¶Γαργηττὸς, δῆμος ἀθήνησι τῆς αἰγηΐδος φυλῆς, ὅπου δοκεῖ κεῖσθαι τὸ σῶμα εὐρυσθέως. ¶Γαρμάντας, τοὺς βαρβάρους, οἱ δὲ, ἔθνος λιβυκόν. ¶Γάρκαν, ῥάβδον μακεδόνες.

Γαρμαφῶν, λευκότης, λαμπηδών.

Γαρνὸν, τὸ ἔστω ἐπὶ πλήμνης σιδήρεον. ὃ τὸν ἄξονα ξύει.

Γάρρα, ῥάβδοι. ¶Γάρρης, ἄγρης.

Γαρρίαι, γάμοι. ¶Γαρρικώμεθα, λοιδορούμεθα.

Γάρσανα, φρύγανα κρῆτες. ¶Γᾶς, χώρας. γῆς.

Γάσαν, ἡδονήν. ¶Γάστος, ὁ ἀπατεών, ὁ πολλὰ εἰδὼς, καὶ πανοῦργος ὡς ἡσίοδος ἐν τῇ θεογονίᾳ.

Γαστέρες οἷον, τροφῆς μόνας ἐπιμελούμενοι.

Γαστρόχειρες καὶ ἐγχειρογάστορες, οἱ ἀπὸ τῶν χειρῶν ζῶντες. ¶Γαστρίμαργη. τῇ γαστριμάργῳ.

Γαστρὶς, γογγυλὶς ἢ κράμβη.

Γάστρα, τὰ ὀπίσθια τῶν μηρῶν. ¶Γαστρίαν, στρόφον ἢ διάνοιαν. ¶Γάστριδες, οἱ τὰς ἔλμινθας ἔχοντες, γίνονται δὲ ἐν ταῖς κοιλίαις αὐτῶν, ὥσπερ τὰ θηρία. ¶Γαστρίζεσθαι. λαβρότερον τρέφεσθαι.

κατὰ βυθοῦ δομεῖν. ἤγουν οἰκοδομεῖν. ¶ Βύασινα, πυρφυρᾶ. ¶ Βυσσός. βυθός. ἄντρον. πυθμήν. ἐπὶ χρῶμα αὐτὶ τῆς ὕσγης παραλαμβανόμενον. ¶ Βυσσοφαρεῖ. μελαμφαρεῖ. ¶ Βυσσόφρων, κάτωθεν ἐκ σπλάγχνων βαλλόμενος καὶ ἐκ βυθοῦ φρονῶν.

Β υστῶσι, φράττουσι. ¶ Βυστάκα. πώγωνα. ¶ Βυστίχοις, τοῖς ἐν θαλάττῃ βρόχοις. ¶ Βύστρα, αἱ τῶν λαχάνων ἐνθέσεις, ἔνιοι δὲ τοὺς ἐκ τῶν λαχάνων ὀψωμένους. ¶ Βύτθαν, τὴν ψάρα. ¶ Βυτθόν, πλῆθος. ¶ Βύτανα, κονδύλοι, οἱ δὲ βρύτανα.

Β υτίνη. λάγυνος ἢ ἀμίς. ταραντῖνοι. ἤγουν σταμνίον.

Β ύττος, γυναικὸς αἰδοῖον. ¶ Βύων, τὰ ὦτα ἐπιφράττων. ¶ Βυώσης, πληρούσης, καλυπτούσης, κωφωθείσης. ¶ Βυωτὴν, τὴν ἄρσιν.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ω.

ὦ, ἐπιβοῶ. ¶ Βωβὸς, πηρός. ¶ Βωβοὺς.

β χωλούς. ¶ Βωβύζειν, βλαπτίζειν.

¶ Βωμώ. οὕτως ὁ μάγειρος ὠνομάζετο.

Β ώδιον, βοΐδιον. ¶ Βωθεῖν, ὁμιλεῖν, βοηθεῖν.

Β ωθέοντες. βοηθοῦντες. ¶ Βωθύζειν, βοᾶν. * θούασ(ε)ν.

Β ωκάθωνον, βωκός, ζοφερὸς χιτών. ¶ Βώκαρος, ποταμὸς ἐν σαλαμῖνι ἐκ τοῦ ἀκάμαντος ὄρους φερόμενος. ¶ Βωλάκιον, χωρίον βώλους ἔχον.

Β ῶλαξ, βῶλος. γῆ. ¶ Βωλία, βωλὶς, μάζα, εἶδός τι ἐν ταῖς θυσίαις. ¶ Βωλίνας, καλιὰς ἢ πλινθίνας οἰκίας. ¶ Βωλόναι, οἱ μὲν κολώνας, οἱ δὲ τὰς κίλλας αὐτῶν ἀκούουσι διὰ τὸ ἀνακεχῶσθαι παρὰ σοφοκλεῖ. ¶ Βῶλοι, γῆ. ¶ Βωλώρυχα, τὴν σὺν λάκωνι. ¶ Βωμακεύμασι, βωμολοχεύμασι, παραλογισμοῖς. πανουργήμασι, ἐκ λακωνικῆς.

Β ώμαξ, βωμολόχος, καὶ ὁ μικρὸς βωμὸς ὑποκοριστικῶς. ¶ Βώμευσις, βωμοῦ ἵδρυμα. ¶ Βωμίαισεν ὤμοσε. ¶ Βωμένοι, οἱ περὶ τοὺς βωμοὺς λόφοις κατοικοῦντες. ¶ Βώμενος, βωμός.

Β ωμίνας, ἀναβάσεις. ¶ Βωμίσκοι, ἀριθμοὶ ἄνισοι.

Β ωμοῖς, βαθμοῖς. ¶ Βωμοῖσι, βάσεσι.

Β ωμοὶ, ἔμβολοι τινὲς οὕτω λεγόμενοι. ¶ Βωμολοχία, γένος κολακείας φορτικὸν καὶ γελωτοποιόν.

Β ωμὸς, ἱερὸν, τέμενος. Βωμολόχος, σκώπτης, ἱερόσυλος παρὰ τὸ λοχᾶν εἰς τοὺς βωμοὺς, ὃ ἐστὶν ἐνεδρεύειν, πανοῦργος. ἀσεβής. ἀπατεών.

Β ῶν, βοῦν, ὅπλον. ¶ Βωνίτας, τοὺς ἐν ἀγρῷ. οἱ δὲ βουκόλους ἢ ἀγροίκους. ¶ Βώνημα, εἴρημα λάκωνες. ¶ Βωρθία, ὀρθία. ¶ Βῶρμον, θρῆνον ὑπὲρ βώρμου νυμφολήπτου μαριανδυνοῦ. ¶ Βῶροι, ὀφθαλμοί. ¶ Βῶρος, ὄνομα κύριον. ¶ Βῶς, ἀσπὶς. πέλτη, βύρσα. καὶ ποιὸς ἰχθῦς. ¶ Βώσομαι, βοήσομαι, ἐπικαλέσομαι. ¶ Βῶσον, κάλεσον, βόησον.

Β ώσοντι, βοήσοντι. ¶ Βωστῆρες, νομεῖς. ¶ Βωστρεῖν, βοᾶν, καλεῖν, ἐπικαλεῖσθαι. ¶ Βωσόμεθα, μαρτυρόμεθα, ἐπικαλεσόμεθα. ¶ Βωσοῦσι, βομβοῦσιν. ἠχοῦσι. ¶ Βωτιάζειν, βάλλειν. ¶ Βωτιάνειρα, ἡ τοὺς ἄνδρας τρέφουσα. ¶ Βωτίον, σταμνίον.

Β ώτορες. βωτῆρες, νομεῖς. ποιμένες. ¶ Βώχ; βοτάνης εἶδος. ¶ Βωσώμεθα, ὀμόσωμεν.

ΑΡΧΗ ΤΟΥ Γ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Α.

Γ ἄαθον, ἴσον. ¶ Γαβαλὰν, ἐγκέφαλον, ἢ κεφαλή. ¶ Γαβαθόν. τρυβλίον. ¶ Γάβενα. ὀξύβαφα ἢ τρυβλία. ¶ Γαβδργός. ἐργομισθωτός. λάκωνες. ¶ Γαγγαλιᾶν, γαγγαλίζεσθαι, ἥδεσθαι. ¶ Γαγγαλίδες, γλασηνοί. ¶ Γάγγαλος, ὁ εὐμετάθετος καὶ εὐέπιστος τῇ γνώμῃ καὶ εὐμετάβολος. ¶ Γαγγαλεὺς, ἁλιεὺς ὁ τῇ γαγγάμῃ ἐργαζόμενος. ¶ Γαγγάμη. σαγήνη ἢ δίκτυον ἁλιευτικὸν, καὶ σκεῦος γεωργικὸν ὅμοιον τῇ κρεάγρᾳ.

Γ άγγαμον, δίκτυον, καὶ τὸ περὶ τὸν ὀμφαλὸν τῶν ὑποχονδρίων. ¶ Γαγγαμουλκοὶ, σαγηνευταί.

Γ αγγαίνειν, τὸ μετὰ γέλωτος προσαπαίζειν.

Γ αγγαλιοειδέων, γαγγαλίοις ἐοικότων. γαγγάλιον δὲ, νεύρου συστροφή. ¶ Γαγγίας, ἢ γαγγαλίας, οἱ μὲν, γλασηνόν, οἱ δὲ, τὸν τῶν ἐρίων συστροφήν. ἄλλοι ὑποστάθμην. ¶ Γάγγης, φεισῶν ποταμός.

Γ άγγραινα, φαγέδαινα. οἱ δὲ, καρκῖνος πολυδάχυρον ἐν τῷ σώματι πάθος. ¶ Γαδδᾶν, χαίρειν.

Γ αδῖν, χαρίζεσθαι. ¶ Γαδώ, χαρά.

Γ άδεσθαι, ἥδεσθαι. ¶ Γάδεται. ἥδεται.

Γ άδειρα, νῆσος ἔξω τῶν ἡρακλείων στηλῶν.

Γ άδειρα, τὰ περιφράγματα φοινίκων.

Γ αδειρικὸν, τάριχος τὸ ἀπὸ γαδείρων κομιζόμενον. ἐκεῖθεν γὰρ ἐκομίζετο. ¶ Γαδὴ, κιβωτός.

Γ αδίρων, χώρας ὄνομα. ¶ Γάλιξ, ὁμολογία.

Γ άδονται, εὐφραίνονται. ¶ Γάδος, * κάλοι. ἄλλοι ὄξος. ¶ Γάδυα, ἴδιον. ¶ Γάζα, πόλις, παρὰ δὲ πέρσαις βασίλειον. ἢ οἱ ἐκ τῶν πολλῶν φερόμενοι φόροι ἢ τὰ τίμια. ¶ Γάζαν, πλοῦτον.

Γ άζας ἰχθῦς ποιὸς γάζης, κεκορεσμένος.

Γ αζοφυλάκιον, θησαυροφυλάκιον, βαλάντιον, σκευοφυλάκιον. ¶ Γάθυδον, ἐκ γῆς ῥέον.

Γ αθία, ἀπαντία. ¶ Γαθιάδας. ἥρωος ὄνομα ὃς καὶ τοὺς καταφεύγοντας εἰς αὐτὸν ῥύεται ἐκ θανάτου.

Γ αῖα. ἡ κόνις καὶ ἡ γῆ.

Γ αιάδες, ὁ δῆμος ὑπὸ λακώνων. ¶ Γαιάλοχος, ἡ πειρώτης. ¶ Γαῖα χάνοι, καταποθείη ἡ γῆ.

Γ αιᾶται, κορτεμεῖ. καταμωκᾶται. ¶ Γαίειν, χαίρειν. γαυριᾶν. σεμνύνεσθαι. ¶ Γαίεσκον, ἔχαιρον.

Γ αιηΐδα, τὴν φοίβην ἀντίμαχος. ¶ Γαιήϊον, τὸν γῆς υἱὸν τιτυόν. ¶ Γαῖαν, τὴν γῆν. τὸ χῶμα. ¶ Γαιήοχος, ὁ τὴν γῆν συνέχων. ἢ ὑπὸ τῆς γῆς συνεχόμενος, ἢ ὁ ἱππικὸς ὁ ἐπὶ τοῖς ὀχήμασιν ἄρξοιτο χαίρειν λάκωνες. ¶ Γαλιλαία, κατακυλιστή.

Γ άλιμον, κεκειωμένον. ἤγουν κεκηκειῶν.

Γ αιηούχῳ, τῷ τὴν γῆν ὀχοῦντι καὶ συνέχοντι.

Γ αίηθος, πρῶτον ἡ ἤπειρος μοίρας ἔχει τέσσαρας, θεσπρωτοὺς, χάονας, μολοττοὺς, κασσωπαίους.

Γ αίνεται, αὔξει. ¶ Γαῖντα, σπλάγχνα. ¶ Γαιθυλάδη, ἀμπελόπρασα. ¶ Γαιογράφοι, τὰ ἐν τῇ γῇ γράφοντες. ¶ Γαιὸς, ὁ ἐργάτης βοῦς, καὶ ὁ ἀπίγειος ἄνεμος. ¶ Γαίουσα. ὑποφραινοῦσα.

ἀκρίδα, βροῦκαν. ταραντῖνοι δὲ, ἀττέλεβον, ἕτεροι ἀγροτικὸν μάντιν. ¶ Βροῦνος, ἐνεὸς ἢ μαινόμενος.

Β ροῦξ, ζάχηλος, βρόγχος. ¶ Βρουλός. πονηρός. βροῦς πιεῖν. βροῦτος. ἐκ κριθῶν πόμα. ¶ Βρούχετος, βάραθρος, βάτραχον δὲ κύπριοι. ¶ Βρουχαλ, θερμός. ¶ Βρουχέως ἢ βραχέως σαφῶς. συντόμως, αἰολεῖς. ¶ Βροχμώδης, ὑγρὰ καὶ ἁπαλή. δημόκειρος. ¶ Βροχμὸν, τὸ βρέγμα. ¶ Βρόχοι, ἄμματα. ¶ Βρόχος, ἀγκύλη ἢ δημόκειρος, ἀγχόνη, δεσμός. ¶ Βρύα, ἃ γίνεται μὲν ἐπὶ πετρῶν, λέγεται δὲ καὶ σκάφος ἢ σκαφὶς, ἐπιτίθεται δὲ ἁγνισμοῦ χάριν. ¶ Βρυάζει, θάλλει, ζυφᾷ.

Β ρυάζειν, γαυριᾶν, ἥδεσθαι. ¶ Βρυαζούσης, λειμῶνος ἐν ἀνθήματι ἀκμαζούσης ἢ ἐγκύμονος.

Β ρύαθον, βρυασμόν. ¶ Βρυαλιγμὸν, ψόφον, ἦχον.

Β ρυαλύζων, διαῤῥήσσων. ¶ Βρυαλίκται, πολεμικοί. ὀρχησταὶ μὲν * αὐλεῖ που ἴβυκος καὶ στησίχορος.

Β ρυανίων, μετεωριζόμενος καὶ κορωνιῶν. ¶ Βρυάσομαι, ἀναβακχεύσομαι μετά τινος κινήσεως.

Β ρυγμὸς, κατακνάλωσις καὶ νόσος ἀπὸ τοῦ βρύχειν, ὃ ἔστι τοῖς ὀδοῦσι πιέζοντα ψόφον ἀποτελεῖν ὡς ἐν ῥίγει συμβαίνει ἢ ἀκόνησις μύλων, ἢ τρισμὸς ὀδόντων.

Β ρυγμὸς, ἄφωνος, νεκρός. ¶ Βρύκουσα, δάκνουσα, μετελθοῦσα. ¶ Βρυγχὸς, βρόχος. ¶ Βρύει, ῥέει, πηγάζει, ἀναβλύζει, πολλᾷ, αὔξει, αὔξησιν, αὔξεται.

Β ρύθακες αἱ χιτῶνες βομβύκινοι, ἢ γένος ἰθαγενῶν.

Β ρύκαι, αἱ ἱδραὶ ὑπὸ δωριέων. ¶ Βρυκανήσομαι, βοήσομαι. ¶ Βρυκέδανος, πολυφάγος, οἱ δὲ μακρός. ¶ Βρύκειν, λαύρως ἐσθίειν ἀπὸ τοῦ ζύζειν τοὺς ὀδόντας, οἱ δὲ μασᾶσθαι. ¶ Βρυκετὸς, ταυτὸν τῷ βρυγμῷ, καὶ βρυκηθμὸς ὁμοίως δωριεῖς. ¶ Βρύκος, κήρυξ. οἱ δὲ βάβακος, οἱ δὲ, ἀττέλεβος. ¶ Βρυκταία, εἶδος βοτάνης. ¶ Βρύκων, συνθρύπτων τοὺς ὀδόντας μετὰ ψόφου. ¶ Βρυδαλίχα, πρόσωπον γυναικεῖον παρὰ τὸ γελοῖον καὶ αἰσχρὸν, ὅθεν … περιτίθεται, ὁ ῥίνθων, τὴν ὀρχήστραν καὶ γυναικεῖα ἱμάτια ἐνδέδυται, ὅθεν καὶ τὰς μαχλάδας βρυδαλίχας καλοῦσι λάκωνες. ¶ Βρυδακίζειν, ἐκτείνειν.

Β ρυλλιχισταὶ, οἱ αἰσχρὰ προσωπεῖα περιτιθέμενοι γυναικεῖα καὶ ὕμνους ᾄδοντες. ¶ Βρυλλῶν, ὑποπίνων.

Β ρῦλλαι, πιεῖν βρύματα, μυρήματα. ¶ Βρυθαλλὸν, βρύσμα. ¶ Βρυωχὸν, κιθάραν, θράκες. ¶ Βρύξαι, δακεῖν, καταπιεῖν. ¶ Βρύοχον. κήρυκα.

Β ρύγδην, χύδην. ¶ Βρύσια, πόλις. ¶ Βρύσαι. κρημνοὶ, καὶ πόλις κρημνώδης. ¶ Βρύτανα. κονδύλοις.

Β ρυτιγγοὶ, χιτῶνες. ¶ Βρυττία, τὰ λείψανα.

Β ρυττία, στέμφυλα, ἔνιοι εἶδος σκορόδου. ¶ Βρύττειν, ἐσθίειν. ¶ Βρύττιον, πόμα ἐκ κριθῆς. ¶ Βρύττος, εἶδος ἐχίνου πλατέος ὥς φησιν ἀριστοτέλης. οἱ δὲ, ἰχθῦν οἱ δὲ τρισυλλάβως βρυγγόνην … λάχης γυνή.

Β ρύχιον, ὑποβρύχιον, βυθιζόμενον. ¶ Βροχάνα, σάλπιγγι καμπύλη. ¶ Βροχετὸς, πυρετόν.

Β ρυχηθμὸς, στεναγμὸς, οἰμωγή. ¶ Βροχὶς, κλῆμα.

Β ρυχμοὶ. ψόφοι. ¶ Βρυχήσασθαι, ὡς λέων.

Β ρύχιον, βυθιζόμενον. ¶ Βρύχος, ποταμὸς περὶ πελλήνην. ¶ Βρυτίνας, γένος παρὰ ἀθηναίοις.

Β ρυτίνη, ἐν μαλθακοῖς ἀμοργὸν ἐνδὺν. βρυτίνην νάθειν τινα ἔπαιξε πρὸς τὸ πήνισμα τὸ βρύτινον. ἔστι δὲ καὶ ζῶον. ¶ Βρύτον, ὅμοιον κανθάρῳ καὶ τὸ ἀπ᾽ αὐτοῦ, βρύτινον πήνισμα, ὅπερ ὑπ᾽ ἐνίων βομβύκινον λέγεται. ¶ Βρυτίνην, βυσσίνην. ¶ Βρυττόν. πᾶν τὸ ἐκ ζυφὸς ποτόν. ¶ Βρυωνία, ῥίζα τὶς οὕτως καλουμένη. ¶ Βρύτιχοι, βάτραχοι μικροὶ ἔχοντες οὐράς.

Β ρύχεται, μαίνεται. ¶ Βρυχὸς, κήρυξ. ¶ Βρυώδες, δυσώδες. ¶ Βρωμᾶσθαι, ὀγκᾶσθαι. ¶ Βρώμην, βρῶσιν. ¶ Βρωμωμένου, ὀγκωμένου.

Β ρωτὴν, βρώσιμον. ¶ Βρωτὺν, βρῶσιν, ζοφίν.

Β ρυατά. βεβυσμένα αὐτῇ. ¶ Βαβαὶ, ταῦτα ἐπὶ τῷ μεγάλῳ τίθεται.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Υ.

Υβλία, βιβλία. ¶ Βυγὴ. πηγή.

¶ Βύβλιοι, οἱ τῶν τάφων φύλακες παρὰ κυπρίοις καὶ πόλις φοινίκης βύβλος.

Β υδδὶ, οἱ μουσικοὶ, ἢ κροῦμά τι σοφοκλῆς κρουσίν.

Β ύει, καμμύει, φράσσει τὰ ὦτα. ¶ Βύζαντες, πλήθοντες. ¶ Βυζαντία, εἶδος ὁρμιᾶς. ¶ Βυζάντιος, κωνσταντινουπολίτης. ¶ Βύζην. ἱκανῶς. ἀθρόως. δαψιλῶς. πυκνῶς. ἐπ᾽ ἀλλήλων. ἢ πλήρης.

Β ύζειν, τὸ πεπιασμένως μετέχειν. ¶ Βυζὸν, πυκνόν. συνετόν. γαυρὸν δὲ καὶ μέγα. ¶ Βυθίζων, ποντίζων ἐν βυθῷ. σκύθαι. ¶ Βυθμὸς, ἄνθρον, πυθμὴν καὶ βυθμήν. ¶ Βυκνισταὶ, εἰκασταί. ¶ Βυκάνης, ὑπονηλός. ¶ Βυκὸς, θεσμοφόρος. ¶ Βυκτὰ, σχέτλια, δίλαια. ¶ Βυκτάων, πνεόντων, φυσητῶν.

Β ύκτης, ὁ ἐκ βυθοῦ ταράσσων, φυσῶν. ¶ Βυλλάβεβυσμένα. ¶ Βυλλίχαι, χοροί τινες ὀρχηστῶν παρὰ λάκωσι. ¶ Βυλλίχης, χορευτής. ¶ Βυλλιχίδες. ῥαχίδες. ¶ Βύνη. θαλάμη, πύκη. ¶ Βύθαλον, βύσμα. ¶ Βὺξ, βυθός. ¶ Βυνεὶ, σκεύασμά τι οἰκεῖον. ¶ Βυνεῖν, τὸ ἐν τῷ στόματι κατέχειν τι.

Β υπλεῖν, βαπτίζειν. ¶ Βύρθακος, βάτραχος.

Β υρκόμενος, πνιγόμενος, ζαχηλιζόμενος.

Β υρόθεν, οἴκοθεν, ¶ Βύρον, οἴκημα. ¶ Βύρμακας, μύρμηκας. ¶ Βυρμὸς, στεθμός. ¶ Βυρσότονος, τύμπανον. ¶ Βυρσίνης, μυρσίνης. ἣν δὲ αὐτὴ γυνὴ ἱππίου τυράννου ἐν τοῖς ἱππεῦσι. ¶ Βυρσὶς, δέρμα.

Β υῤῥὸς, κάνθαρος τυῤῥηνός. ¶ Βυρσαίετον. ἀριστοφάνης ἀπὸ τῆς βύρσης καὶ τοῦ ἁρπάζειν τὸν κλέωνα εἶπε,

Β υρσαίετον, τὴν πόλιν ἀθηνῶν ἀριστοφάνης ἐν δράμασι παίζων ἔφη. ¶ Βυρσομώλοισι, βυρσοδεψίμοις.

Β υρσοδέψης. σκυτοδέψης. βυρσεύς.

Β υρσοκάπηλον, τὸν κλέωνα. ¶ Βύσαν, κρύπτουσαν.

Β ῦσαι. ἐπιθῦναι, φορτῶσαι, κρύψαι. ¶ Βύσας, πλήσας. φράξας. ¶ Βύρτη, λύρα. ¶ Βοσαύχην. ὁ συνέλκων τὸν ζάχηλον καὶ τὸν αὐχένα μικρὸν ποιῶν, καὶ τοὺς ὤμους ἀνέλκων. ¶ Βύσταλοι, βόθροι.

Β ύστινον, περφυρόν. ¶ Βυσταλεύοντι, τῷ βυθῷ ἐρρεκυσμένῳ. ¶ Βυσσοβαδῆ, μεγάλα ἀπὸ τῶν καταφερομένων εἰς βυθὸν διὰ τὰ βάρη. ¶ Βυσσοδομεύει. ἐνθυμεῖται. μηχανᾶται, ἀποκεκρυμμένως βουλεύεται καὶ ἐκ βάθους. ¶ Βυσσοδομεύειν, ἐνθυμεῖσθαι.

Βραυκῶσα, κεκραγυῖα. ¶ Βράχαλον, χρεμετισμόν.

Βράχεν, ἐψόφησε. ¶ Βραχεῖν, ἠχῆσαι, ψοφῆσαι.

Βραχίονα, τὸν τράχηλον. ¶ Βραχεῖς, ὀλίγοι.

